Νοῦς ἐξ ὀρθότητος κινούμενος, εὑρίσκει ἀλήθειαν· ὁ δὲ ἐκ πάθους τινὸς, ἀποτεύξεται αὐτῆς.

Σχόλιον κγ'.

Πρόσωπον ψυχῆς, τὰς δυνάμεις εἴρηκε τῆς ψυχῆς· καὶ γὰρ ἐκ τῶν αἰνιγμάτων τῶν ψυχικῶν διαθέσεων, καὶ μιμήσεων ἡμῶν βλέπουσιν τὴν κατάστασιν οἱ ἐχθροὶ ἡμῶν δαίμονες· ἐπεὶ οὐκ ἐξ ἑαυτῶν γινώσκουσι τὰς ἡμῶν διανοίας, μόνας δὲ τὰς ἰδίας τέχνας ἐπισπείρουσι, καὶ ἐκδέχονται τὸ μετὰ ποίας διαθέσεως εἰσδεχόμεθα τὰς ἐπιβουλάς· καὶ μὴ ὁρῶντας ὁρᾷν ποιοῦμεν αὐτοὺς διὰ τῆς ἡμῶν ῥᾳθυμίας.

Σχόλιον κδ'.

Πολλοὶ τὴν δυσχέρειαν ὁρῶντες τοῦ σταδίου φασὶν, Β ὅτι χρηστὸν καὶ ἐλαφρὸν Χριστὸς τὸν ζυγὸν ὀνομάζων, πῶς βιάζονται οἱ αἴροντες ; ἀγνοοῦντες, ὡς οἶμαι, ὅτι πρὸς τὴν ἀποκαραδοκίαν τῆς ἀναπαύσεως καὶ ἀπολαύσεως τοῖς ἀφορῶσιν ἐλαφρὰ καὶ εὐχερῆ εἴρηνται· τοῖς δὲ χαμερπέσι καὶ σκληρὰ καὶ ἀπροσπέλαστα. Καὶ γὰρ ὁ δυσαποσπάστως ἔχων περὶ τὰ κάτω, βιάζεται πρὸς τὴν ἄνοδον· οὕτω καὶ ὁ νεανίσκος πάντα ποιῆσαι ὁμολογήσας, πρὸς τὸ τελειότατον ἀπεσφάλη. Ὁ δὲ πάντα ἀποτιναξάμενος, κοῦφος ὑπερνήχεται τὸν ἀέρα τοῦτον.

Σχόλιον κε'.

Ἀγαθὸν ἀνδρὶ, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ.

Σχόλιον κς'.

Πρὸς τὴν ἐνέργειαν τῶν φλεγμάτων, καὶ τῶν παθῶν, θυμοῦ, φημὶ, καὶ ἐπιθυμίας, ὡς διὰ χειρῶν, τῶν ἐνεργειῶν οἱ πονηροὶ ἕλκουσιν ἡμᾶς δαίμονες.

Σχόλιον κζ'.

Ταῦτά τινες ἁπλῶς ἀναγνόντες, καὶ ἀδιακρίτως βίᾳ ἑαυτοὺς ἐκδόντες διαπεφωνήκασιν. Οὐ πᾶσιν οὖν, ἀλλὰ τοῖς δυνατοῖς, καὶ σῶμα σφριγῶν ἔχουσι, καὶ χάριν ἐν τούτοις λαβοῦσιν, ταῦτα νομοθετεῖ ὁ πατήρ. Τοῖς δὲ λοιποῖς κατὰ δύναμιν αὐτὸ δουλαγωγεῖν, προνοίας αὐτοῦ εἰς ἐπιθυμίαν μὴ ποιουμένοις.

C

Σχόλιον κη'.

Ὁ ἀβουλήτως κοπιῶν καθολικῶς πτωχεύει. Ὁ δὲ μετ' ἐλπίδος τρέχων, δίπλουτος ἔσται.

Codex Augustanus ita habet :

Οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν, ὥσπερ φύλλα, καὶ οἱ ἀβουλήτως κοπιῶντες καθολικῶς πτωχεύουσιν. Οἱ δὲ μετ' ἐλπίδος τρέχοντες δίπλουτοι ἔσονται.

Σχόλιον ἄλλο.

Μὴ ἀπαναίνου μανθάνειν, κἂν λίαν φρόνιμος τυγχάνεις. Ἡ γὰρ οἰκονομία τοῦ Θεοῦ ὠφελιμωτέρα ἐστὶ τῆς ἡμετέρας φρονήσεως.

Ἄλλο.

Μὴ ὃ δοκεῖς πράττειν καλὸν, ἀγαθὸν ἡγοῦ εἶναι· ἀλλὰ τὸ μαρτυρούμενον ὑπὸ ἀνδρῶν εὐσεβῶν.

Σχόλιον κθ'.

Ἀποβαλεῖν μὲν τὰ χρηστὰ ῥᾷον· κτήσασθαι δὲ οὐ ῥᾷον. Δύο γὰρ κακία δορυφόρους ἔχουσα χαλεπῶς πέφυκε καταπολεμεῖν τὴν ἀρετὴν, ἔνθεν κἀκεῖθεν διὰ τῆς ὑπερβολῆς ἐφισταμένη, καὶ τῆς ἐλλείψεως· ἡ δὲ ἀρετὴ ἐν μόνῃ φυομένη τῇ μεσότητι πρὸς ἑκάτερον βιάζεται τῶν πολεμίων ἀνταγωνίζεσθαι.

Σχόλιον λ'.

Καὶ πάλιν· Ἐὰν συμφωνήσωσι δύο· τουτέστιν ὁ ἁμαρτάνων, καὶ νουθετῶν αὐτὸν ἀποστῆναι τῶν κακῶν ἔργων· καὶ ὑπακούσῃ ὁ ἐλεγχθεὶς τῷ ἐλέγχοντι αὐτὸν περὶ πάσης ἁμαρτίας, οὗ ἐὰν αἰτήσονται, δοθήσεται παρὰ Θεοῦ ἄφεσις τῷ ἡμαρτηκότι. Καὶ πάλιν· Ἐὰν συμφωνήσωσι δύο ἐν ἀγαθοῖς ἔργοις, ὃ ἐὰν αἰτήσωνται πρὸς τὸ συμφέρον, δοθήσεται αὐτοῖς ἐκ Θεοῦ. Θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ ῥύσεται αὐτοὺς ἐκ πολλῶν θλίψεων.

A

B

20 *Aliud.*

Quod tibi videris bene agere, noli bonum putare, nisi a viris piis tanquam testibus comprobetur.

Scholion 29.

Abjicere bona facile est : comparare autem difficile ; duos enim satellites vitium habet, quibus graviter virtutem hinc et inde oppugnat : hinc per excessum urgens, inde per defectum ; virtus autem in medio consistens adversus alterutrum [vicissim adversus utrumque] hostium semper cogitur depugnare.

Scholion 30.

Et rursum : Si *consenserint duo* [11], hoc est peccator et monitor, qui peccatorem hortatur, ut a malis operibus desistat : et reprehensus paruerit reprehendenti ipsum, de omni peccato quod petierint, dabitur a Deo venia illi qui peccavit. Et iterum : Si *consenserint duo* in bonis operibus, quodcunque petierint, quod sit ad salutem petentium, dabitur illis a Deo. Voluntatem enim timentium ipsum faciet et liberabit illos ex multis tribulationibus [12].

ΛΟΓΟΣ Β'.

Περὶ ἀπροσπαθείας, ἤγουν ἀλυπίας.

Ὁ ἐν (1) ἀληθείᾳ τὸν Κύριον ἀγαπήσας· ὁ ἐν (2) ἀληθείᾳ τῆς μελλούσης βασιλείας ἐπιτυχεῖν ἐπιζητήσας· ὁ ἐν ἀληθείᾳ πόνον περὶ τῶν ἑαυτοῦ πταισμάτων ἐσχηκώς· ὁ ἐν ἀληθείᾳ μνήμην κολάσεως κτησάμενος, καὶ κρίσεως αἰωνίου· ὁ ἐν ἀληθείᾳ φόβον τῆς ἑαυτοῦ ἐξόδου ἀναλαβὼν οὐκ ἔτι ἀγαπήσει, οὐκ ἔτι φροντίσει, ἢ μεριμνήσει, οὐ χρημάτων, οὐ κτημάτων, οὐ γονέων, οὐ δόξης τοῦ βίου, οὐ φίλου, οὐκ ἀδελφῶν, οὐδενὸς ἐπιγείου τὸ παράπαν· ἀλλὰ πᾶσαν αὐτοῦ τὴν σχέσιν, πᾶσαν τὴν περὶ τούτου φροντίδα ἐκτιναξάμενος, καὶ μισήσας· ἐπειδὴ καὶ τὴν ἑαυτοῦ σάρκα· πρὸς τούτων (3) γυμνὸς, καὶ ἀμέριμνος, καὶ ἀόκνως Χριστῷ ἀκολουθεῖ, πρὸς τὸν οὐρανὸν ἀεὶ βλέπων, καὶ τὴν ἐκεῖθεν βοήθειαν ἀναδεχόμενος, κατὰ τὸν εἰπόντα ἅγιον· Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, καὶ τὸν ἄλλον τὸν ἀείμνηστον εἰρηκότα· Ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν σοι, καὶ ἡμέραν, ἢ ἀνάπαυσιν ἀνθρώπου οὐκ ἐπεθύμησα, Κύριε (4). Αἰσχύνη μεγίστη ὑπάρχει τὸ πάντα τὰ προειρημένα καταλιπόντας μετὰ τὴν κλῆσιν ἡμῶν, ἣν ὁ Κύριος κέκληκεν ἡμᾶς, καὶ οὐκ ἄνθρωπος, τινὸς φροντίζειν μὴ δυναμένου ἡμᾶς εὐεργετῆσαι ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης ἡμῶν, ἤγουν τῆς ἐξόδου. Τοῦτο γάρ ἐστιν ἅπερ εἶπεν ὁ Κύριος, στραφῆναι εἰς τὰ ὀπίσω, καὶ μὴ εὑρεθῆναι εὔθετον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ Κύριος ἡμῶν τὸ εὐόλισθον ἡμῶν τῶν εἰσαγωγικῶν γινώσκων, καὶ ὡς εὐχερῶς ἐν τοῖς κοσμικοῖς συνδιάγοντες, ἢ συντυγχάνοντες, πάλιν ἐπὶ τὸν κόσμον στρεφόμεθα, φησὶ πρὸς τὸν εἰρηκότα αὐτῷ· Ἐπίτρεψόν μοι ἀπελθεῖν θάψαι τὸν πατέρα μου. Ἄφες [5] τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Οἱ δαίμονες μετὰ τὴν

C

D

GRADUS II.

De exuendis affectibus omnibusque curarum molestiis abjiciendis.

Qui Deum ex animo diligit ; qui ad cœlum toto pectore aspirat ; qui in lapsibus suis emendandis vehementer desudat ; qui futuri judicii supplicia sempiterna pertinaci memoria revolvit ; qui assidue versatur in formidine et exspectatione animæ a corpore digressionis, is omnem affectum et studium erga pecunias et opes, erga parentes et humanam gloriam, erga fratres et amicos, erga omnia denique mortalia, quæ terram sapiunt, non solum procul habet abjicitque, sed omnem sensum, omnemque curam de his **21** excussam abjectamque, et cum his suum ipsius quoque corpus odio persequitur, nudusque et omni cura vacuus impigre Christus sequitur, semper ad cœlum anhelans, et promissum inde auxilium ex oraculo vatis exspectans : *Adhæsit anima mea post te* [13]. Et alterius nunquam tacendi vatis : *Ego autem non sum fatigatus te sequendo ; nec diem, neque requiem hominis quæsivi* [14]. Turpissimum est omnino, nos abjectis omnibus, quæ supra memoravimus, post vocationem, qua non homo nos, sed Dominus ad militiam evocavit, quærere aliquid, quod nobis in ultimæ necessitatis articulo fet decessu non hilum prosit. Hoc enim est quod monet Dominus, ne convertamur retrorsum, et fiamus inepti ad regnum Dei. Dominus haud ignarus nostræ tironum inconstantiæ, et quam facili negotio, ex usu, et familiaritate externorum, ad ea, quæ sprevimus revertamur, petenti illi uti sibi copiam faceret patris sui sepelendi : *Dimitte*, inquit, *mortuos sepelire mortuos suos* [15]. Suggerunt nobis dæmones, post rerum humanarum abdicationem, ut beatos prædicemus illos qui in egentes

[11] Matth. xviii, 19. [12] Psal. cxliv, 19. [13] Psal. lxii, 9. [14] Jerem. xvii, 16. [15] Matth. viii, 22.

sunt benigni, nosque miseros dictitare, quod ejusce-
modi misericordia omni virtute destituti simus. Consilium autem hostium est, uti nos per demissionis speciem, aut ad profanam sæculi vitam retrahant; aut in religione perseverantes ad desperationis laqueum adigant. Sunt qui alios in sæculo versantes per animi elationem præ se contemnunt; sunt qui eosdem absentes **22** despiciunt, ut ipsi non desperent, et animum ampliore spe firment. Audiamus Dominum adolescenti illi, qui divinorum præceptorum leges fere omnes custodierat, suadentem: *Unum tibi deest, ut vadas et vendas omnia quæ possides, et des pauperibus* [1c], ut ipse pauper aliorum misericordiæ indigeas, et stipem accipias.

Quicunque impigre et strenue religiosæ vitæ stadium decurrere cœpimus, attente pensitemus, quo pacto Dominus omnes sæculares et viventes, tamen mortuos indicarit; quando illi dixit: *Relinque mortuos* sæculares, *mortuos suos* corpore, *sepelire*. Nihil opes adolescentem illum, quo minus ad baptismum accederet, impediverunt. Frustra proinde sunt, qui stolide contendunt juveni baptismi suscipiendi gratia, ut omnia venderet, imperatum fuisse. Satis sit nobis hæc Christi talis auctoritas ad certissimam maximæ cujusdam gloriæ, quæ professioni nostræ est promissa testificationem. Quærendum porro quid sit quamobrem illi, qui in mediis sæculi turbis versantur, et pervigiliis, jejunationibus, laboribus, malorumque omnium perpessionibus sese afflictant, quando ad vitam solitariam, tanquam germanæ virtutis exploratricem, et justi stadii circum, seu scamma transeunt, priores vitæ exercitationes, tanquam adulterinas et spurias prætermittant? Animadverti plurima, et diversi generis virtutum plantaria, ab iis, qui in mundo degunt, consita, tanquam ex occulti cuniculi ventosæ gloriæ sentina irrigari, atque **23** ex ostentatione quadam suscepta, laudibusque velut stercore nutrita et inquinata, postquam in sola eremi loca, et sæcularibus invita translata sunt, nullaque graveolentis profanarum rerum uligine tincta, repente exaruisse. Neque enim in humido natæ stirpes solent in asperis aridisque religiosæ disciplinæ officinis fructus gignere. Qui mundum odit, is tristitiam effugit. Qui rerum adhuc aspectabilium desiderio trahitur, is nondum ab animo mœstitiam abstersit. Quonam pacto enim non tristetur is, qui rebus privatur iis, quarum amore detinetur? Omnibus quidem in rebus opus est nobis valde sobria mente; sed hoc præ cæteris est nobis maxime curandum. Haud paucos notavimus, dum adhuc in strepitu negotiorum sæculi versarentur, præ curarum, sollicitudinum, nugarum, pervigiliarum contentione et labore, corporis sui furiosam tyrannidem effugisse: eosdem tamen postea quam se ad religiosæ quietis, et se-

[1c] Matth. xix, 21.

A ἀποταγήν, λοιπὸν τοὺς ἐλεήμονας ἡμῖν, καὶ συμπαθεῖς τῶν κοσμικῶν μακαρίζειν ὑποτίθενται, καὶ ἑαυτοὺς ἀποστερήσαντας. Σκοπὸς δὲ τοῖς ἐχθροῖς ἡμῶν διὰ νόθου ταπεινώσεως, ἢ πρὸς τὸν κόσμον ἡμᾶς ἐπιστρέψαι, ἢ μένοντας μοναχοὺς πρὸς τὴν ἀπόγνωσιν καταχρημνῖσαι. Ἔστιν εὐτελίζειν τοὺς ἐν κόσμῳ διὰ οἴησιν, καὶ ἔστιν αὐτοὺς ἀπόντας ἐξουθενεῖν, διὰ τὸ φυγεῖν τὴν ἀπόγνωσιν, καὶ τὴν ἐλπίδα προσκτήσασθαι. Ἀκούσωμεν οὖν τοῦ Κυρίου πρὸς ἐκεῖνον τὸν νεανίσκον, τὸν πάσας σχεδὸν τὰς ἐντολὰς ἐργασάμενον εἰρηκότα· ὅτι *Ἔν σοι λείπει, τὸ* (6) *πωλῆσαι τὰ ὑπάρχοντα, καὶ δοῦναι πτωχοῖς*, καὶ ἑαυτὸν πτωχὸν καταστῆσαι ἐλεημοσύνην δεχόμενον.

B Οἱ προθύμως καὶ ζέως διαδραμεῖν βουλόμενοι, νουνεχῶς ἐπισκεψώμεθα πῶς ὁ Κύριος πάντας τοὺς ἐν κόσμῳ διατρίβοντας, καὶ ζῶντας (7) νεκροὺς κατεδίκασεν, εἰπὼν πρός τινα· *Ἄφες τοὺς νεκροὺς* κοσμικοὺς, τοὺς τῷ σώματι (8) *νεκροὺς θάψαι*· οὐδὲν ἐκώλυσε τὸν νεανίσκον ἐκεῖνον ὁ πλοῦτος προσελθεῖν τῷ βαπτίσματι. Ἐματαιώθησαν τοίνυν φάσκοντές τινες, ὅτι τοῦ βαπτίσματος χάριν ὁ Κύριος πωλῆσαι αὐτὸν τὸν πλοῦτον διέταττεν. Ἀρκείτω ἡμῖν εἰς μεγίστην πληροφορίαν τῆς μεγίστης δόξης τοῦ ἡμετέρου ἐπαγγέλματος, ἡ τοιαύτη πληροφορία. Ζητητέον πῶς οἱ ἐν κόσμῳ διάγοντες, καὶ ἀγρυπνίαις, καὶ νηστείαις, καὶ κόποις, καὶ κακοπαθείαις διατρίβοντες, ἐν μονήρει βίῳ ὥσπερ ἐν δοκιμαστηρίῳ, καὶ σκάμματι ἐκ τῶν ἀνθρώπων ἀναχωροῦντες, C τὴν προτέραν ἄσκησιν αὐτῶν τὴν νενοθευμένην (9), καὶ ἐπίπλαστον οὐκ ἔτι μετέρχονται; Ἑώρακα πλεῖστα, καὶ διάφορα φυτὰ τῶν ἀρετῶν παρ' αὐτῶν ἐν κόσμῳ καταφυτευόμενα· καὶ ὥσπερ ἐξ ὑπονόμου βορβόρου, ὑπὸ τῆς κενοδοξίας ποτιζόμενα, καὶ ὑπὸ φαντιασμοῦ κελευόμενα, καὶ ὑπὸ ἐπαίνων κοπριζόμενα· καὶ μέντοι μεταφυτευθέντα ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ κοσμικῶν, καὶ ἀνύδρῳ κενοδοξιακοῦ, καὶ βρωμώδους ὕδατος, εὐθέως ἐπεξηράνθησαν. Οὐ γὰρ πεφύκασι τὰ ἔνυδρα φυτὰ ἐν σκληροῖς καὶ ἀνύδροις γυμναστηρίοις καρποφορεῖν. Εἴ τις (10) κόσμον ἐμίσησεν, οὗτος λύπην διέφυγεν· εἰ δέ τις πρός τι τῶν D ὁρωμένων προσπάθειαν κέκτηται, οὐδέπω (11) λύπης λελύτρωται. Πῶς γὰρ ἂν καὶ μὴ λυπηθήσεται ἐπὶ τῇ στερήσει τοῦ ἀγαπωμένου; Ἐν πᾶσι μὲν πολλῆς ἡμῖν χρεία τῆς νήψεως, ἐπιπλεῖον δὲ τούτῳ προσεκτέον νουνεχῶς πρὸ τῶν λοιπῶν. Πολλοὺς τεθεάκαμεν ἐν κόσμῳ, ὑπὸ μεριμνῶν, καὶ φροντίδων, καὶ ἀδολεσχιῶν, καὶ ἀγρυπνιῶν σωματικῶν τὴν τοῦ οἰκείου σώματος μανίαν ἐκφυγόντας· ἐν ἀμεριμνίᾳ δὲ πάσῃ ἐπὶ τὸν μονήρη βίον ἐληλυθότας· οἱ τοιοῦτοι ἐλεεινῶς ὑπὸ τῆς τοῦ σώματος κινήσεως (12) ἐρρυπώθησαν· πρόσχωμεν ἑαυτοῖς μήποτε ἐπὶ τὴν στενὴν καὶ τεθλιμμένην (13) ὁδὸν λέγοντες ἰδεῖν, τὴν πλατεῖαν καὶ εὐρύχωρον κατέχοντες ἐπλανήθημεν (14). Στενὴν ὁδὸν ἐμφανίσει σοι θλῖψις χιλίας, στάσις παννύχιος, μέτρον ὕδατος, ἄστου ἔνδεια, ἀτι-

μίας πόμα καθάρσιον· μυκτηρισμοὶ, καταγέλωτες, ἐμπαισμοὶ, ἐκκοπὴ θελημάτων οἰκείων, προσκρούσεων ὑπομονὴ, περιφρονήσεως ἀγογγυσία, ὕβρεων βία, ἀδικούμενον ὑπομένειν ἰσχυρῶς, καταλαλούμενον μὴ ἀγαναχτεῖν, ἐξουδενούμενον μὴ ὀργίζεσθαι, κατακρινόμενον ταπεινῶσαι. Μακάριοι οἱ τὴν ὁδὸν τῶν προειρημένων ὁδῶν (15) πορευόμενοι, ὅτι αὐτῶν ἐστι ἡ βασιλεία τῶν οὐρανῶν. Οὐδεὶς ἐν τῷ οὐρανίῳ νυμφῶνι στεφανηφορῶν ἐλεύσεται [A. στεφανηφόρος εἰσελεύσεται], μὴ τὴν πρώτην, καὶ δευτέραν, καὶ τρίτην ἀποταγὴν ἀποταξάμενος· λέγω δὴ τὴν πάντων πραγμάτων, καὶ ἀνθρώπων, καὶ γονέων, καὶ τὴν ἐκκοπτὴν τοῦ ἰδίου θελήματος· καὶ τρίτην ἀποταγὴν τῆς κενοδοξίας, τῆς ἐπακολουθούσης τῇ ὑπακοῇ· *Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε* (16) · *καὶ ἀκαθαρσίας κόσμου μὴ ἅπτεσθε* [ἅψησθε], λέγει Κύριος. Τίς γὰρ παρ' ἐκείνοις θαύματα πεποίηκε πώποτε; τίς νεκροὺς ἤγειρε; τίς δαίμονας ἀπήλασεν; Οὐδείς. Ταῦτα γὰρ πάντα μοναχῶν τὰ ἔπαθλα, ἃ ὁ κόσμος χωρῆσαι οὐ δύναται. Εἰ γὰρ ἠδύνατο, περὶ τί ἡ ἄσκησις, ἦγουν ἡ ἀναχώρησις; Ὅπόταν οἱ δαίμονες μετὰ τὴν ἀποταγὴν τῇ πρὸς τοὺς γονεῖς ἡμῶν μνήμῃ, καὶ ἀδελφοὺς, καὶ καρδίαν ἡμῶν ἐκθερμαίνουσι, τότε ἡμεῖς τῇ προσευχῇ κατ' αὐτῶν ὁπλισώμεθα, καὶ τῇ τοῦ αἰωνίου πυρὸς μνήμῃ ἑαυτοὺς πυρώσωμεν, ἵνα τῇ τούτου ὑπομνήσει τὸ ἄκαιρον (17) τῆς καρδίας πῦρ κατασβέσωμεν. Εἴ (18) τις ἀπροσπαθῶς πρὸς οἷον οὖν [οἱονοῦν] πρᾶγμα διακεῖσθαι νομίζει. Ἐπὶ δὲ τῇ τούτου ἀποστερήσει τὴν καρδίαν λελύπηται, ὁ τοιοῦτος τελείως ἑαυτὸν ἠπάτησεν. Ὅσοι νέοι περὶ τοὺς τῶν σωμάτων ἔρωτας, καὶ τὴν τροφὴν ἐμμανῶς διάκεινται, καὶ τῇ μοναδικῇ πολιτείᾳ προσελθεῖν βούλονται, πάσῃ νήψει καὶ προσευχῇ ἑαυτοὺς γυμνάσωσι, καὶ πείσωσι πάσης (19) τρυφῆς, καὶ πονηρίας ἀπέχεσθαι· μήπως γένωνται αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. Ὁ λιμὴν καὶ σωτηρίας, καὶ κινδύνων πρόξενος, καὶ τοῦτο γινώσκουσιν οἱ τὴν νοητὴν θάλασσαν πλέοντες. Ἐλεεινὸν δὲ ἰδέσθαι θέαμα, τοὺς ἐν τῷ πελάγει διασωθέντας, ἐν τῷ λιμένι ναυαγήσαντας.

cretæ vitæ silentium contulerunt, per refractarios corporis motus, miserandum in modum inquinatos et pollutos esse. Studiose attendamus, ne dum verbo nos per angustam et arduam virtutis viam incedere profitemur, reipsa latam et spaciosam per imprudentiam incedamus. Angustæ vitæ vestigia tibi prodet ventris afflictio, statio pernox, aquæ etiam bibendæ modus, panis, seu mensæ frugalitas, ignominiæ poculum animum repurgans; sarcasmorum, irrisionum, ludibriorum tolerantia, voluntatum **24** propriarum abdicatio, offensionum patientia, nulla adversus nostri contemptum obmurmuratio, exantlatus contumeliarum impetus; si lædentem te fortiter toleres; si obtrectantem æquo animo sustineas; si contemptus non irascaris; si damnatus te humilies. Beati qui semitam hanc, ex supra memoratis viis, ingrediuntur; ipsorum est enim regnum cœlorum. Nullus religiosus in cœlestem thalamum ad coronam immortalitatis referendam admittetur, qui non et primam, et alteram, et tertiam abdicandi se rationem observat: ut omnibus, inquam, rebus, hominibus, parentibusque nostrum remittat: voluntatem inde suam proscribat et recidat: ac demum inanis gloriæ, quæ ex obedientiæ obsequio nasci soket, retundat. *Exite e medio eorum, separamini, et immunda sæculi nolite tangere*[17], inquit Dominus. Quis enim apud illos unquam admiranda aliqua perpetravit? quis mortuis vitam reddidit? quis dæmones profligavit? nemo. Hæc enim omnia religiosorum virorum sunt præmia, quæ mundus capere non potest. Nam si posset, ad quid religiosa exercitatio? quorsum ab sæculo secessio? Quando suggerentibus dæmonibus animi nostri memoria parentum, aut fratrum incalescunt, ad arma precum confugiamus, ignisque æterni recordatione nos contra inflammemus, ut importunum cordis incendium gravioris, et nunquam finiendi incendii metu exstinguamus. Qui nullam ad rem se affici putat, et tamen **25** cum desiderandum quid est, dolet, se ipse planissime decipit. Adolescentes amoribus et deliciis corporis penitus immersi, quando ad religiosæ vitæ disciplinam transire cupiunt, sobrietati et orationibus se totos addicant, sibique ab omni corporis gaudio, luxu, et nequitia abstinendum existiment, ne posteriora illorum forte fiant pejora prioribus[18]. Portus (hoc est religio) et potest esse salutis, et exitii occasio: quod haud ignorant ii, qui fretum hoc spirituale trajiciunt. Lamentabile spectaculum est, post trajectum mundi pelagus, in religionis portu cernere naufragantes.

Δευτέρα ἀνάβασις· ὁ τρέχων μὴ τὴν σύζυγον, ἀλλὰ τὸν Λὼτ μιμούμενος φεύγῃ.

Alter hic gradus est, uti Lotum, non Loti uxorem, fugiendo imitere.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Β'.

SCHOLIA AD GRADUM II.

Περὶ ἀπροσπαθείας.

Σχόλιον α'.

De exuendis affectibus erga res morales.

Scholion 1.

Οστις ἐν ἀπαθείᾳ καὶ συμπαθείᾳ ἀμετάτρεπτος πρὸς τὴν ἀγάπην ἔστηκεν, οὗτος ἐν ἀληθείᾳ ἀγαπᾷ τὸν ἀγαπώμενον. Τὸ δὲ τίθέναι τὸν νοῦν πρὸς σχέσεις, καὶ φροντίδας τῶν κατὰ κόσμον, πρὸς τὰ, ἀφ' ὧν ἐξελήλυθεν ἐπιστραφῆναί ἐστιν.

Quicunque in animi tranquillitate et affectu immotus persistit, hic vere diligendum diligit. Mentem vero ad affectus, et curas rerum secularium transferre, est reverti ad ea unde deseruit.

[16] Isa. LII, 11. [17] Matth. XII, 45.

Scholion Basilii Magni. 2.

Quisquis Deum vere sequi studet, oportet ut a vinculis affectionum hujus vitæ solvatur : hoc autem recte fiet, si ab hominum tumultu omnino recesserimus, et prioris vitæ mores, et consuetudines æterna oblivione sepeliverimus. Nisi quippe nos ab necessitudinibus sanguinis, et propinquitatis sejunxerimus, et affectu animi velut in alteram vitam transiverimus, quemadmodum ille dixit : **26** *Nostra autem conversatio in cœlis est* [19], fieri nullo modo potest, ut metam nobis propositam attingamus, Deoque placeamus, Domino sic absolute pronuntiante : *Quoniam omnis ex vobis, qui non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus* [20].

Scholion 3.

Hoc ergo primum est, quo par est verum et sincerum Christianum potissimum exui et nudari, mali, inquam, erga vitia et varia et diversa, per quæ inquinatur anima, affectus. Sed enim quod secundus gradus, seu sermo præscribit, ponendus etiam et exuendus affectus est erga bona.

Davidis Jeremiæ 4.

Per abdicationem vitæ sæcularis feliciter (ait) progredi eum, qui ad sublimem religionis vitam aspirat, eo quod multum animæ negotium rerum corporearum cura et sollicitudo facessat.

Aliud scholion.

Omnis erga res mundi affectionis abdicatio, et cum humili sensu, veraque pœnitentia contemptio vehementer prosunt animæ in mortis necessitate constitutæ.

Scholion 5.

Quemadmodum moritur mundo, qui mundi affectiones et sensum superat, ita moritur vitæ, qui vitæ præcepta non facit. Et quemadmodum animal, cum non amplius movetur et nihil agit, mortuum dicimus, ita religiosus, qui per abnegationem voluntatum suarum, eo quod non sequatur studia vitæ, vere secundum spiritalem sensum mortuus et est, et dicitur.

Scholion 6.

Bona vendere et dare pauperibus, et tollere crucem suam, et sequi se Dominus præcepit, ut nobis ostenderet, quod voluntatem propriam rescindere sit salvari. Quod cum audisset (ille evangelicus adolescens) tristis factus vehementer abiit. Didicerat enim quod parum, aut nihil negotii sit, dare sua pauperibus præ illo quod etiam tollenda crux sit. Dare enim sua pauperibus una quædam virtus est, quam homo, dum crucem tollit, facit. Crux vero ipsa cessatio est ab omni peccato, et parit charitatem; sine charitate quippe neque crux est. Dum enim suam quis voluntatem exscindit, hoc ipso acquirit ab omni pravo affectu liberationem, ex qua ad perfectam cum Deo aspirat animi tranquillitatem.

[19] Philipp. III, 20. [20] Luc. XIV, 33.

Σχόλιον τοῦ μεγάλου Βασιλείου β'.

Λυθῆναι δεῖ τὸν δεσμὸν τῆς προσπαθείας τοῦ βίου, τόν γε ἀληθινῶς τῷ Θεῷ κατακολουθήσειν μέλλοντα. Τοῦτο δὲ διὰ παντελοῦς ἀναχωρήσεως, καὶ λήθης τῶν παλαιῶν ἠθῶν κατορθοῦται, Ὡς εἰ μή γε ἀποξενώσωμεν ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον βίον διὰ τῆς σχέσεως μεταβάντες, κατὰ τὸν εἰπόντα· *Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει·* ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως, τοῦ Κυρίου ἀριστικῶς εἰπόντος οὕτως· *Ὅτι πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής.*

Σχόλιον γ'.

Τὸ μὲν οὖν προηγούμενόν ἐστιν, οὗ μάλιστα προσῆκει τὸν ὄντως γυμνωθῆναι Χριστιανὸν, τὰ κατὰ κακίας πάθη, τὰ ποικίλα τε, καὶ διάφορα, δι' ὧν μολύνεται ἡ ψυχή. Χρὴ δὲ κατὰ δεύτερον λόγον, καὶ τὴν τῶν ὑπαρχόντων προσπάθειαν.

Δαβὶδ Ἱερεμίας δ'.

Ἀποταγὴν κατορθωθῆναι τὸν πρὸς τὸν ὑψηλὸν ἀποβλέποντα βίον· διότι πολὺν παρέχει πειρασμὸν τῇ ψυχῇ ἡ τῶν ὑλικῶν πραγμάτων φροντίς τε, καὶ ἐπιμέλεια.

Σχόλιον ἄλλο.

Πάσης σχέσεως ἀπόθεσις, καὶ καταφρόνησις μετὰ φρονήματος ταπεινοῦ, καὶ μετανοίας εἰλικρινοῦς εὐεργετήματά ἐστι τῆς κατὰ τὴν ἔξοδον ἀνάγκης.

Σχόλιον ε'.

Ὥσπερ γὰρ νεκροῦται τῷ κόσμῳ ὁ τὰ ἰδιώματα τοῦ κόσμου ὑπεκδραμών, οὕτω νεκροῦται τῇ ζωῇ ὁ τὰ τῆς ζωῆς μὴ ποιῶν ἐντάλματα. Καὶ καθὼς διὰ τὸ ἀκίνητον καὶ ἀνενέργητον γενέσθαι τὸ ζῶον, νεκρὸν εἶναί φαμεν, οὕτω καὶ διὰ τὸ μὴ ἐπακολουθεῖν τῇ ζωῇ, διὰ τῆς ἀπαρνήσεως τῶν θελημάτων, νεκρὸς νοητὸς καὶ ἔστι καὶ λέγεται.

Σχόλιον ς'.

Ὑπάρχοντα πωλῆσαι καὶ δοῦναι πτωχοῖς, καὶ ἆραι τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖν αὐτῷ ὁ Κύριος διεκελεύσατο, δεικνύων ἡμῖν ὅτι τὸ κόψαι τὸ θέλημα, τοῦτ' ἔστι τὸ σωθῆναι. Ἀκούσας γὰρ περίλυπος ἐγένετο σφόδρα, καὶ ἀνεχώρησεν. Ἔμαθε γὰρ ὅτι οὐκ ἔστι κόπος τὸ δοῦναι τὰ ἑαυτοῦ τοῖς πτωχοῖς, μία ἀρετή ἐστι, καὶ ποιεῖ αὐτὴν ὁ ἄνθρωπος διὰ τοῦ βαστάσαι τὸν σταυρόν. Ὁ δὲ σταυρὸς κατάργησίς ἐστι πάσης ἁμαρτίας, καὶ τίκτει τὴν ἀγάπην, καὶ χωρὶς ἀγάπης οὐδὲ σταυρός. Ἐκ τοῦ γὰρ κόπτειν τινὰ τὸ θέλημα αὐτοῦ, κτᾶται τὴν ἀπροσπάθειαν, καὶ ἐκ τῆς ἀπροσπαθείας ἔρχεται σὺν Θεῷ εἰς τὴν τελείαν ἀπάθειαν.

Σχόλιον ζ'.

Αἰσθητῶς καὶ νοητῶς· διχῶς γὰρ εἴρηται νέκρωσις. Ἔστι νεκρὸς, θανὼν διὰ τὸ ἀκίνητον καὶ ἀνενέργητον. Καὶ ἔστι νεκρὸς, ὁ τῇ ψυχῇ νεκρωθεὶς, διὰ τὸ μὴ ἀκολουθεῖν τῇ ζωῇ.

Σχόλιον η'.

Νέκρωσον τὴν κακίαν, ἵνα μὴ νεκρὸς ἀναστῇς, καὶ ἐκ μικροῦ θανάτου εἰς μέγαν μεταβῇς.

Σχόλιον θ'.

Νόθος ἄσκησις, ἡ δι' ἔπαινον ἀνθρώπων γινομένη. Τὸ δὲ μετὰ δοκιμασίας Πατέρων τελούμενον, γνήσιον κατὰ τὸν λέγοντα· *Ὅτι ἀφ' ἑαυτοῦ ποιῶ οὐδέν.* Ὃ μετὰ τοῦ τέλειον εἶναι, τηρεῖται καὶ ἀκενόδοξον.

Σχόλιον ι'.

Κόσμον λέγει ὑλικὸν ἡ Γραφὴ, τὰ ὑλικὰ πράγματα. Καὶ κοσμικοί εἰσιν οἱ τούτοις τὸν νοῦν ἐνασχολοῦντες, πρὸς οὓς καὶ λέγει ἐντρεπτικώτερον· *Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν κόσμῳ.* Ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου οὐκ ἔστι ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί· καὶ τὰ ἑξῆς.

Σχόλιον ια'.

Μὴ νομίσῃς ὅτι τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου ἡ κτῆσις μόνη φιλοκτημοσύνη ἐστίν· ἀλλὰ πᾶν ὁτιοῦν, ἐν ᾧ τὸ θέλημά σου κρέμαται.

Σχόλιον ιβ'.

Γίνεται τοῦτο ἐξ ἀμελείας, ἐξ ἀπροσεξίας, ἐξ οἰήσεως, ἐξ ἰδιορυθμίας, καὶ ἐξ παιδευόντων ἐγκαταλείψεως, ὅπερ κίνδυνος τοῦ προεστῶτος.

Σχόλιον ιγ'.

Ὁδοὺς ἡ Γραφὴ τὰς ἀρετὰς ὀνομάζει. Μεῖζον δὲ πασῶν ἀρετῶν ἡ ἀγάπη καθέστηκε. Διὰ τοῦτο λέγει ὁ Ἀπόστολος· *Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι.* Ὡς καταφρονεῖν πεῖθουσαν ὕλης ἁπάσης, καὶ μηδὲν τῶν προσκαίρων προτιμήσασαν τῶν αἰωνίων.

Σχόλιον ιδ'.

Ἐπειδὴ αἱ θλίψεις, καὶ οἱ κίνδυνοι ἀποκτείνουσι τὴν ἡδυπάθειαν, ἡ δὲ ἀνάπαυσις τρέφει, καὶ αὔξει αὐτήν· διὰ τοῦτο μακάριοι οἱ τὴν τεθλιμμένην ὁδὸν ὁδεύοντες.

Σχόλιον ιε'

Κατ' αὐτὸ τοῦτο καὶ τὴν ξενιτείαν ὁρίζονται χρημάτων, κτημάτων, σωμάτων, δόξης καὶ θελήματος.

Σχόλιον ις'.

Οὗ καθὸ ἐκτίσθη καὶ ἐγένετο ἄνθρωπος λέγεται ἀκάθαρτος, ἀλλὰ καθὸ τοῖς θελήμασι ἐξετράπη. Καὶ ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. Ἀκαθαρσία κόσμου τὸ φιλήδονον, τὸ φιλόϋλον, τὸ φιλόδοξον.

Σχόλιον ιζ'.

Ἄκαιρον πῦρ λέγει, ὅτι τῆς ἐπιθυμίας, καὶ προσ-

A

B

C

D

27 *Scholion* 7.

Quo sensu, qua ratione. Duplicem enim dictum est esse mortificationem. Est mortuus qui motu, et actione caret : et est mortuus, qui mortificatus animo, non vivit secundum sensum vitæ sæcularis.

Scholion 8

Neca malitiam, ne mortuus (sensus) resurgat, et ex prava morte ruina ingens sequatur.

Scholion 9.

Exercitatio ficta et spuria est, quæ propter humanam laudem suscipitur. Quod per Patrum spiritualium probationem perficitur, sincerum est, uti testatur qui dicit : *Quia ā me ipso facio nihil*[21]. Quod cum perfectione conjunctum est, etiam vana gloria vacat.

Scholion 10.

Mundum Scriptura sacra vocat negotia mundana et sæcularia : mundani sunt qui mentem hujusmodi negotiis occupant, quos acrius hortatur : *Nolite diligere mundum, neque ea quæ in mundo sunt*[22]. Concupiscentia oculorum, et superbia vitæ non est ex Deo, sed ex mundo est, et quæ sequuntur.

Scholion 11.

Non est quod existimes auri tantum, et argenti possessionem avaritiæ nomine contineri : avaritia est a quocunque tua voluntas pendet.

Scholion 12.

Hoc fit ex negligentia, et remissione attentionis, suique ipsius existimatione, proprio judicio, informantium seu instituentium cessatione, quod periculum religiosi præsidis est.

Scholion 13.

Vias Scriptura virtutes appellat. Virtutum autem omnium princeps est charitas. Propterea dixit Apostolus : *Et adhuc excellentiorem viam demonstro*[23], quæ persuadeat ut omnia corporea contemnatis, et nihil præsentium æternis præponatis.

Scholion 14.

Cum afflictiones et pericula mactent voluptatem, quies autem alat et augeat eamdem ; beati sunt qui viam arctam ingrediuntur et incedunt[24].

Scholion 15.

Eodem modo secessum a sæculo definiunt, ut peregrinus religiosus deserat **28** pecunias, opes, corpora, gloriam, voluntatem suam.

Scholion 16.

Non quatenus homo factus, et creatus est, dicitur impurus : sed quatenus perversa sua voluntate a Deo declinavit. Omnis autem a Deo impurus habetur, qui est arrogans. Impuritas mundi est, quidquid voluptatem, res corporeas, et vanam gloriam sectatur.

Scholion 17.

Importunum ignem vocat, quod cupiditatem et

[21] Joan. VIII, 28. [22] I Joan. II, 15. [23] I Cor. XII, 31 [24] Matth. VII, 14.

affectum erga cognatos, et res mundanas accendat, et inflammet nos, ut in eorum affectu hæreamus. Opportunus enim est, qui a charitate Dei profectus accenditur.

Scholion 18.

Omnis rei quæ in sensum cadit cogitatio, in qua mens diu hæret omnino quod affectum habeas ad illam ostendit.

Scholion 19.

Luxuria, propter fornicationem, et mentis obscurationem; malitia autem, propter reprehensionum querelas.

A παθείας τῶν συγγενῶν, καὶ τῶν τοῦ κόσμου ἀνάπτων, καὶ ἐκκαῖον ἡμᾶς εἰς τὸ εἰσέτι τῇ αὐτῶν προσπαθείᾳ ἐμμένειν. Εὔκαιρον γὰρ τὸ ὑπὸ τῆς ἀγάπης τοῦ Θεοῦ ἐκκαιόμενον πῦρ.

Σχόλιον ιη.

Πᾶν νόημα πράγματος αἰσθητοῦ, ἐν ᾧ ἐγχρονίζει ὁ νοῦς, πάντως ὅτι πάθος ἔχει πρὸς αὐτὸ δείκνυσι.

Σχόλιον ιθ'.

Τῆς τρυφῆς διὰ τὴν πορνείαν, καὶ τὴν τοῦ νοὸς σκότωσιν· τῆς δὲ πονηρίας διὰ τὸ μεμψίμοιρον.

GRADUS III

De peregrinatione, sive de fuga mundi et ingressu religiosæ vitæ.

ΛΟΓΟΣ Γ'.

Περὶ ξενιτείας.

B

Peregrinatio, seu fuga sæculi, est omnium commodorum, quæ ab destinata te pietatis meta præpediunt, in omnem vitam repudiatio. Peregrinatio est morum disciplina, ignota sapientia, abhorrens a publico sensu, abscondita [dissimulata] vita, non apparens finis et scopus, tacita meditatio, despicientiæ appetentia, desiderium afflictionis, divini affectus argumentum, amoris copia, vanæ gloriæ proscriptio, altum silentium. Solet præterea et hæc cogitatio ab ipso statim principio Domini sectatoribus, tanquam igne cœlesti succensis assidue vehementerque **29** obstrepere et incumbere, sejunctio et separatio ab suis, quæ non alio fine fit, quam studio proprii contemptus et afflictionis, quo ad tantum decus Dei amatores impelluntur. Quæ quidem quanto sublimior est, majoreque laude dignior, tanto majore judicio et prudentia indiget. Neque enim omnis secessio magno animi impetu facta probanda est. Nam si, teste Domino [25], nullus in patria propheta non contemnitur, videndum est ne fugiendo patriam, patriam quæramus, hoc est vanæ gloriæ segetem metamus. Est enim secessus hic nihil aliud, quam ut cogitatione ab rebus omnibus separeris, pro eo quod mens tua non separatur a Deo. Hæc peregrinatio est, assidui luctus cultrix et effectrix. Peregrinus est, qui omnem ad sua, et aliena affectum fugit. Tu (qui solitudinem cogitas), noli exspectare dum se tui familiares ab mundi negotiis expediant, ne te mors uti fur inopinato deprehendat. Haud pauci sane, dum ignavos et desides, quos servare secum cupiebant, præstolati sunt, calore cœlestis flammæ sensim refrigescente, cum illis perierunt. Ergo concepto hoc intra te divini amoris incendio curre; cum ignores quando exstinguatur, et te in tenebris relictum destituat. De aliorum periculo non omnibus nobis reposcetur ratio, uti divinus docet Apostolus: « *Itaque unusquisque nostrum pro se rationem, fratres, Deo reddet* [26]. » Et iterum:

(1) Ξενιτεία ἐστὶ κατάλειψις ἀνεπίστροφος πάντων τῶν ἐν τῇ πατρίδι, πρὸς τὸν τῆς εὐσεβείας σκοπὸν ἡμῖν ἀντιπραττόντων. (*a*) Ξενιτεία ἐστὶν ἀπαρρήσιαστον ἦθος, ἄγνωστος σοφία, ἀδημοσίευτος σύνεσις, ἀπόκρυφος βίος, ἀθεώρητος σκοπὸς, ἀφανὴς λογισμὸς, εὐτελείας ὄρεξις, στενοχωρίας ἐπιθυμία, πόθου θείου ὑπόθεσις, ἔρωτος πλῆθος, κενοδοξίας ἄρνησις, σιωπῆς βυθός. Πέφυκέ πως καὶ οὗτος ὁ λογισμὸς ἐν προοιμίοις τοῖς ἐρασταῖς Κυρίου ἀεννάως, καὶ ἐπιτεταμένως διενοχλεῖν, ὡς ἐν θείῳ πυρί· λέγω δὲ ὁ τῶν ἰδίων [A. οἰκείων] μακρισμὸς, σκοπῷ εὐτελείας, καὶ ὀλίψεως, προτρεπόμενος τοὺς ἐραστὰς τοῦ τοιούτου καλοῦ. Πλὴν καθ' ὅσον μέγας καὶ ἀξιέπαινός ἐστι, κατὰ τοσοῦτον πολλὴν καὶ τὴν διάκρισιν κέκτηται. Οὐ γὰρ πᾶσα (2) ξενιτεία ἄκρως γενομένη [γινομένη] καλή· εἰ πᾶς προφήτης ἄτιμος ἐν τῇ ἰδίᾳ πατρίδι, ὡς φησιν ὁ Κύριος, σκοπήσωμεν μή πως γένηται ἡμῖν ξενιτεία κενοδοξίας ὑπόθεσις. Ξενιτεία γάρ ἐστιν ὁ (3) πάντων χωρισμὸς, διὰ τὸ τὸν λογισμὸν ποιῆσαι Θεοῦ ἀχώριστον. Ξενιτεία ἐστὶν ἀνεμπλήστου πένθους ἐραστὴς, καὶ ἐργάτης (4). Ξένος ἐστὶν ὁ πάσης ἰδίων καὶ ἀλλοτρίων σχέσεως φυγάς. Μὴ ἀνάμενε ἐπὶ τὴν μονίαν, ἢ ἐπὶ τὴν ξενιτείαν ἐπειγόμενος τὰς φιλοκόσμους ψυχάς· δι' ὅτι ὁ κλέπτης ἀνυπονόητος. Πολλοὶ συσσῶσαι πειραθέντες ῥᾳθύμους καὶ ὀκνηροὺς, συναπώλοντο, τοῦ πυρὸς τῷ χρόνῳ ἀποσβεσθέντος. Δεξάμενος φλόγα τρέχε. Οὐ γὰρ γινώσκεις, τὸ, πότε σβέννυται, καὶ ἐν σκοτίᾳ σε καταλήψει. Ἄλλους μὲν σῶσαι οὐ πάντες ἀπαιτούμεθα. Φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος· *Ἄρα οὖν ἕκαστος ἡμῶν ἀδελφοὶ, περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.* Καὶ πάλιν· *Ὁ διδάσκων, φησὶν, ἕτερον σεαυτὸν οὐ διδάσκεις.* Ὥσπερ ἔλεγε· Περὶ ἄλλων μὲν οὐκ οἶδα, ἑαυτοὺς δὲ πάντας πάντως. Ξενιτεύων ἀσφαλίζου τὸν γυρευτὴν, καὶ φιλήδονον δαίμονα. Ἡ γὰρ ξενιτεία ἀφορμὴν αὐτῷ δίδωσι. Καλὴ ἡ ἀπροσπάθεια, ταύτης δὲ ξενιτεία μήτηρ· ὁ (5) ξενιτεύσας διὰ τὸν Κύριον, οὐκ ἔτι σχέσεις ἔσχηκεν, ἵνα μὴ φανῇ δια πάθη πλαζόμενος. Ὁ κόσμου ξενιτεύων, μηκέτι κόσμου προσψαύσῃς· πεφύκασι γὰρ τὰ πάθη φιλεπίστροφα εἶναι. Ἐξορί-

[25] Matth. XIII, 57. [26] Rom. XIV, 12.

(*a*) Mendosus hic cod. M.; sequor Augustanum.

ζεται ἀκουσίως ἡ Εὔα τοῦ παραδείσου, καὶ μοναχὸς ἑκουσίως τῆς ἑαυτοῦ πατρίδος. Ἡ μὲν γὰρ πάλιν του ξύλου τῆς παρακοῆς ἐπιθυμεῖν ἔμελλεν· ὁ δὲ κίνδυνον ἐκ τῶν κατὰ σάρκα συγγενῶν πάντως ὑφίστατο (6). Ἀπόφευγε ὡς ἀπὸ μάστιγος, τοὺς τῶν πτωμάτων τόπους. Καρποῦ γὰρ μὴ παρόντος οὐ συνεχῶς ὀρεγόμεθα. Μηδὲ οὗτος ὁ τρόπος, καὶ δόλος τῶν κλεπτῶν λανθανέτω σε· ὑποβάλλουσι γὰρ ἡμῖν τῶν κοσμικῶν μὴ χωρίζεσθαι, πολὺν τὸν μισθὸν ἡμᾶς λέγοντες κομίζεσθαι, εἴπερ ὁρῶντες τὸ θῆλυ ἑαυτῶν κρατήσωμεν, οἵστισιν οὐ πείθεσθαι δεῖ, μᾶλλον δὲ τοὐναντίον ποιεῖν. Ὅταν τῶν οἰκείων ἡμῶν ἐπὶ χρόνον, ἢ χρόνους ἀναχωρήσαντες μικράν τινα εὐλάβειαν, ἢ κατάνυξιν, ἢ ἐγκράτειαν ἑαυτοῖς περιποιησώμεθα· τότε λοιπὸν οἱ λογισμοὶ τῆς ματαιότητος ἐπιστάντες πορεύεσθαι ἡμῖν πάλιν ἐπὶ τὴν οἰκείαν πατρίδα ἐπιτρέπουσιν εἰς οἰκοδομὴν πολλῶν, φησὶν, καὶ τύπον, καὶ ὠφέλειαν τῶν τὰς πράξεις ἡμῶν τὰς ἀθεμίτους σκοπούντων. Εἰ δὲ καὶ λόγου, καὶ φίλης γνώσεως εὐποροῦντες τυγχάνομεν, τότε λοιπὸν ὡς σωτῆρας ψυχῶν, καὶ διδασκάλους ἡμᾶς ἐν αὐτῷ κόσμῳ ὑποβάλλουσιν, ἵνα τὰ ἐν τῷ λιμένι συναχθέντα καλῶς, ἐν τῷ πελάγει κακῶς σκορπίσωσι. Μὴ τὴν (7) γυναῖκα, ἀλλ' αὐτὸν τὸν Λὼτ μιμεῖσθαι σπουδάσωμεν· ψυχὴ γὰρ (8) στραφεῖσα ὅθεν ἐξῆλθεν, ὡς τὸ ἅλας μωρανθήσεται, καὶ ἀκίνητος λοιπὸν μένει. Φεῦγε Αἴγυπτον ἀμεταστρεπτί. Αἱ γὰρ στραφεῖσαι καρδίαι ἐκεῖ τὴν γῆν τῆς ἀπαθείας Ἰερουσαλὴμ οὐκ ἐθεάσαντο. Ἔστιν ἐν προοιμίοις διὰ τὸ νηπιῶδες ἀπολιπόντας τὰ οἰκεῖα, καὶ τελείως καθαρθέντας, πρὸς αὐτὰ συμφερόντως ἐπιστραφῆναι, ἴσως σκοπῷ τοῦ μετὰ τὸ σωθῆναι σῶσαί τινας. Καίπερ ἐκ Θεοῦ Μωσῆς ἐκεῖνος ὁ θεόπτης, πρὸς σωτηρίαν τοῦ ὁμοφύλου γένους ἀποσταλεὶς, πολλοὺς ἐν Αἰγύπτῳ τοὺς κινδύνους, ἤγουν ἐν τῷ κόσμῳ τοὺς σκοτασμοὺς ἔσχηκε. Καλὸν λυπῆσαι γονεῖς, καὶ μὴ Κύριον· ὁ μὲν γὰρ καὶ ἔπλασε, καὶ ἔσωσεν· οἱ δὲ πολλάκις οὓς ἠγάπησαν, ἀπόλεσαν, καὶ τῇ κολάσει παρέδωκαν· ξένος ἐκεῖνός ἐστι· ὁ ὡς (9) ἀλλόγλωσσος ἐν ἑτεροglώσσοις [ἔθνεσι] ἐν γνώσει καθήμενος. Οὐ (10) μισοῦντες ἡμεῖς τοὺς οἰκείους ἑαυτῶν, ἢ τοὺς τόπους ἀναχωροῦμεν, μὴ γένοιτο! ἀλλὰ τὴν ἐξ αὐτῶν ἡμῖν προστιγνομένην βλάβην ἐκφεύγοντες. Ὡς ἐν πᾶσι, καὶ ἐν τούτοις γίνεται ἡμῖν Χριστὸς τοῖς ἀγαθοῖς διδάσκαλος. Φαίνεται γὰρ καὶ αὐτὸς τοὺς γονεῖς κατὰ σάρκα πολλάκις καταλιπών· καὶ παρά τινων ἀκούων· *Ἡ μήτηρ σου, καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε·* θᾶττον ὁ καλὸς ἡμῶν Κύριος, καὶ διδάσκαλος ἀπαθὲς μῖσος ὑπέδειξεν εἰπών· *Μήτηρ μου, καὶ ἀδελφοί μού εἰσιν οἱ ποιοῦντες τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐραvοῖς.* Ἔστω σου πατὴρ ὁ πρὸς τὸ φορτίον τῶν ἁμαρτημάτων συγκοπιάσαι δυνάμενος, καὶ βουλόμενος, μήτηρ δὲ, ἡ κατάνυξις, ἡ ἀποπλῦναί σε τοῦ ῥύπου ἰσχύουσα· ἀδελφὸς δὲ, ὁ πρὸς τὸν δρόμον τὸν ἄνω συμπονῶν καὶ συναμιλλώμενος· κτῆσαι σύμβιον ἀναπόσπαστον μνήμην θανάτου· τέκνα δέ σου φιλητὰ ἔστωσαν στεναγμοὶ καρδίας. Δοῦλον κτῆσαι

A *Qui doces alium, te ipsum non doces* [27]. perinde quasi diceret : De aliis quidem haud scio ; seipsum certe **30** quisque nosse penitus. et servare cogitur. Peregrinabundus, cave vagabundum et voluptarium dæmonem : peregrinatio enim illi occasionem propinat. Præclarum est omni rerum humanarum affectu vacare, quam rem efficit hic secessus. Qui Christi causa peregrinatur, nullius rei desiderio trahitur, nisi Christi ; alioqui errabundus animi sui affectus morbosque sequi videbitur. Qui mundum deseruisti, quæ mundi sunt ne contigeris. Amant enim sopita desideria reviviscere. Eva ægre a paradiso avulsa est : religiosus sponte animi a patria exsulat. Illa enim lignum inobedientiæ rursum concupitura

B erat : hic certissimum salutis periculum per cognatos aditurus. Refuge, non secus atque a flagro, loca quæ tibi lapsus et peccati occasionem præbent. Pomum absens non ita perpetuo appetitur, ac præsens. Nec iste te dolus astusque stygiorum tenebrionum fugiat. Suggerunt enim nobis ne ab hominum turbis secedamus, quod magnum inde gloriæ præmium simus relaturi, si feminam oculis contemplati, ab illa tamen nos abstinuerimus. Non sunt hi nobis audiendi, imo contra nitendum. Quando a familiaribus et domesticis unum alterumve, aut complures etiam annos sejuncti, qualemqualem in solitudine pietatis fructum tulimus, doloremque de exacta cum peccatis vita cum luctu conce-

C pimus, et continentiam comparavimus, tum vero nobis ineptæ mox cogitationes de repetenda patria occursant, uti multis, quos ante morum pravitate offendimus, exemplo **31** vitæ novaque vivendi ratione ad imitationem permoveamus. Quod si qua nobis dicendi facultas, aut aliqua rerum cognitio inerit, tum nos eximios aliorum magistros, et doctores ductoresque salutis in populo fore prædicant, uti collectum in portu thesaurum [ut bene parta, male dissipemus] in pelagus spargamus [in mari dissipemus]. Lotum, non uxorem Loti imitari studeamus. Nam quisquis ad ea unde abiit revertitur, tanquam sal infatuabitur, et deinceps (ut statua illa) immotus

D obdurescet. Ægyptum sine spe reditionis fuge : nam quorum animi cordave illuc reversa sunt, sedem pacis et tranquillitatis Jerusalem non viderunt. Sunt tamen qui primum innocentiæ tuendæ causa patriam deseruere, ac demum confirmato repurgatoque animo, non sine fructu, ad eamdem reviserunt, eo reor animo, uti partam sibi salutem aliis etiam nonnullis impertirentur. Quando divinus ille spectator, et contemplator Numinis Moyses ad gentem suam, publicæ salutis causa, a Deo remissus, multos periculorum casus adiit, multaque mundi caligine et nocte sæpe involutus est. Præstat of-

[27] Rom. II, 21.

fendere parentes, quam Dominum parentum : hic enim te formavit et liberavit ; illi sæpe, quos dilexerunt, perdidere, æternisque inferorum cruciatibus tradidere. Peregrinus est, qui velut mutus inter peregrinæ linguæ gentes omnium intelligens moratur. Cum relicta patria in solitudinem secedimus, non id domesticorum, vel locorum odio facimus : absit hoc a nobis piaculum : sed inde fugimus **32** ut damnum nobis illorum causa imminens evitemus. Quemadmodum aliis omnibus in rebus, ita in hac quoque re Dominus nobis magister, et exemplum exstitit. Videtur enim, et ipse sæpe parentes suos reliquisse. Nam cum ab quibusdam audiret, *Mater tua et fratres tui quærunt te* [18], optimus magister, et præceptor noster extemplo odium absque odio [sine malo affectu] nobis exemplo ostendit, quando dixit : *Mater mea et fratres mei sunt, qui faciunt voluntatem Patris mei, qui est in cœlis* [19]. Pater tuus sit, qui te possit et velit ab onere peccatorum levare ; mater tua luctus [compunctio] super peccatis, qui animi sordes abstergat ; frater, qui te ad rerum cœlestium cursum adjuvet, tecumque ut commilito laboret ac pugnet. Quære tibi conjugem nunquam separandam, assiduam mortis meditationem. Nati tui charissimi sint perpetui gemitus cordis, servus tuus sit corpus tuum. Amici cœlitum legiones, quæ tibi, si familiares hic reddideris, in digressu animi a corpore, suppetias ibunt. « Hæc est generatio quærentium Dominum [20], » desiderium cœli desiderium exstinxit parentum. Qui jactat se utrumque possidere, seipsum fallit, cum audiat reclamantem : *Nemo potest duobus dominis servire*, et quæ sequuntur [21]. *Non veni*, inquit, *mittere pacem in terram* (parentum erga Filios et fratres qui servire mihi decreverunt), *sed bellum et gladium* [22], ut separem cultores Dei ab amatoribus mundi, terram a cœlo, superbos ab submissis. Delectatur **33** enim Dominus hac dissensione et secessione sua causa facta. Cave, cave, ne, omnibus aquarum inundatione obrutis, rerum domesticarum desiderio tactus, et tractus simul illuvione mundi involvaris. Non te parentum et amicorum lacrymæ moveant, ne olim æternum plores. Quando illi te velut apum examina, imo vesparum, cinxerint, tuique super te velut lessum et lamentationem instituerint, extemplo animum pertinaciter ad mortis meditationem, et labores transfer, ut laborem labore, tanquam clavum clavo pellas. Pollicentur illi domestici nostri (imo alieni potius) nobis in speciem aureos montes, omniaque se nobis grata præstaturos, sed eo fine, uti nos ab optimo salutis cursu præpediant, ac demum ad sua studia votaque pertrahant. Secedendum autem nobis est in ea loca, quæ minus celebritatis, consolationis et gloriæ habent :

σὸν σῶμα. (11) Φίλους δὲ τὰς ἁγίας δυνάμεις, αἵτινες ἐν καιρῷ ἐξόδου ὠφελῆσαί σε δύνανται, ἐὰν φίλοι σου γίνωνται · « Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, » (12) πόθος Θεοῦ ἀπέσβεσεν πόθον γονέων. Ὁ δὲ λέγων ἀμφότερα ἔχειν, πεπλάνηκεν ἑαυτὸν ἀκούων τοῦ λέγοντος · *Οὐδεὶς δύναται* (13) *δυσὶ κυρίοις δουλεύειν*, καὶ τὰ ἑξῆς. *Οὐκ ἦλθον*, φησὶν ὁ Κύριος, *εἰρήνην βαλεῖν ἐπὶ τῆς γῆς* (γονέων πρὸς υἱοὺς καὶ ἀδελφοὺς δουλεῦσαί μοι προαιρουμένους), *ἀλλὰ μάχην καὶ μάχαιραν*, διχάσαι φιλοθέους ἐκ φιλοκόσμων · ὑλικοὺς ἐξ ἀΰλων, φιλοδόξους ἐκ ταπεινοφρόνων. Εὐφραίνεται γὰρ Κύριος ἐπ' ἀμφιβολίᾳ καὶ χωρισμῷ, διὰ τὴν πρὸς αὐτὸν ἀγάπην γινομένῳ. Ὅρα ὅρα, μή πως ὑδάτων τὰ πάντα σοι πεπληρωμένα, φανῇ διὰ τὴν προσπάθειαν τῶν οἰκείων σοι ἀγαπητῶν, καὶ τῷ κατακλυσμῷ φιλονεικίας συναπέλθῃς. Μὴ οἰκτειρήσῃς γονέων ἢ φίλων δάκρυα · εἰ δὲ μή, αἰωνίως μέλλεις δακρύειν. Ὁπόταν σε περικυκλώσωσιν ὥσπερ μέλισσαι, μᾶλλον δὲ σφῆκες, θρῆνον οἱ ἴδιοι ποιούμενοι ἐπὶ σοὶ, συντόμως πρὸς τὸν θάνατον, καὶ τὰς πράξεις τὸ τῆς ψυχῆς ὅμμα ἀμεταστρέπτως ἀτένισον, ἵνα (14) πόνον πόνῳ δυνηθῇς ἀποπέμψασθαι. Ὑπισχνοῦνται δολίως ἡμῖν οἱ ἡμῶν, καὶ οὐχ (15) ἡμῶν, πάντα τὰ φίλα διαπράττεσθαι, σκοπὸς δὲ τούτοις τῷ ἀρίστῳ ἡμῶν ἐμποδίσαι δρόμῳ, εἶτ' οὕτως λοιπὸν πρὸς τὸν οἰκεῖον σκοπὸν ἡμᾶς ἐπισπάσασθαι. Ἡ τῶν τόπων ἡμῶν ἀναχώρησις ἔστω, εἰς τὰ ἀπαρακλητικώτερα, καὶ ἀκενοδοξότερα, καὶ ταπεινότερα μέρη · εἰ δὲ μή, μετὰ πάθους πετόμεθα. (16) Ἀπόκρυπτε εὐγένειαν, καὶ εὐδοξίαν μὴ ἀναπόμπευε, μή πως εὑρεθῇς ἕτερος μὲν ἐν τῷ σώματι, ἕτερος δὲ ἐν τοῖς πράγμασι διακείμενος. Οὐδεὶς (17) τοσοῦτον τῇ ξενιτείᾳ ἐκδέδωκεν ἑαυτὸν, ὡς ὁ μέγας ἐκεῖνος ὁ ἀκηκοώς · *Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐξ οἴκου τοῦ πατρός σου* · καίπερ ἐν ἀλλογλώσσῳ καὶ βαρβαρώδει γῇ προσκαλούμενος. Ἔστιν ὅταν κατὰ τὸν μέγαν τοῦτον τινὰ ξενιτεύσαντα, ἐπὶ πλεῖον ὁ Κύριος ἐδόξασεν. Πλὴν εἰ καὶ δόξα θεόσδοτος καλὸν αὐτὴν διὰ θυρεοῦ ταπεινώσεως ἀποστρέφεσθαι. Ὁπηνίκα οἱ δαίμονες ὡς ἐπὶ μεγάλῳ κατορθώματι τῇ ξενιτείᾳ ἐπαινοῦσιν ἡμᾶς, ἢ καὶ οἱ ἄνθρωποι, τότε ἡμεῖς τοῦ δι' ἡμᾶς ἐκ τοῦ οὐρανοῦ, εἰς τὴν γῆν ξενιτεύσαντος ἀναλαμβάνωμεν ἔννοιαν, καὶ εὑρήσομεν ἑαυτοὺς εἰς αἰῶνα αἰῶνος ἀναπληροῦν μὴ ἰσχύοντας. Χαλεπὴ ἡ πρός τινα τῶν οἰκείων, ἢ καὶ ξένων προσπάθεια, ἡ δυναμένη κατὰ μικρὸν ἐπὶ τὸν κόσμον ἡμᾶς ἐπισπάσασθαι, καὶ τὸ πῦρ ἡμῶν τῆς κατανύξεως τελείως ἀποψυχρῶσαι. Ὡς ἀμήχανον ἑνὶ μὲν ὀφθαλμῷ εἰς τὸν οὐρανὸν, ἑνὶ δὲ εἰς τὴν γῆν νεύειν, οὕτως ἀδύνατον τὸν μὴ τελείως πάντων τῶν οἰκείων καὶ ἀνοικείων τῷ λογισμῷ καὶ τῷ σώματι ξενιτεύσαντα μὴ κινδυνεῦσαι κατὰ ψυχήν. Κόπῳ πολλῷ καὶ μόχθῳ κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστὸν καὶ εὐκατάστατον, καὶ τῷ πολλῷ μόχθῳ κατορθούμενον δυνατὸν ἐν μιᾷ ῥοπῇ ἀπολέσθαι · « Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κα-

[18] Matth. XII, 47. [19] Ibid. 50. [20] Psal. XXIII, 6. [21] Matth. VI, 24. [22] Matth. X, 34.

καί, » καὶ (18) κοσμικαὶ, καὶ ἄκοσμοι. Ὁ (19) τοῖς κατὰ τὸν κοσμὸν μετὰ τὴν ἀποταγὴν συναναστρεφόμενος, ἢ πλησίον τυγχάνων πάντως, ἢ ἐν τοῖς αὐτῶν περιπεσεῖται βρόχοις, ἢ τὴν καρδίαν ἐν τῇ περὶ τούτων ἐννοίᾳ μολυνεῖ, ἢ μὴ μολυνόμενος τοὺς μολυνομένους καταχρίνων, καὶ αὐτὸς σὺν αὐτοῖς μολυνθήσεται.

A alioqui (velut aves) cœlum non animum mutabimus, si cum cupiditatibus nostris avolabimus. Lege generis nobilitatem, et nominis claritudinem noli jactare, ne aliud corpore, aliud actionibus profiteris. Nemo admodum tam perfecte rebus omnibus suis peregrinando renuntiavit, quam magnus ille pater patrum Abrahamus, cui dictum : *Egredere de terra tua, et de cognatione, et de domo patris tui* [33]; quamvis ad gentem barbaram, et peregrinæ linguæ evocaretur. Est cum Dominus etiam illum aliquem ampliori gloria illustravit, qui pro conatu **34** suo omnia deserendo studuit Abrahamum imitari : sed tamen gloria hæc quamvis a Deo profecta per clypeum submissionis declinanda est. Quando nos dæmones ob fugam sæculi, tanquam de aliquo egregio facinore perpetrato, vel ipsi etiam homines, per laudem conantur extollere, tum subeat mentem nostram meditatio recordatioque illius, qui nostra causa e cœlo in terram usque peregrinatus est : et nos in omnem sæculorum æternitatem, nihil simile posse cognoscemus. Vehemens est erga quemcunque, seu propinquorum, seu aliorum affectus, qui nos sensim ad mundum potest retrahere, et salutaris ignem luctus penitus exstinguere. Quemadmodum fieri non potest, ut altero oculorum cœlum, altero terram respiciamus; ita nulla ratione fieri potest, ut is qui non perfecte penitusque omnibus charis, seu domesticis, seu quibuscunque aliis, corpore et animo renuntiat, non *ultimum* salutis et animæ discrimen adeat. Non nisi multo et gravi labore et sudore mores nostri emendantur. Et fieri potest, ut quod multo labore emendatum est, uno temporis puncto funditus pervertatur. « Corrumpunt enim bonos mores colloquia prava [34], » vana et profana. Quicunque postea quam rebus omnibus valedixit, ad usum et familiaritatem profani vulgi et mundi revertitur, is aut omnino eisdem cum illis laqueis irretitur; aut animum rerum profanarum cogitationibus inquinat; aut si ipse non inquinatur, inquinatos temere damnat, adeoque semper ipse cum ipsis inquinabitur.

Περὶ ἐνυπνίων ἀκολουθούντων εἰσαγωγικοῖς. B **35** *De insomniis quæ fugam sæculi sequi solent.* (*Sub eod. gradu.*)

Ὅτι μὲν τῆς ἡμετέρας γνώσεως ὁ νοῦς ἀτελὴς ὅλος, καὶ πάσης ἀγνοίας ἀνάπλεως, καὶ κρύπτειν ἀδύνατον. Λάρυγξ μὲν γὰρ βρώματα διακρίνει· ἀκοὴ δὲ νοήματα διαγινώσκει· ἀσθένειαν μὲν γὰρ ῥημάτων ἐδήλωσεν ἥλιος· ἀγνωσίαν δὲ ψυχῆς ἐδήλωσε ῥήματα. Πλὴν ὁ τῆς ἀγάπης νόμος καὶ πρὸς τὰ ὑπὲρ δύναμιν ἐκβιαστής. Οὐκ οὖν οἶμαι· οὐδὲ γὰρ ὁρίζομαι· ἀκόλουθον μετὰ τοὺς τῆς ξενιτείας λόγους· μᾶλλον δὲ ἐν αὐτοῖς, μικρὰ περὶ τῶν ὀνείρων ἐντάξαι, ὅσον μηδὲ τούτου τοῦ δόλου τῶν δολίων ἀμυήτους ὑπάρχειν ἡμᾶς. (20) Ἐνύπνιόν ἐστι νοὸς κίνησις ἐν (21) ἀκινησίᾳ σώματος. Φαντασία ἐστὶν ἀπάτη ὀφθαλμῶν ἐν κοιμωμένῃ διανοίᾳ· φαντασία ἐστὶν ἔκστασις νοὸς ἐγρηγορότος σώματος· φαντασία ἐστὶν ἀνυπόστατος (*a*) θεωρία. Ἡ αἰτία δι' ἣν μετὰ τὴν προλαβοῦσαν τάξιν περὶ ὀνείρων λέγειν ἠβουλήθημεν, πρόδηλος· ὅταν καταλείψαντες διὰ τὸν Κύριον τοὺς ἑαυτῶν οἴκους, καὶ οἰκείους, ξενιτείᾳ διὰ ἀγάπην Θεοῦ ἑαυτοὺς πωλήσωμεν, τότε λοιπὸν οἱ δαίμονες δι' ἐνυπνίων θορυβεῖν δοκιμάσουσιν ἡμᾶς, τοὺς οἰκείους ἑαυτῶν ἡμῖν ὑποδεικνύντες· ἢ κοπτομένους, ἢ θνήσκοντας, ἢ ὑπὲρ ἡμῶν κατεχομένους, καὶ σινομένους. Ὁ τοίνυν ὀνείροις πιστεύων ὅμοιός ἐστι τῷ τὴν σκιὰν ἑαυτοῦ κατατρέχοντι, καὶ ταύτην κατέχειν δοκιμάζοντι. Δαίμονες κενοδοξίας καθ' ὕπνους προφῆται, τὰ μέλλοντα ὡς πανοῦργοι τεχμαιρόμενοι, καὶ ταῦτα ἡμῖν προευαγγελιζόμενοι· τῶν ὁραμάτων πεπληρωμένων ἡμεῖς ἐθαμβήθημεν, καὶ ὡς πλησίον τοῦ προγνωστικοῦ λοιπὸν ὑπάρχον-

Aciem mentis nostræ plane hebetatam esse, cognitionem imperfectam et ignorantiæ plenam, dissimulari nullo modo potest. Palatus, seu gula de ciborum genere judicat; aures de cogitationibus decernunt : oculorum hebetudinem sol deprehendit : animi imperitiam verba produnt. Enimvero lex charitatis nos etiam ad ea, quæ vires ingenii nostri excedunt, tentanda urget. Proinde censeo, etsi non pronuntio, post caput de fuga sæculi explicatum, consequens esse, vel potius conjunctum cum illo, uti pauca de insomniis tradantur, ne hujus quoque doli illorum veteratorum ignari simus. Insomnium est agitatio mentis quiescente corpore. C Phantasia seu visum est ludibrium oculorum in sopita mente. Phantasia seu visio est avocatio animi ab corpore vigilante. Phantasia est vacua rerum visio. Ratio qua ad dicendum de somniis, post institutam rerum tractandarum seriem, inducti sumus, in promptu est. Nam cum post desertam Christi causa domum et domesticos, nos ipsos per fugam patriæ, rerum cœlestium studio vendiderimus, tum per insomnia nos cacodæmones perturbare conantur : dum nobis domesticorum imagines repræsentant, et vel lamentantes exhibent, vel moriturientes; vel nostra causa afflictos, vel incommodis mactatos objectant. Qui insomniis ut rebus veris ducitur, perinde facit atque is qui persequitur umbram **36** suam, eamdemque conatur comprehendere. D Dæmones fumos vanæ gloriæ venditantes per som-

[33] Gen. XII, 1. [34] Sap. II, 6; I Cor. XV, 35.

(*a*) Nulla re subjecta, sine

num vaticinantur, futura sagacissime conjectantes, quæ nobis ingerunt ac denuntiant, ut cum ea, quæ per somnum vidimus, facta animadverterimus, plenos stuporis et admirationis, tanquam rerum futurarum præsensionibus divinitus illustratos, in superbiam extollant. Iis qui dæmoni fidem præbent, sæpe vates fuit : ab illis qui ipsius somnia contemnunt, semper mendax deprehensus est. Is cum spiritus sit, intuetur omnia quæ sub complexu aeris fiunt. Cumque morientem quempiam cognoscit, promptis ad credendum per somnium aperit. Nihil futurorum per præscientiam cognoscunt. Cæterum etiam medici nobis mortem ante denuntiare poterant. Sæpe in angelum lucis, aut martyrum formas versi se nobis spectandos per somnum offerunt, gaudioque et animi elatione ubi expergefacti sumus, implctos perdunt. Hoc tibi pro fraudis indicio signum accipe. Angeli nobis supplicia, judicia, sejunctiones repræsentant, et somniantes pavidos mœstosque efficiunt. Quod si in somniis cœperimus duci, aut credere, tunc etiam vigilantibus illudent. Qui somniorum ludibriis trahitur, nullius pensi homo est. Qui omma prorsus ut inania rejicit (*a*), hic demum vere sapiens credendus est. Quicunque tibi per somnum pœnas, et judicia exhibent solis crede. Quod si te ad desperationem impellant, et hæc ab orco exsistere ne dubita.

τες χαρίσματος, τὸν λογισμὸν ἀνυψώσωμεν. Ἐν τοῖς πειθομένοις τῷ δαίμονι πολλάκις προφήτης ἐγένετο· ἐν τοῖς δὲ ἐξουθενοῦσιν αὐτὸν, ἀεὶ ἐψεύσατο. Πνεῦμα ὢν τὰ ἐντὸς τοῦ ἀέρος τούτου ἑώρακεν, καὶ νοήσας αὐτὸν θνήσκοντα, δι' ἐνυπνίου ἐν τοῖς κουφοτέροις προεφήτευσεν· οὐδὲν τῶν μελλόντων ἐκ προγνώσεως οἴδασιν· ἐπεὶ οἱ φαρμακοὶ ἡμῖν καὶ τὸν θάνατον προλέγειν ἐδύναντο. Εἰς ἄγγελον φωτὸς καὶ μαρτύρων εἶδος πολλάκις μετασχηματίζονται, καὶ ἡμᾶς προσερχομένους αὐτοῖς καθ' ὕπνους ὑπέδειξαν· διυπνισθέντας δὲ χαρᾷ, καὶ οἰήσει κατεβάπτισαν. Τοῦτο δή σοι ἔσται τὸ σημεῖον πλάνης· κολάσεις καὶ κρίσεις, καὶ χωρισμοὺς ὑποδεικνύουσιν ἄγγελοι· διυπνισθέντας ἐντρόμους, καὶ σκυθρωποὺς ἀπεργάζονται. Ὁπόταν ἐν τοῖς ὕπνοις τοῖς δαίμοσι πείθεσθαι ἀρξώμεθα, τότε λοιπὸν καὶ ἐγρηγορότας ἐμπαίζουσιν. Ὁ ἐνυπνίοις πειστὴς εἰς ἅπαν ἀδόκιμος. Ὁ δὲ πᾶσιν ἀπιστῶν, φιλόσοφος οὗτος· πᾶσί σοι τοῖς κόλασιν, καὶ κρίσιν εὐαγγελιζομένοις πίστευε μόνοις· εἰ δὲ ἀπόγνωσίς σοι διενοχλεῖ, καὶ ταῦτα ἐκ δαιμόνων.

Qui omma prorsus ut inania rejicit (*a*), hic demum vere sapiens credendus est. Quicunque tibi per somnum pœnas, et judicia exhibent solis crede. Quod si te ad desperationem impellant, et hæc ab orco exsistere ne dubita.

Tertium hoc curriculum SS. Trinitatis est symbolum, quod ingressus, neque dextrorsum flectas, neque sinistrorsum.

Ὁ τρίτος Τριάδος ἰσάριθμος δρόμος· ὁ ἐπιβεβηκὼς μὴ περιβλέψῃ δεξιὰ, ἢ ἀριστερά (*b*).

37 SCHOLIA AD GRADUM III.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ. Γ'.

De secessu a mundo, sive peregrinatione.

Περὶ ξενιτείας.

Scholion 1.

res nostros et statum locumque accommodent. Sit tibi in studio obsequendi, sanctus ille supra laudatus Abbacyrus forma, semper cogitando; tentat te et explorat virtutem tuam tuus antistes, nec unquam aberrabis a meta. **90** Si assidue te præside tuo objurgante majorem in illum fidem et affectum indueris, sanctum Spiritum in anima tua quamvis inaspectabilem sibi sedem fixisse scias. Enimvero non est quod glorieris aut magnopere læteris, si contumelias et convitia fortiter et generose perferas, imo vero est, quod potius doleas et deplores, quod omnino dignum te justa objurgatione præbueris, et patris tui animum in te concitaris. Non est quod perculsus obstupescas super eo quod dicturus sum : habeo enim sententiæ suffragatorem Mosen. Hoc aio, præstare in Deum ipsum peccare, quam in religiosum patrem antistitem nostrum. Nam Deum a nobis offensum noster præses placare et reconciliare nobis potest : offenso autem religioso patre nostro, quem deinceps habebimus, qui Deum nobis propitium reddat? Quæ tamen utraque in unam sententiam recurrunt. Videamus et dispiciamus, et sobria mente rem perpendamus. Objurgatis a moderatore nostro nunc quidem grato et patienti animo cum silentio reprehensio sustinenda est, nunc vero ratio facti nostri reddenda est. Meo quidem judicio cum nos ipsi duntaxat contumeliosius tractamur, omnino tacendum est, tunc enim lucri comparandi est tempus. Ubi vero contumelia in alterius quoque damnum redundat, tum mutuæ charitatis et pacis indissolubilis vinculum exigit, ut pro altero respondeamus. Quicunque ab obedientia desilierunt, illi ubi ejus utilitatem denarrabunt. Tum demum enim intelligunt, quo in cœlo prius constiterint. **91** Qui ad veram animi tranquillitatem et ipsum Deum properat, ingens detrimentum se accepisse existimat, quo die nullam calumniam tulit. Quemadmodum enim arbores a ventis agitatæ altiores radices agunt, ita qui sub obedientiæ jugo vivunt, fortes et invicti redduntur. Quisquis in solitudine versatus, suam ipsius imbecillitatem cœpit recognoscere, indeque ad cœnobium demigrans seipsum ultro obedientiæ auctorat et addicit, hic cæcus ante, repente sine labore Christum cœpit respicere. State, state, religiosi athletæ, iterum atque iterum dicam, state, et perseverate, et currite stadium obedientiæ, sapientis illius vocem attendentes, tanquam aurum in fornace[60], imo vero multo magis in cœnobio Dominus probavit illos : et sicut holocausti hostias accepit illos in sinu suo, cui gloria et imperium æternum cum Patre qui est sine principio, et Spiritu sancto adorando. Amen.

A συμφέρον εἰς Θεὸν, καὶ μὴ εἰς πατέρα ἡμῶν ἁμαρτῆσαι· Θεοῦ μὲν γὰρ παροργισθέντος, ὁ ἡμῶν ὁδηγὸς καταλλάξαι αὐτὸν πρὸς ὑμᾶς δύναται, τούτου δὲ ὑφ' ἡμῶν παραχθέντος, τίν' ἐξιλεούμενον λοιπὸν ὑπὲρ ἡμῶν οὐκ ἔχομεν. Ἐμοὶ δοκεῖ εἰς μίαν δόξαν ἀνατρέχειν τὰ ἀμφότερα. Σκοπήσωμεν καὶ διακρίνωμεν, καὶ νήψωμεν· ποτὲ μὲν κατηγορούμενοι πρὸς τὸν ποιμένα εὐχαρίστως ὑπομένειν, καὶ ἡσυχίως ὀφείλομεν· ποτὲ δὲ πρὸς αὐτὸν πληροφορίαν ποιήσασθαι. Ἐμοὶ δοκεῖ ἐπὶ πᾶσι μὲν τοῖς ἀτιμίαν ἡμῖν προξενοῦσι σιωπᾷν· κέρδους γὰρ ὥρα ἐστίν· ἐπὶ δὲ τοῖς εἰς πρόσωπον ἑτέρου ἀνατρέχουσιν ἀπολογεῖσθαι, διὰ τὸν σύνδεσμον τῆς ἀγάπης, καὶ τῆς ἀλύτου εἰρήνης. Ὅσοι ἐξ ὑπακοῆς ἀπεπήδησαν, οὗτοί σοι ἀναγγελοῦσι τὴν ταύτης ὠφέλειαν. Τότε γὰρ ἔγνωσαν ἐν ποίῳ οὐρανῷ ἵστανται. Ὁ πρὸς τὴν ἀπάθειαν καὶ τὸν Θεὸν τρέχων, πᾶσαν ἡμέραν, ἐν ᾗ οὐ λοιδορεῖται, πολλὴν ζημίαν λογίζεται, ὥσπερ τὰ δένδρα ὑπὸ τῶν ἀνέμων σειόμενα, βαθείας ῥίζας καταβάλλουσιν· οὕτω καὶ οἱ ἐν ὑπακοῇ διατρίβοντες ἰσχυρὰς καὶ ἀσαλεύτους ψυχὰς κέκτηνται. Ὅστις καθ' ἡσυχίαν καθήμενος, ἐπέγνω τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ μετελθὼν πέπρακεν ὑπακοῇ, οὗτος τυφλὸς ὢν, ἀκόπως πρὸς Χριστὸν ἀνέβλεψε. Στῆτε, στῆτε, καὶ πάλιν ἐρῶ, στῆτε τρέχοντες, ἀδελφοὶ ἀθληταὶ, ἀκούοντες περὶ ὑμῶν τοῦ σοφοῦ ἐκείνου βοῶντος· Ὡς χρυσὸν ὁ Κύριος ἐν χωνευτηρίῳ, μᾶλλον δὲ ἐν κοινοβίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκαύτωμα θυσίας προσεδέξατο αὐτοὺς ἐν τοῖς κόλποις αὐτοῦ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος αἰώνιον σὺν Πατρὶ ἀνάρχῳ καὶ Πνεύματι ἁγίῳ καὶ προσκυνητῷ. Ἀμήν.

B

C

De quatuor adhuc gradibus paradisi egimus, qui numerum quatuor evangelistarum exprimunt. Stet athleta Christi, et impavidus stadium obedientiæ decurrat. Olim Joannes Petrum cursu antevertit : nunc ergo et hic gradus obedientiæ ante gradum pœnitentiæ collocatus est. Joannes enim præcurrendo symbolum obedientiæ expressit, Petrus vero pœnitentiæ.

D Ἰσάριθμος εὐαγγελιστῶν βαθμός. Ὁ ἀθλητὴς στῆκε, τρέχων ἀφόβως. Προέδραμέ ποτε Πέτρου Ἰωάννης· προτέταχται δὲ νῦν ὑπακοὴ μετανοίας. Ὁ μὲν γὰρ προλαβὼν ὑπακοῆς, ὁ δὲ ἕτερος περὶ μετανοίας τύπον καθέστηκεν.

92 SCHOLIA AD GRADUM IV.

De obedientia.

Scholion 1.

Sive ad agonistas et milites Christi adversus dæmones depræliantes. Veteres enim, omnes bellatores, pugiles vocitabant, quod digitis in pugnum

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Δ'.

Περὶ ὑπακοῆς.

Σχόλιον α'.

Ἤτοι πρὸς ἀγωνιστὰς καὶ στρατιώτας τοῦ Χριστοῦ τοὺς πολεμοῦντας κατὰ τῶν δαιμόνων. Πάντας γὰρ οἱ ἀρχαῖοι τοὺς πολεμιστὰς, πύκτας ἐκάλουν, διὰ τὸ

[60] Sap. III, 5

magnum illum Israelitarum doctorem et prophetam, sed monachum. Atqui Græci Patres omnino id affirmant, et rem exemplis demonstrant.

μετὰ τῶν πυγμῶν, ἤτοι τῶν γρόνθων τῶν χειρῶν ἐξιέναι αὐτοὺς εἰς πόλεμον καὶ μονομαχεῖν.

Φωτίου ἄλλο.

Εἰσὶ τῶν ἐμφωλευόντων ἡμῖν παθῶν καὶ τυραννὶς, καὶ βάσανοι, καὶ κολαστήρια, τῆς ἔξωθεν τυραννίδος οὐδὲν διαφέροντα. Ὁ γοῦν ἀντισχὼν γενναίως πρὸς ταῦτα, καὶ τὸ τοῦ λογισμοῦ μὴ ἀρνησάμενος αὐτεξούσιον, τοῖς μαρτυρικοῖς ἀγῶσι παραθέων, οὐδὲν τῶν ὁμοίων ἐπάθλων ἀστοχήσει.

A collectis et condylis manuum in bellum ad singulare certamen prodirent.

Aliud Photii.

Sunt ex perturbationibus affectuum quædam quæ se insinuant et illatebrant nobis, et tyrannis quædam, et tormenta, et supplicia, quæ ab externa corporis tyrannide nihil differunt. Qui ergo hujusmodi tyrannidi fortiter et generose resistit, et liberum mentis imperium atque arbitrium non insiciatur, ille pari cum martyribus cursu contendit, nec dubium est quin par quoque præmium sit relaturus.

Σχόλιον β'.

Ἤγουν, οὐκ ἔχουσι τοὺς πόδας αὐτῶν κεκολλημένους, ἀλλὰ τὸν μὲν ἕτοιμον πρὸς κίνησιν, τὸν δὲ ἀμεταχίνητον ἐπὶ προσευχὴν ἔχοντες.

B

Scholion 2.

Sive non habent pedes suos velut glutino devinctos, sed alterum quidem ad motum paratum, alterum vero immotum ad precandum retinent.

Σχόλιον γ'.

Ἡ ὑπακοὴ τοῦ ὄντος θελήματός ἐστιν ὑπακοή, οὐ τοῦ μὴ ὄντος ὑποταγή· οὐ γὰρ τὸ ἄλογον ὑπήκοον ἢ παρήκοον λέξομεν.

Scholion 3.

Obedientia est voluntatis in homine exsistentis obedientia, non illius in quo voluntas non est: quod enim ratione caret, nec obediens, nec inobediens dici potest.

Ἄλλο σχόλιον.

« Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν. » Πῶς δὲ ἑαυτὸν ἀρνεῖται ὁ ἄνθρωπος, εἰ μὴ ἀφεὶς τὰ θελήματα αὐτοῦ τὰ φυσικὰ, καὶ αὐτῷ ἀκολουθήσει; Διὰ τοῦτο εἰδὼς περὶ τῶν φυσικῶν λέγει, καὶ οὐ τῶν παρὰ φύσιν. Ἐὰν γὰρ τὰ παρὰ φύσιν ἀφήσει τις, τῶν αὐτοῦ οὐδὲν ἀφῆκε διὰ τὸν Θεόν· οὐδὲ γὰρ αὐτοῦ εἰσιν. Ὁ δὲ τὰ φυσικὰ αὐτοῦ ἀφεὶς, οὗτος ἠρνήσατο ἑαυτόν.

Aliud scholion.

« Si quis vult venire post me, abneget semetipsum[61]. » Quomodo autem homo abnegat semetipsum, nisi renuntiet naturali voluntati suæ, et sequatur Christum? Hoc ergo non ignorans de naturæ bonis non quæ sunt præter naturam, loquitur: qui enim ea quæ præter naturam sunt, reliquit, nihil suorum reliquit propter Deum; neque enim ipsius sunt. Qui autem suæ naturæ bona (seu propriam voluntatem) reliquit, hic abnegavit seipsum.

C

Σχόλιον δ'.

Οὐ τὸν ψυχικὸν κίνδυνόν φησι, ἀλλὰ τὸν σωματικὸν, ὃν ὑφίστατο ὁ ὑπακούων ἐκ συμβεβηκότος, ἢ θαλάσσῃ πλέων, ἢ λῃσταῖς περιπεσὼν, καὶ οὕτως ἀποθνήσκων, ὄντινα θάνατον οὐ μεριμνᾷ ὁ ἀληθινὸς ὑπήκοος, καλῶς εἰδὼς ὅτι εἰς μαρτύριον αὐτῷ ἔσται ὁ συμβεβηκὼς κίνδυνος τὴν ὑπακοὴν ἀδιακρίτως ἐπιτελοῦντι.

Scholion 4.

Non loquitur hic de periculo animæ, sed corporis, quod subit obediens forte fortuna, aut mari navigans, aut in latrones incidens, adeoque **93** sic moritur: quam mortem cui vera obedientia cordi est, non curat, quod optime norit periculum, quo casu perfunctus est, ipsi obedientiam sine propria dijudicatione et examinatione exsequenti in coronam martyrii cessuram.

Σχόλιον ε'.

Τὸν προεστῶτα λέγει. Τοῦ γὰρ ὑπηκόου τὸ θέλημα αὐτὸς ἀνελάβετο, καὶ μονονουχὶ ἐθανάτωσεν αὐτόν· οὗτος οὖν ὑπὲρ τοῦ ὑπηκόου ἀπολογήσεται.

D

Scholion 5.

Cœnobiarcham intelligit, qui voluntatem obedientis in se suscepit, et subjectum tantum non (secundum propriam ejus voluntatem) mactavit. Hic ergo pro subjecto suo, Deo rationem reddet.

Σχόλιον ς'.

Ἀπόθεσις διακρίσεώς ἐστι τὸ ὑπακούειν, ὡς καλοῖς, τοῖς φαινομένοις ὡς κακοῖς, ὡς Ἀβραὰμ κελευσθεὶς σφάξαι τὸν υἱὸν, ἐπλούτει ἀδιακρίτως τὴν ἐξ ἀρχῆς στοιχειωθεῖσαν ὑπακοήν.

Scholion 6.

Abdicatio proprii judicii est obedire tanquam bonis, quamvis videantur mala, ut Abraham jussus mactare filium adeptus est a principio doctam sine discussione simplicem obedientiam.

Εὐαγρίου ζ'.

Τὸν νοῦν αἱ ἀρεταὶ, καὶ αἱ κακίαι τυφλὸν ἀπεργάζονται· αἱ μὲν, ἵνα μὴ βλέπῃ τὰς κακίας· αἱ δὲ, ἵνα μὴ πάλιν ἴδῃ τὰς ἀρετάς.

Evagrii 7.

Mentem, et virtutes et vitia cæcam reddunt; virtutes quidem, ne mens vitia respiciat; vitia, ne virtutes agnoscat.

Σχόλιον η'.

Στάδιον ἀθλήσεως καὶ προκοπῆς εὐοδία, καὶ διηνεκὴς γυμνασία. καὶ μελέτη τῶν τοῦ Κυρίου ἐντολῶν, ἡ ἐπὶ τὸ αὐτὸ κατοίκησίς ἐστι τῶν ἀδελφῶν.

Scholion 8.

Stadium certaminis est felix in via Domini progressus, assidua exercitatio, et meditatio præceptorum Dei, et habitatio fratrum in unum.

Σχόλιον θ'.

Ὁ τὴν ἰδιορυθμίαν ἀποκρουσάμενος, ὑπήκοος καὶ

Scholion 9.

Qui suam vivendi rationem non sequitur, sed

[61] Matth. xvi, 24.

potius repudiat, hic et obediens est, et ad nutum sui religiosi magistri se fingit, et jam in statu versatur perfectorum, quamvis per opera perfectionis nondum incesserit. Quando solet improbus dæmon obstrepere obedientibus, eorumque laborem elevare et contemnere, quasi neque jejunia, neque disciplinam religiosam rite exerceant, neque precibus puris animum intendere, neque alia præstare possint, quæ anachoretis et solitariis conveniunt, tum Pater dicit, quod hæc omnia nihil sint si cum vera obedientia comparentur. Vicem enim illorum nec implet, et antequam obediens per illa ingrediatur efficit ut jam in medio illorum versetur.

A προσανέχων τῷ διδασκάλῳ, ἥδη ἐστὶν ἐν τοῖς τῶν τελείων ἔργοις, κἂν μήπω δι' αὐτῶν ὥδευσεν. Ἐπειδὴ γὰρ εἴωθεν ὁ πονηρὸς ἐνοχλεῖν τοῖς ἐν ὑπακοῇ, καὶ ἐξουθενεῖν τὸν κόπον αὐτῶν, ὡς μήτε νηστείαν μήτε ἄσκησιν ἐχόντων ἀκριβῆ, μήτε προσευχὴν καθαράν, μήτε τὰ ἄλλα ἃ ἐστι τοῖς ἡσυχάζουσι, λέγει Πατὴρ, ὅτι οὐδέν εἰσι ταῦτα πρὸς τὴν ἀληθινὴν ὑπακοήν. Τὸν γὰρ τόπον αὐτῶν αὕτη ἀναπληροῖ, καὶ πρὸ τοῦ διελθεῖν τὸν ὑπήκοον δι' αὐτῶν ἐν μέσοις αὐτοῖς εἶναι παρασκευάζει.

Scholion 10.

Omne judicium propriæ voluntatis periculosum est, quod haud ignoravit (propheta) David, cum dixit: *Juravi et statui custodire judicia justificationis tuæ* [62], non meas voluntates.

B

Σχόλιον ι'.

Πᾶσα κρίσις ἰδίου θελήματος ἐπισφαλής. Ὅπερ εἰδὼς ὁ Δαβὶδ ἔλεγεν· *Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου*, οὐ τὰ ἐμὰ θελήματα.

Aliud.

Exstirpare suam voluntatem, hoc est, **94** ut quis in bonis rebus propriam voluntatem rescindat, et sanctorum faciat: in malis autem per se, quod non decet, refugiat.

Ἄλλο.

Τὸ κόψαι τὸ θέλημα, τοῦτ' ἔστιν, ἵνα ἐν μὲν τοῖς καλοῖς τὸ ἴδιον κόπτῃ τις θέλημα, τὸ δὲ τῶν ἁγίων ποιῇ· ἐν δὲ τοῖς κακοῖς ἀφ' ἑαυτοῦ φεύγῃ τὸ ἄτοπον.

Scholion 11.

Consuetudinem negligenter viventis refugias, quantumvis apud alios magnum virtutis nomen obtineat.

Σχόλιον ια'.

Τοῦ ἀμελῶς βιοῦντος μάκρυνον σεαυτὸν, κἂν ὄνομα μέγα παρὰ πολλοῖς κέκτηται.

Scholion 12.

Ante abdicationem sæculi, religiosi doctoris mores explorandi sunt, post abdicationem non amplius. Nam qui explorat, damnat; qui damnat, contemnit, postea nec paret amplius nec fidit.

C

Σχόλιον ιβ'.

Πρὸ τῆς ἀποταγῆς ἀκριβολογεῖν τὸν διδάσκαλον προσήκει· μετὰ δὲ τὴν ἀποταγὴν οὐκ ἔτι. Ὁ ἀκριβολογῶν, καταγινώσκει, καὶ ὁ καταγινώσκων, ἀθετεῖ, εἶτα καὶ ἀπειθεῖ.

Aliud scholion 13.

Vita religiosa stadium appellatur, qui autem præsidem suum religiosum judicat et explorat, certo in quibusdam etiam damnat: qui autem damnat, aut non paret, aut quod illi præscribitur, non cum debita fide exsequitur: qui autem non fideliter præscripta faciunt, peccant.

Σχόλιον ιγ'.

Στάδιον λέγεται ὁ μοναχικὸς βίος. Ὁ δὲ ἀναχρίνων τὸν προεστῶτα, δηλονότι ἔν τισι καταγινώσκει· ὁ δὲ καταγινώσκων, ἢ ἀπειθεῖ, ἢ οὐ μετὰ πίστεως τὸ ἐπιταχθὲν ἀνύει. Τοῖς δὲ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν.

Aliud.

Non ii tantum qui ob Christi nomen mortem oppetunt, martyres sunt; sed ii etiam qui propter legum ipsius observationem moriuntur.

Ἄλλο.

Οὐ μόνον οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον, μάρτυρές εἰσιν, ἀλλὰ καὶ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν ἀποθνήσκοντες.

D

Scholion 14.

Quærendum quomodo sine subjectione nemo Deum visurus sit? quid enim? Maria Ægyptiaca et alii quidam nulli unquam subjecti, non videbunt Dominum? Affirmamus ergo Climacum non de subjectione corporis tantum loqui, sed de subjectione etiam animæ. Nullum igitur reperimus sanctorum qui non subjecerit corpus spiritui, ut clarum proinde sit, quod nisi quis et hanc (obedientiam) una cum corporis subjectione habeat, non visurus sit Dominum. Multi enim parentibus subjecti, nullum tamen ex hac subjectione fructum retulere, eo quod animum voluptatum servituti subjecerint.

Σχόλιον ιδ'.

Ζητητέον πῶς χωρὶς ὑποταγῆς οὐδεὶς ὄψεται τὸν Θεόν; τί γάρ; Ἡ Αἰγυπτία Μαρία, καὶ ἄλλοι τινὲς μὴ ὑποταγέντες τινὶ, οὐκ ὄψονται τὸν Κύριον; Λέγομεν οὖν, ὅτι οὐ λέγει περὶ τῆς σωματικῆς μόνης ὑποταγῆς, ἀλλὰ καὶ περὶ τῆς ψυχικῆς. Οὐδένα οὖν εὕρομεν τῶν ἁγίων, ὃς οὐχ ὑπέταξε τὸ σῶμα τῷ πνεύματι· ὥστε δῆλον, ὅτι ὁ μὴ καὶ ταύτην μετὰ τῆς σωματικῆς ἔχων, οὐκ ὄψεται τὸν Κύριον. Πολλοὶ τοίνυν σωματικοῖς πατράσιν ὑποτασσόμενοι ταῖς ἡδοναῖς τὴν ψυχὴν κατεδούλωσαν, οὐδὲν δὲ ἀπὸ τῆς τοιαύτης ὑποταγῆς ὠφελήθησαν.

Scholion 15.

Humilis non videtur sibi perfecte subjectus esse.

Σχόλιον ιε'.

Ὁ ταπεινόφρων οὐ δοκεῖ τελείως ὑποτετάχθαι· ὁ

[62] Psal. CXVIII, 106.

δὲ τῷ ἰδίῳ θελήματι ποιῶν τι, εἰ καὶ δοκεῖ ὑποτετάχθαι, ὅμως αὐτὸς τὸ φορτίον ἐπιφέρεται. A

Σχόλιον ις'.

Κοινὴν ποιεῖται διὰ τῆς ἀπορίας τὴν παρέκπτωσιν τοῦ τε ἀνυποτάκτου μαθητοῦ, καὶ τοῦ μὴ ἐλέγχοντος πατρὸς ἐμφαίνων διὰ τῆς ἀπορίας καὶ τὸν προεστῶτα εἶναι ὑπόδικον.

Ἄλλο.

Ὁ παρασιωπῶν τῶν ὑπηκόων τὰ πταίσματα, ὡς αὐτὸς πράξας κατακριθήσεται.

Σχόλιον ιζ'.

Οὐ δίδοται χώρα τῷ εὐγνώμονι ὑπηκόῳ λογοπραγεῖν τὰς πράξεις τοῦ ποιμένος, ἐπεὶ οἱ δαίμονες εἰς B διακρίσεις λογισμῶν τὴν διάνοιαν ῥέμβοντες ἐνσκολιότητι διαπεραίνειν τὴν ἁπλῆν ὑπακοῆς ὁδὸν πανούργως οἱ κακοὶ ὑποβάλλουσι.

Σχόλιον ιη'.

Μετὰ τὴν ἑβδόμην, καὶ οὐχὶ ἐντὸς τῶν ἑπτά· ὅτι πᾶσαν αὐτοῦ τὴν ἐν σαρκὶ ζωὴν διὰ τῆς ἑβδόμης περάνας εἰς ἄμειψιν κατήντησεν ἑτέρου βίου τὸ κατ' ἀξίαν τῶν ἤδη πεπραγμένων ἀντιλαμβάνων, καὶ πρὸ αἰσχύνης τῆς ἐν τῇ ὀγδόῃ, ἤγουν τῷ μέλλοντι αἰῶνι, ἐν τῷ παρόντι βίῳ αἰσχύνην ὑφιστάμενος, καὶ μένων εἰς τὸ ἑξῆς ἀνεπαίσχυντος.

Ἄλλο.

Περὶ τῶν ἑπτὰ ἡλικιῶν τοῦ ἀνθρώπου. Βρέφος ἀπὸ γεννήσεως μέχρις ἐτῶν δ'· παῖς ἀπὸ ἐτῶν ε', ἕως ιδ'. Μειράκιον ἀπὸ ἐτῶν ιε', ἕως ἐτῶν κβ'· νεανίσκος ἀπὸ ἐτῶν κγ', ἕως ἐτῶν μδ'· ἀνὴρ ἀπὸ ἐτῶν με', ἕως ἐτῶν νς'· γηραιὸς, ἀπὸ ἐτῶν νζ' ἕως ἐτῶν ξς'· πρεσβύτης ἀπὸ ἐτῶν ξζ', ἕως τέλους τῆς ζωῆς αὐτοῦ.

Σχόλιον ιθ'.

Δοκιμάζειν χρὴ, καὶ εἴ τις ἐν ἁμαρτήμασι προληφθείς, ἀνεπαισχύντως ἐξαγορεύει τὰ κρυπτὰ τῆς αἰσχύνης, καὶ κατήγορος ἑαυτοῦ γίνεται, ὁμοῦ τε καταισχύνων καὶ ἀποποιούμενος τοὺς τῶν πονηρῶν ἔργων αὐτοῦ συνεργοὺς, κατὰ τὸν εἰπόντα· *Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν*, καὶ ἀσφάλειαν ἑαυτῷ εἰς τὸν ἑξῆς βίον κτώμενος πρὸς τὸ μηκέτι τοῖς ὁμοίοις πάθεσι περιπεσεῖν.

Τοῦ μεγάλου Βασιλείου ἐρώτησις.

Πῶς κατορθοῖ τις τὸ μῖσος πρὸς τὰ ἁμαρτήματα;

Ἀπόκρισις κ'.

Ἐκ τοῦ ἀηδοῦς ἀεὶ καὶ λυπηροῦ ἀποτελέσματος τὸ μῖσος πρὸς τοὺς αἰτίους τῶν τοιούτων ἐγγίνεται. Ἐὰν οὖν τις πληροφορηθῇ καὶ ὅσων καὶ ἡλίκων κακῶν γίνεται τὰ ἁμαρτήματα αἴτια, αὐτομάτως

[33] Matth. VII, 23.

et obedire. Qui autem sua voluntate aliquid facit, quamvis videatur sibi obedire et subjectus esse, feret tamen ipse (judicii sui) onus.

Scholion 16.

Communem Climacus culpam et casum facit et discipuli et religiosi moderatoris ipsius, propter spiritus inopiam et inscitiam, docetque religiosum præsidem propter imperitiam seu spiritus inopiam pœnæ obnoxium esse.

95 *Aliud.*

Qui subjectorum delicta per silentium dissimulat (nec castigat) ipsemet tanquam auctor delictorum condemnabitur.

Scholion 17.

Bonæ mentis subditus non sumit sibi tempus et otium quo in vitam et mores sui religiosi patris inquirat, cum non ignoret, quod improbi dæmones mentem per judicia et suspiciones distrahant, ne subjectos per simplicem et rectam obedientiæ viam incedat, sed in obliqua deflectat, suaque non rite peragat.

Scholion 18.

Post hebdomadem, non intra septimum diem, quia tota mortali seu præsenti vita per significationem septem dierum exacta, ad alterius vitæ mercedem properavit, uti pro meritis rerum in hac vita gestarum et ignominia, in illa octava die, seu futuro sæculo præmium accipiat, ut qui in præsenti vita erubuit, deinceps in altera vita non amplius erubescat.

Aliud.

De septem hominis ætatibus agit. Infans est ab die natali usque ad annum 4 expletum, puer a 5 ad 14; adolescens a 15 ad alterum supra 20; juvenis à 23 usque ad 43; vir a quinto et quadragesimo ad quinquagesimum sextum: senex a quinquagesimo septimo usque ad sexagesimum sextum: vetulus ab anno sexagesimo septimo ad finem vitæ ipsius.

Scholion Basilii M. 19.

Examinandus est tiro, etsi peccatis occupatus, abjecto noxio pudore occulta verecundiæ libere exponat, adeoque sui ipsius accusator fiat, simulque pudefaciat socios operum malorum et ipsis valedicat, prout ille dixit: *Discedite a me, omnes qui operamini iniquitatem* [33], ut comparata sibi in reliquam vitam securitate a similibus vitiis deinceps abstineat.

Ejusdem quæstio.

Quomodo odium comparandum sit adversus peccata?

Responsio 20.

Ex acerbo et tristi effectu nascitur odium adversus eos qui causas hujusmodi malorum præbuerunt. Ubi ergo quis exploratum habebit, quot et quantorum malorum causæ sint, **96** sua sponte

et ex animo odium adversus illa concipit, quemadmodum ostendit Psal. cxviii, qui dixit : *Iniquitatem odio habui et abominatus sum* [64].

A καὶ ἐνδιαθέτως ἔχει τὸ πρὸς αὐτὰ μῖσος, οἷον ἔδειξεν ὁ εἰπών· Ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην.

Isaaci scholion 21.

Fieri nullo modo potest, ut aut peccandi habitum exuas, nisi prius cum illo inimicitias exerceas, aut veniam impetres antequam peccata confitearis : illæ enim sunt veræ humilitatis causæ, hæc vero (confessio inquam) compunctionis, quæ ex verecundia sequitur in corde.

Ἰσαὰκ σχόλιον κα'.

Ἀδύνατόν τινι τὴν ἕξιν τῆς ἁμαρτίας καταλιπεῖν, πλὴν ἔχθραν κτήσεται· μετ' αὐτῆς, ἢ ἀφέσεως τυχεῖν πρὸ τῆς τῶν πλημμελημάτων ἐξομολογήσεως· ἡ μὲν γὰρ ταπεινώσεώς ἐστιν ἀληθοῦς αἰτία, ἡ δὲ κατανύξεως ἀπὸ αἰσχύνης ἀκολουθούσης τῇ καρδίᾳ.

Scholion 22.

Dixit Deus ad Moysen et Aaron : *Si quæ femina aut vir peccatum fecerit, illudque vestro Domino confitebitur, dignamque pœnitentiam egerit, hic acceptus erit Domino* [65].

Σχόλιον κβ'.

Εἶπεν ὁ Θεὸς πρὸς Μωϋσῆν καὶ Ἀαρών· *Εἴ τις γυνὴ ἢ ἀνὴρ ποιήσῃ ἁμαρτίαν, ἐξομολογήσεται δὲ ὑμῶν τῷ Κυρίῳ, καὶ ἀξίως μετανοήσῃ, οὗτος ἔσται δεκτός.*

Aliud.

Rarum seu peregrinum est, et antehac ignotum, quod fieri non soleret. Rarum etiam et peregrinum est, quod admiratione dignum est ; habitus autem peregrinus, est mirifice quidem, sed recens factus.

B

Ἄλλο.

Ξένον μέν ἐστι, καὶ τὸ τέως ἄγνωστον διὰ τὸ ἀσύνηθες· ἔστι δὲ ξένον καὶ τὸ θαύματος ἄξιον· σχῆμα δὲ ξένον τὸ παραδόξως μέν, προσφάτως δὲ τελεσθέν.

Basilii Magni interrogatio.

Quid est convitium ?

Responsio 23.

(*a*) Omne verbum quod eo animo profertur, ut ex eo alter ignominia afficiatur, convitium est, quamvis verbum ipsum non videatur contumeliosum. Atque hoc manifestum est ex Evangelio ubi de Judæis agit, quia maledixerunt ei et dixerunt : *Tu discipulus illius es* [66].

Τοῦ μεγάλου Βασιλείου ἐρώτησις.

Τί ἐστιν λοιδορία ;

Ἀπόκρισις κγ'.

Πᾶν ῥῆμα ἐκ διαθέσεως τοῦ ἀτιμάσαι λεγόμενον, λοιδορία ἐστὶ, κἂν αὐτὸ τὸ ῥῆμα μὴ δόξῃ εἶναι ὑβριστικόν· καὶ τοῦτο δῆλον ἐκ τοῦ Εὐαγγελίου λέγοντος περὶ τῶν Ἰουδαίων, ὅτι ἐλοιδόρησαν αὐτὸν καὶ εἶπον· *Σὺ εἶ μαθητὴς ἐκείνου.*

Ejusdem interrogatio.

Quibus ex verbis otiosus sermo judicatur ?

Responsio.

Generatim loquendo omne verbum quod ad destinatam in Domino utilitatem non facit, otiosum est, et tam grave periculum est ejusmodi verbi, ut quamvis ex se bonum sit, quod dicitur, nisi tamen ad ædificationem fidei accommodetur, nequaquam propterea, quod bonum sit, vacet periculo, qui illud locutus est : quippe qui ex eo quod ad ædificationem illud non dixerit, contristasse noscitur Spiritum sanctum Dei. Hoc enim aperte docuit Apostolus, cum dixit : *Omnis sermo malus ex ore vestro non procedat, sed si quis bonus ad ædificationem fidei, ut det gratiam audientibus* [67]. Et subjecit illud : *Nolite contristare Spiritum sanctum Dei in* **97** *quo signati estis* [68]. Quam autem grave malum sit contristasse Spiritum sanctum, quid opus est dicere ?

C

Τοῦ αὐτοῦ ἐρώτησις.

Ἕως ποίων ῥημάτων ἡ ἀργολογία κρίνεται ;

Ἀπόκρισις.

Καθόλου πᾶν ῥῆμα, τὸ μὴ συντελοῦν πρὸς τὴν προκειμένην ἐν Κυρίῳ χρείαν, ἀργόν ἐστι, καὶ τοσοῦτός ἐστι τοῦ τοιούτου ῥήματος ὁ κίνδυνος, ὅτι, κἂν ἀγαθὸν ᾖ τὸ λεγόμενον, μὴ πρὸς οἰκοδομὴν δὲ τῆς πίστεως οἰκοδομῆται, οὐκ ἐν τῇ ἀγαθότητι τοῦ ῥήματος ὁ λαλήσας ἔχει τὸν κίνδυνον, ἀλλ' ἐν τῷ μὴ πρὸς οἰκοδομὴν οἰκονομῆσαι τὸ ῥηθὲν, λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο γὰρ σαφῶς ἐδίδαξεν ὁ Ἀπόστολος εἰπών· *Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. Ἀλλὰ τὸ ἀγαθὸν πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσι·* καὶ ἐπαγαγών· *Καὶ μὴ λυπῆτε τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε.* Τὸ δὲ λυπῆσαι τὸ Πνεῦμα τὸ ἅγιον, ὅσον ἐστὶ κακὸν, τί δεῖ λέγειν ;

D

Ejusdem interroyatio.

Quid est otiosus sermo ?

Responsio.

Promissio fidei quæ opere fidei caret. Credit quidem et confitetur Christum, sed feriatur nec facit quod Christus præcepit. Est et alius sermo otiosus, quando quis confitetur, et non emendat pecca-

Τοῦ αὐτοῦ ἐρώτησις.

Τί ἐστιν ἀργὸς λόγος ;

Ἀπόκρισις.

Ἐπαγγελία πίστεως ἔργον οὐκ ἔχουσα. Πιστεύει μὲν καὶ ὁμολογεῖ Χριστὸν, ἀλλ' ἀργεῖ μὴ ποιῶν ὃ προσέταξεν. Ἔστι καὶ ἄλλος ἀργὸς λόγος, ὅτε τις ἐξομολογεῖται, καὶ οὐ διορθοῦται, ὅτε μετανοεῖν

[64] Psal. cxviii, 163. [65] Num. v, 6, 7. [66] Joan. ix, 28. [67] Ephes. iv, 29. [68] Ibid. 30.

(*a*) Reg. brev., p. 330.

λέγει, καὶ πάλιν ἁμαρτάνει, καὶ ἡ καταλαλιὰ δὲ ἀργὸς λόγος ἐστίν, ὅτε τις ὁρᾷ τὸν διασύροντα, καὶ σιωπᾷ. Καὶ ὁ μὴ ἐλέγχων δὲ μετὰ παῤῥησίας, καὶ οὗτος καταλαλεῖ, ἐπειδήπερ ὃ λαλεῖ οὐκ ἔχει ὑπόστασιν. Καὶ ὁ ἀφ' ἑαυτοῦ ψεῦδος συντιθεὶς, ἀργολογίαν ἐργάζεται, ἐπειδὴ τὸ μὴ πραχθὲν, ἢ ὁραθὲν διηγήσατο. Καὶ ὁ διδάσκων καλὸν ποιεῖν, αὐτὸς δὲ μὴ ποιῶν, ἀργολόγος ἐστίν.

A ta, quando se pœnitentiam agere profitetur, et iterum peccat. Est et detractio sermo otiosus, cum quis videt quod alterum alter laceret et calumnietur, et tacet. Quin et qui detrahentem non libere redarguit, ipse quoque detrahit, quandoquidem quod loquitur non habet rem subsistentem : et qui per se comminiscitur mendacium, otiosum sermonem effutit, quando rem non factam aut visam narrat. Et qui alterum docet quod bonum est, et ipse non facit, ipse otiosus doctor est.

Τοῦ μεγάλου Βασιλείου κδ' περὶ τοῦ μὴ συγκρύπτειν ἁμαρτήματα ἀδελφῶν ἢ ἑαυτῶν.

Πᾶν ἁμάρτημα ἀναφέρεσθαι χρὴ τῷ προεστῶτι, ἢ παρ' αὐτοῦ τοῦ ἡμαρτηκότος, ἢ παρὰ τῶν συνεγνωκότων, ἐὰν αὐτὰ θεραπεῦσαι μὴ δυνηθῶσι, κατὰ τὸ ὑπὸ τοῦ Κυρίου προστεταγμένον. Κακία γὰρ σιωπηθεῖσα νόσος ὕπουλός ἐστιν ἐν ψυχῇ. Ὡς οὖν οὐκ ἂν εἴπωμεν εὐεργέτην τὸν ἐγκαταλείποντα τῷ σώματι τὰ ὀλέθρια, ἀλλὰ μᾶλλον τὸν δι' ὀδύνης καὶ ἀμύξεως εἰς τὸ φανερὸν ἔλκοντα, ὥστε ἢ δι' ἐμέτου ἀπορρίψαι τὸ βλάπτον, ἢ καθόλου διὰ τῆς τοῦ πάθους φανερώσεως εὔγνωστον ὑπάρξαι τὸν τρόπον τῆς θεραπείας. Οὕτω δῆλον ὅτι καὶ τὸ κρύπτειν ἁμαρτίαν συγκατασκευάζειν ἐστὶ τῷ νοσοῦντι τὸν θάνατον· *Κέντρον γάρ ἐστι τοῦ θανάτου ἡ ἁμαρτία*, φησί. Κρείσσους δὲ ἔλεγχοι μετὰ παῤῥησίας, κρυπτομένης φιλίας· μήτε οὖν ἄλλος ἄλλῳ συγκρυπτέτω, ἵνα μὴ ἀδελφοκτόνος ἀντὶ ἀδελφοῦ γένηται, μήτε αὐτὸς ἑαυτῷ. Ὁ γὰρ μὴ ἰώμενος ἑαυτὸν, φησὶ, ἐν τοῖς ἔργοις αὐτοῦ, ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν.

Basilii Magni de non occultandis seu propriis seu alienis delictis. 24.

Omne peccatum referendum est ad antistitem, sive ab eo ipso qui peccavit sive ab aliis, qui illius conscii sunt, si illud ipsi curare non possint, et eo modo mederi, quo a Domino præceptum est; quando vitium dissimulatum morbus est in animo oblitescens, et suppurescens. Quemadmodum igitur nullo modo bene de nobis meritum diceremus illum, qui intestina, peste infecta in corpore nostro clauderet, sed illum potius qui cum dolore et cruoris etiam missione per sectionem seu scarificationem ea in apertum extraheret; quo videlicet aut quod noxium esset per vomitum repelleret, aut in universum per morbi declarationem efficeret, ut modus quoque curationis facilius cognosceretur : ita clarum et certum est, eum qui celat peccatum, ægrotanti mortem procurare, *stimulus enim peccati mors*, inquit Apostolus [69]. Reprehensionem vero seu objurgationes liberæ et apertæ, utiliores occulta amicitia. Nemo ergo alius alterius peccatum tegat, ne pro fratre fratris fiat homicida, neque suum ipsius ipse. **98** Qui enim se ipse in suis operibus non curat, frater est se ipsum perdentis.

Σχόλιον κε'.

Ἐνταῦθα μὲν ὁ πάμμεγας οὗτος Πατὴρ καὶ ἡ συνήθεια τὴν λέξιν ἐπὶ ψόγου τάσσει. Τοὺς γὰρ αὐθάδεις καὶ ἀπαιδεύτους, καὶ θρασεῖς καὶ ἀλαζόνας, καὶ οἰηματίας, καὶ ἐπηρμένους, ἀγερώχους λέγουσιν. Ὁ δὲ Ὅμηρος καί τινες τῶν σοφῶν, τοὺς ἄγαν ἐντίμους ἀγερώχους φασὶν ἀπὸ τοῦ *ἄγαν* ἐπὶ τὸ γέρας ὀχεῖσθαι. Ἔνιοι δὲ τῶν γλωσσογράφων (*a*) ἰδίως τοὺς νησιώτας εἶπον ἀγερώχους καλεῖσθαι διὰ τὸ ἐπεισάκτῳ τροφῇ κεχρῆσθαι αὐτοὺς, ἀπὸ ἀγείρειν ὀχήν, ἤγουν συνάγειν τροφήν· ὀχὴ γὰρ λέγεται τροφὴ παρὰ τοῖς πολλοῖς τῶν σοφῶν, ἐκ τοῦ ἔχειν καὶ διακρατεῖν τὸν ζωόν.

Scholion 25.

Et hic quidem, maximus hic pater, sicut et consuetudo seu usus loquendi vocem hanc (ἀγέρωχον) in malam partem accipit : audaces enim et indoctos et præfidentes et arrogantes, et insolentes et elatos dicunt ἀγερώχους. Homerus (*b*) vero et alii sapientum valde honoratos (sive heroas) vocant ἀγερώχους ab ἄγαν quod est valde, et γέρας honor, et ὀχεῖσθαι, quod valde magno honore evehantur, ἄγαν ἐπὶ τὸ γέρας ὀχεῖσθαι. Nonnulli glossographi docent proprie quosdam insulares dictos ἀγερώχους, eo quod illatis et invectis uterentur alimentis, ab ἀγείρειν ὀχήν, a corrogando seu colligendo victu. Ὀχὴ enim apud complures doctorum virorum dicitur alimentum, eo quod alat et tueatur vitam animalis.

Βασιλείου μεγάλου κς'.

Δύο σημαίνει ἡ τοῦ πανούργου προσηγορία, καὶ ὁ μέν [πως] ἐπὶ βλάβῃ ἑτέρων τῇ ἐπινοίᾳ χρώμενος, πονηρός· ὁ δὲ ἐπαινετὸς πανοῦργος, ὁ ὀξέως καὶ συνετῶς τὸ οἰκεῖον ἀγαθὸν ἐξευρίσκων, καὶ τοῖς δολίοις καὶ ἐπιβούλοις παρ' ἑτέρων αὐτῷ βλάβας σκαιωρουμένας ἀποδιδράσκων.

Basil. Magn. 26.

Astuti appellatio duo significat. . . . . et quidem, qui, quomodo aliis noceat, meditatur, malus est, laudabiliter vero astutus est, qui acute et prudenter bonum suum investigat et deprehendit, atque meditatas sibi per fraudes et insidias aliorum noxas et damna caute declinat.

[69] Rom. VI, 23.

(*a*) Hesychius.

(*b*) *Iliad.* B, 634.

Marci 27.

Qui ærumnas et ignominiam pro veritate tuenda eligit, apostolicam viam ambulat, crucemque tollit catena circumdatus. Qui extra hæc duo, cordi suo obsequi conabitur fallitur animo, inciditque in tentationes, et laqueos diaboli.

Maximi 28.

Quisquis cum religiosis fratribus vivere decresti, statim ab ipso vestibulo et ingressu tuas voluntates abdica, neque enim alio modo vel [apud Deum vel tuos contubernales] divina vel humana pace frui unquam poteris.

Diadochi 29.

Exploratum est obedientiam esse virtutum omnium, quæ ad religiosam vitam viam muniunt principem; retundit enim omnem fastum suique existimationem tollit, humilitatem parit : unde et aditum aperit iis qui prompte eam amplectuntur ad Dei charitatem. **99** Hanc cum Adamus exuisset, se ipse in imum tartarum præcipitem egit. Hanc cum Dominus per susceptam humanitatem redamasset, factus est Patri suo obediens usque ad crucem et mortem [70]. Prima ergo et summa hujus cura habenda est iis qui cum superbiæ spiritu diabolo certamen aggrediuntur. Hæc enim ulterius progrediendo omnes nobis virtutis vias sine ullo errore demonstrabit.

Scholion 30.

Veneratur et observat pater legitimum septenuum, dum illo exacto Isidorum a statu pœnitentiæ exsolvit, quo ostendit hoc omnibus mortalibus usu venire, ut præsentem vitam cum labore et dolore exigant, quoad his præsentibus perfuncti ad requiem alterius vitæ perveniant.

Thalasii (*a*) 31.

Optima disciplina seu studium, mala dediscere.

Marci 32.

Qui futuras ærumnas et labores tollere et exstinguere voluerit, oportet ut præsentes libenter et jucunde perpetiatur. Ita prudenter rem cum re connectens modicis doloribus ingentes molestias declinabit.

Isaaci.

Parva afflictio propter Deum suscepta, aut tolerata, præstat operi magno sine afflictione facto. Quia voluntaria afflictio specimen fidei et charitatis edit; opus vero quietis, quasi ex conscientiæ copia, seu satietate nascitur. Propterea sanctorum in Christum charitas per afflictiones probata fuit, (et non per quietem). Itaque opus sine labore factum sæcularium est justitia, qui ex bonis exterioribus eleemosynam largiuntur, et non ex seipsis lucrum faciunt.

Μαρκου κζ'.

Ὁ κακουχίας καὶ ἀτιμίας ὑπὲρ ἀληθείας αἱρούμενος, ἀποστολικὴν ὁδὸν πορεύεται, τὸν σταυρὸν ἄρας, καὶ τὴν ἅλυσιν περικείμενος. Ὁ δὲ ἐκτὸς τῶν δύο τούτων, τῇ καρδίᾳ προσέχειν πειρώμενος πλανᾶται κατὰ νοῦν, καὶ ἐμπίπτει εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου.

Μαξίμου κη'.

Πνευματικοῖς ἀδελφοῖς συζῆσαι προῃρημένος, τοῖς σοῖς θελήμασι ἀπὸ θυρῶν ἀπόταξαι· οὐ μὴ γὰρ ἑτέρῳ τρόπῳ εἰρηνεῦσαι δυνήσῃ, οὔτε πρὸς Θεὸν, οὔτε πρὸς τοὺς συζῶντας.

Διαδόχου κθ'.

Ἡ ὑπακοὴ πρῶτον ἐν πάσαις ταῖς εἰσαγωγοῖς ἀρεταῖς ὑπάρχειν ἔγνωσται καλόν. Ἀθετεῖ γὰρ τέως τὴν οἴησιν, τίκτει δὲ ἡ μὲν τὴν ταπεινοφροσύνην. Ὅθεν καὶ θύρα γίνεται τοῖς αὐτῆς ἀνεχομένοις ἡδέως τῆς εἰς Θεὸν ἀγάπης. Ταύτην ἀθετήσας ὁ Ἀδάμ, εἰς τὸν βύθιον ἀπωλίσθησε τάρταρον. Ταύτης ἐραστὴς ὁ Κύριος τῷ τῆς οἰκονομίας λόγῳ ἄχρι σταυροῦ καὶ θανάτου ὑπήκουσε τῷ ἑαυτοῦ Πατρί. Πρώτου οὖν τούτου ἐπιμελεῖσθαι δεῖ τοὺς πρὸς τὴν οἴησιν τοῦ διαβόλου ἀναδεχομένους τὴν πάλην· δείξει γὰρ ἡμῖν αὕτη προϊοῦσα πάσας ἁπλανῶς τὰς τρίβους τῶν ἀρετῶν.

Σχόλιον λ'.

Τιμᾷ ὁ Πατὴρ τὴν νομικὴν ἑπταετίαν, λύσας τοῦ ἐπιτιμίου τὸν Ἰσίδωρον, τούτῳ παραδεικνὺς τὸ ἐπωδύνως τὴν ἐν τῷ βίῳ τούτῳ ζωὴν διέρχεσθαι πάντα ἄνθρωπον συμβαίνειν, μέχρις ἂν τῶν ὧδε ἀπαλλαγεὶς πρὸς τὴν ἐκεῖθεν καταντήσῃ ἀνάπαυσιν.

Θαλασσίου (*a*) *λα'.*

Ἄριστον μάθημά ἐστιν ἀνθρώποις τὸ ἀπομαθεῖν τὰ κακά.

Μάρκου λβ'.

Τὰ μέλλοντα μοχθηρὰ ἀναιρεῖν βουλόμενος, ὀφείλει τὰ ἐνεστῶτα ἡδέως ὑποφέρειν· οὕτω γὰρ νοερῶς συναλλάσσων πρᾶγμα πράγματι, διὰ μικρῶν ὀδυνῶν μεγάλας ἐκφεύξεται.

Ἰσαὰκ ἄλλο.

Θλῖψις μικρὰ διὰ τὸν Θεὸν γινομένη κρείσσων ἐστὶ μεγάλου ἔργου τοῦ ἀθλίπτως τελουμένου. Διότι ἡ ἑκούσιος θλῖψις, τὸ δοκίμιον τῆς πίστεως καὶ τῆς ἀγάπης ἀνατέλλει. Τὸ δὲ ἔργον τῆς ἀναπαύσεως ἐκ τοῦ κόρου τῆς συνειδήσεως γίνεται. Διὰ τοῦτο ἐν θλίψεσιν ἐδοκιμάσθησαν οἱ ἅγιοι ὑπὲρ τῆς ἀγάπης τοῦ Χριστοῦ, καὶ οὐχὶ ἐν ἀνέσει· διότι τὸ χωρὶς κόπου γινόμενον ἔργον, ἡ δικαιοσύνη ἐστὶ τῶν κοσμικῶν, οἵτινες ἐκ τοῦ ἔξωθεν ποιοῦσιν ἐλεημοσύνην, καὶ οὐκ ἐν ἑαυτοῖς κερδαίνουσιν.

[70] Philipp. II, 7, 8.

(*a*) Hic Thalassius est tom. III. *Bibl.*, cujus sunt IV hecatontades, p. 562, sed hic locus non repetitur.

Σχόλιον λγ'.

Ὁ τὰ ἐνεστῶτα θλιβερὰ, προσδοκίᾳ τῶν μεταγενεστέρων ἀγαθῶν προσδεχόμενος, γνῶσιν ἀληθείας εὕρηκε, καὶ ὀργῆς, καὶ λύπης ῥᾳδίως ἀπαλλαγήσεται.

Ἰσαὰκ σχόλιον λδ'.

Οἱ ἀγωνισταὶ πειράζονται, ἵνα προσθήσουσι τῷ πλούτῳ αὐτῶν· οἱ χαῦνοι, ἵνα ἐκ τῶν βλαπτόντων ἑαυτοὺς φυλάξωνται· καὶ [οἱ] ὑπνώττοντες, ἵνα εἰς ἐξ ὑπνισμὸν εὐτρεπισθῶσι· καὶ οἱ μακρὰν ὄντες, ἵνα προσεγγίσωσι τῷ Θεῷ· καὶ οἱ οἰκεῖοι, ἵνα ἐν παῤῥησίᾳ εἰσοικισθῶσιν.

Σχόλιον λε'.

Ὅρα πῶς οὐ κενῶς τοῖς κρείττοσι καὶ ἀναβεβηκόσι παραμετρεῖται ἡ ταπείνωσις· ἀλλ' ἐὰν ἐν τοῖς ἤδη βαλοῦσιν ἀρχὴν τελεῖται, τότε πλέον θαυμάζεται.

Μάρκου σχόλιον λς'.

Ὁ ὑποταχτικῷ, ὅπου οὐ δεῖ, ἀντιλέγοντι παραχωρῶν πλανᾷ αὐτὸν ἐν ἐκείνῳ τῷ πράγματι, καὶ τὰς συνθήκας τῆς ὑποταγῆς ἀθετεῖν παρασκευάζει.

Σχόλιον λζ'.

Οὐ μόνον τοὺς διὰ ξίφος θανόντας, καὶ ἐπὶ τυράννων μαρτυρήσαντας στεφανοῖ ὁ Κύριος, ἀλλὰ καὶ τοὺς ἐν ἀσκήσει ἢ ἀγάπῃ εὐδοκιμήσαντας. Ὥσπερ γὰρ ἐκεῖνοι διὰ τὸν Κύριον ὑπέμειναν τοὺς αἰκισμούς, οὕτω καὶ οὗτοι διὰ τὸν Κύριον ὑπέμειναν τὴν κακουχίαν, καὶ τὴν ἄσκησιν.

Σχόλιον Μάρκου λη'.

Ὁ ἐν τῇ ὑποταγῇ μίσγων λάθρᾳ τὸ ἑαυτοῦ θέλημα, μοιχός ἐστι, καθὼς ἐν τῇ σοφίᾳ δεδήλωται, καὶ ὃν' Ἐνδειαν φρενῶν ὀδύνας, καὶ ἀτιμίας ὑποφέρει.

Ἄλλο Ἰωάννου Καρπαθίων.

Μηδέποτε ὑποδέχου τὸν ἐν ὑποταγῇ σου λέγοντά σοι· Παράσχου μοι ἐξουσίαν πρὸς ἀρετὴν χρόνον τινὰ, τὸ ἢ τόδε τὸ πρᾶγμα δοκιμάσαι, καὶ οὕτω κατορθῶσαι. Ὁ γὰρ δὴ οὕτως λέγων, δηλονότι τὸ ἴδιον ἐπιτελεῖ θέλημα, καὶ τῆς βελτίστης ὑποταγῆς τὰς συνθήκας ἀθετεῖ.

Τοῦ Χρυσολόγου σχόλιον λθ'.

Οὐ βλάπτει σε θλῖψις, ἀλλ' ὑπομονὴν κατεργάζεται. Ὥσπερ γὰρ τὸ χρυσίον οὐ βλάπτει κάμινος, οὕτως οὐδὲ τὸν γενναῖον διαφθείρει θλῖψις.

Μαξίμου μ'.

Τρία εἰσὶ τάγματα· ἄγγελοι, ἄνθρωποι, δαίμονες. Τὸ μὴ πίπτειν οὐ κατ' οὐσίαν οἱ ἄγγελοι κέκτηνται, ἀλλὰ κατὰ προαίρεσιν· οὐ γὰρ ἀκίνητοι φύσει πρὸς τὸ κακόν εἰσιν· ἐπεὶ οὔτε ὁ Σατανᾶς ἔπεσεν ἄν· ὡς ἐκ φύσεως μὴ δυνάμενος τοῦτο παθεῖν· ἀλλὰ δυσκίνητοι πρὸς τὸ ἐναντίον πεφύκασιν, ὡς καὶ ὁ Θεολόγος λέγει Γρηγόριος. Τοίνυν οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ προαιρετικὴν ποιότητα, ἣν οἱ δαίμονες ἐπὶ κακῷ στερεώσαντες, ἔμειναν διὰ τὸ ἀνεπίστροφον ἐν τῇ ἀποστασίᾳ· οἱ δὲ ἄνθρωποι διὰ τὴν ἐπιστροφὴν

Scholion 35.

Quicunque mala imminentia spe futurorum bonorum excipit et tolerat, hic veritatis cognitionem invenit, et nullo negotio ab ira et tristitia liberabitur.

Isaaci scholion 34.

Religiosi certatores tentantur, ut opes suas cœlestes (gratias) augeant : superbi ut ab noxiis sibi caveant , somniculosi **100** ut ad vigilantiam excitentur : Qui remotiores sunt à Deo ut ad illum propius accedant : qui domestici et familiares sunt ut ad majorem Dei familiaritatem admittantur.

Scholion 35.

Adverte quomodo non temere humilitas cum melioribus et perfectioribus comparetur : sed cum jam in quibusdam, qui fundamentum illius posuerunt, perficitur, tunc admirabilior apparet.

Scholion Marci 36.

Qui subdito contradicenti ubi non oportet, cesserit eo ipso, fallit et efficit ut obedientiæ leges contemnat.

Scholion 37.

Non solum gladio cæsos et ab tyrannis martyrio affectos Dominus coronat, sed religiosos etiam athletas aut ascetas, aut ex charitate probatos. Quemadmodum enim illi propter Dominum supplicia pertulerunt, ita hi propter eumdem Dominum omnia vitæ incommoda et labores vitæ religiosæ subierunt.

Ex Marco scholion 38.

Qui obedientiæ miscet propriam voluntatem, adulter est, quemadmodum sapiens docet, et propter mentis inopiam, dolores et ignominias sustinet.

Aliud Joannis Carpathiorum episcopi.

Nunquam tibi subjecti vocem audias cum dicit ; Da mihi potestatem [liberam voluntatem] ad tempus, ad virtutem vel ad hoc illudve negotium probandum, et sic recte agam. Qui enim ita loquitur, suam ipsius voluntatem manifeste sequitur, et optimæ obedientiæ institutum infringit, et optimæ subjectionis fœdera irrita facit.

Chrysologi scholion. 39.

Afflictio non obest tibi, sed patientiam præstat. Quemadmodum ignis auro non nocet, ita generosum animum non corrumpit afflictio.

Maximi 40.

Tres sunt ordines : angeli, homines, dæmones. Non peccare angelorum est, non natura, sed electione : neque enim natura sunt immutabiles seu immobiles ad malum ; neque enim Satanas cecidisset, si per naturam cadere non potuisset. **101** Sed ad contrarium ægre impelluntur : ut Gregorius Theologus testatur. Non ergo ex natura rei peccant, vel non peccant, sed qualitate voluntatis ad eligendum libere, quam electionem dæmones in malo oblirmarunt, et propterea facti immutabiles in

apostasia a Deo et defectione manserunt. Homines autem propter mutationem seu conversionem illis meliores sunt; angeli autem vincunt utrosque, quod nunquam a bono averti amplius possint.

A χρείττους ἐκείνων εἰσίν· ὥσπερ οἱ ἄγγελοι ὑπὲρ ἀμφοτέρους διὰ τὸ ἀμετάτρεπτον.

Scholion 41.

Curam animalium ratione carentium intellige. Sed vitium non erat præter rationem, neque enim ridendo lasciviam sanavit, qui Antonio magno testatus est se flere quod ab onagris (dæmonibus) esset victus. Quid autem intelligit cum dicit (finem actionis) an quod clam aliquid voraverit? Quia comederat ex iis quæ jumenta ferebant. Quod si pecora erant (*a*), mulgendo lac gustavit, aut quid hujus generis (id est, caseum butyrum, serum.)

. . . . . .

Σχόλιον μα'.

Φροντίδα ἀλόγων φησί. Οὐχὶ δὲ κατὰ ἄλογον πάθος, ἐπεὶ οὐκ ἂν μειδιῶν τὴν ἀσέλγειαν ἴᾶτο, ὁ τῷ μεγάλῳ Ἀντωνίῳ μαρτυρῶν κλαίειν ἐπὶ τῷ ὑπὸ τῶν ὀνάγρων ἐπιταγέντι. Τί δέ ἐστι νοῆσαι τὸν, τέλος τῆς πράξεως, ἢ λαθροφαγίας; Ὅτι ἔφαγεν ἐκ τῶν βασταγμάτων τῶν ἀλόγων. Εἰ δὲ βοσκήματα ἦν ἀμέλγων, ἀπεγεύσατο, ἢ ἄλλο τι τοιουτότροπον·

. . . . . .

Evagrii 42.

Cum anachoretis seu solitariis dæmones nudi luctantur. Ex iis autem qui in cœnobiis et conventibus ad virtutem exercentur, negligentiores exarmant. At bellum posterius multo levius est priore: quapropter non est invenire in terris atrociores homines dæmonibus, qui omnium hominum vincunt malitiam, etiamsi homines omnem simul improbitatem expromant.

B

Εὐαγρίου μβ'.

Τοῖς μὲν ἀναχωρηταῖς οἱ δαίμονες γυμνοὶ προσπαλαίουσι· τοῖς δὲ ἐν κοινοβίοις ἢ συνοδίαις κατεργαζομένοις τὴν ἀρετὴν, τοὺς ἀμελεστέρους τῶν ἀδελφῶν ἐξοπλίζουσιν. Ὁ δεύτερος δὲ πόλεμος πολλῷ κουφότερος τοῦ πρώτου· διότι οὐκ ἔστιν εὑρεῖν ἐπὶ τῆς γῆς ἀνθρώπους πικροτέρους δαιμόνων, εἰ καὶ πᾶσαν αὐτῶν ἀθρόως ὑποδεχομένους τὴν κακουργίαν.

Aliud scholion.

Qui ab hominibus læsus pro illis deprecatur, dæmones affligit: qui hominibus resistit, vulneratur a dæmonibus.

Ἄλλο.

Ὁ ἀδικούντων ἀνθρώπων ὑπερευχόμενος, καταῤῥάσσει δαίμονας· ὁ δὲ τοῖς πρώτοις ἀντιτασσόμενος, ὑπὸ τῶν δευτέρων τιτρώσκεται.

Aliud.

Minor est culpa hominum quam dæmonum; sed qui studet placere Domino, utrosque vicit.

C

Ἄλλο.

Κρείσσων πλημμέλεια ἀνθρώπων, καὶ μὴ δαιμόνων· ὁ δὲ εὐαρεστῶν Κυρίῳ, τοὺς ἀμφοτέρους ἐνίκησεν.

Scholium sequens abrasum a principio, legi non potest, quare totum omitto. Sunt duo vel tres versus.

43.

. . . . . .

μγ'.

. . . . . .

Scholion 44.

Veritatis studiosus duplex commodum percipit: super bonis operibus commendatus alacrior fit, ad eadem exercenda reprehensus cogitur emendare, et pœnitentiam agere.

Σχόλιον μδ'.

Φιλαλήθης ἀκροατὴς ἀμφοτέρωθεν πορίζεται τὴν ὠφέλειαν· ἐπὶ μὲν τοῖς ἀγαθοῖς μαρτυρούμενος, προθυμότερος γίνεται· ἐπὶ δὲ τοῖς κακοῖς ἐλεγχόμενος, μετανοεῖν ἀναγκάζεται.

102 *Aliud.*

Pro ratione progressus, vita instituenda est, pro ratione vitæ, preces Deo offerendæ sunt.

Ἄλλο.

Δεῖ ἡμᾶς κατὰ τὴν προκοπὴν καὶ τὸν βίον ἔχειν, καὶ κατὰ τὸν βίον ὀφείλομεν τῷ Θεῷ τὰς προσευχὰς ἀναφέρειν.

Scholion 45.

In elegantia, si phrasin seu elocutionem spectes; inutilia, si sæcularem sortem et felicitatem; spinas, si duram, ut videtur, et tristem enarrationem.

D

Σχόλιον με'.

Ἀκαλλὴ κατὰ τὴν φράσιν· ἀνονησιφύρα, κατὰ τὴν κοσμικὴν εὐπραγίαν· ἀκανθολογήματα δὲ κατὰ τὴν σκληρὰν δοκοῦσαν διήγησιν.

Scholion 46.

Noverat quod qui peccanti connivet, non minus quam ipse qui peccavit, judicium sustineat et condemnationem.

Σχόλιον μς'.

Ἤδει ὡς ὁ ἐφησυχάζων τῷ πταίοντι, οὐχ ἧττον αὐτοῦ τὴν καταδίκην ὑφίστασθαι.

Aliud ex Marco.

Quid in magistratu est, oportet ut subjecto

Ἄλλο Μάρκου.

Ἀρχικὸς ὑποτακτικῷ χρεωστεῖ λέγειν τὸ ὀφειλό-

(*a*) Supple, quorum curam habebat.

λενον, παρακουσμένῳ δὲ τὴν ἐπιφορὰν τῶν κακῶν προαγγέλλει.

Ἄλλο.

Ὅταν ἡ τοῦ ἑνὸς βλάβη εἰς πολλοὺς διατρέχει, τότε οὐ δεῖ μακροθυμεῖν, οὐδὲ ζητεῖν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Διότι τῆς μονομερῶς ἀρετῆς ἡ πολυμερὴς ὠφελιμοτέρα τυγχάνει.

Σχόλιον μζ'.

Λογισμοὶ σπουδαίου σοφίας μελετῶσι· καὶ οἱ λόγοι αὐτοῦ φωτίζουσι τοὺς ἀκούοντας.

Ἄλλο.

Ὑποκειμένων τῇ ψυχῇ ἀρετῶν ἀγαθοὺς γεωργεῖ λογισμούς· κακιῶν δὲ ὑποκειμένων φαύλας τίκτει ἐννοίας.

Σχόλιον μη'.

Τρία ὑπάρχουσι πράγματα δι' ὧν [ἡ ψυχὴ] λαμβάνει τοὺς λογισμούς· ἡ αἴσθησις, ἡ μνήμη, καὶ ἡ κρᾶσις τοῦ σώματος· χαλεπώτεροι δὲ οἱ ἀπὸ τῆς μνήμης εἰσίν.

Ἄλλο Φωτίου.

Τὸ ἐκφαίνειν ἑκουσίως τινὰ τὰ ἑαυτοῦ πταίσματα ἀνδράσι πνευματικοῖς, σημαντικὸν βίου ἐπανορθώσεως· τὸ δὲ κρύπτειν, δηλωτικὸν ἐμπαθοῦς ψυχῆς· οὐδεὶς γὰρ συντρέχων κλέπταις, καὶ τὸ μέρος αὐτοῦ μετὰ μοιχῶν τιθέμενος ἐξάγει τούτους ποτέ. Διότι φιλοστόργως διάκειται πρὸς τὸ πάθος ὁ ἀπαθής, λέγων ἁμάρτημα ἀδελφοῦ, κατὰ δύο αἰτίας λέγει, ἢ ἵνα αὐτὸν διορθώσηται, ἢ ἵνα ἄλλον ὠφελήσῃ. Εἰ δὲ ἐκτὸς τούτων λέγει, εἴτε αὐτῷ εἴτε ἄλλῳ, ὀνειδίζων ἢ διασύρων λέγει, καὶ οὐ μὴ ἐκφύγῃ τὴν θείαν ἐγκατάλειψιν· ἀλλ' ἢ τῷ αὐτῷ ἢ ἄλλῳ πταίσματι πάντως περιπεσεῖται, καὶ ὀνειδισθεὶς καταισχυνθήσεται.

Χρυσολόγου σχόλιον μθ'.

Δῆσον τὸν πλημμελήσαντα, ἵνα ἐξιλεώσῃ τὸν Θεόν· μὴ ἀφῇς λελυμένον, ἵνα μὴ πλέον δεθῇ τῇ τοῦ Θεοῦ ὀργῇ. Ἂν ἐγὼ δήσω, ὁ Θεὸς οὐκ ἔτι δεσμοῖ· ἂν ἐγὼ μὴ δήσω, τὰ ἄῤῥηκτα αὐτὸν μένει δεσμά· *Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα.* Μηδεὶς ὠμότητος νομιζέτω τὸ τοιοῦτον, καὶ ἀπανθρωπίας· ἀλλὰ τῆς ἄκρας ἡμερότητος καὶ τῆς ἀρίστης ἰατρείας καὶ πολλῆς τῆς κηδεμονίας. Ἀλλ' ἱκανὸν ἔδοσαν χρόνον τιμωρίας, φησί. Πόσον, εἰπέ μοι; ἐνιαυτὸν, καὶ δύο, καὶ τρία ἔτη; Ἀλλ' οὐ τοῦτο ζητῶ, χρόνον, ἀλλὰ ψυχῆς διόρθωσιν· τοῦτο τοίνυν ἐπίδειξον, εἰ κατενύγησαν, εἰ μετεβάλοντο, καὶ τὸ πᾶν γέγονεν· ὡς ἂν μὴ τοῦτο ᾖ, οὐδὲν ὄφελος τοῦ χρόνου· οὐ γὰρ εἰ πολλάκις ἐπεδέθη τὸ τραῦμα ζητοῦμεν, ἀλλ' εἰ ὤνησέ τι ὁ δεσμός. Εἰ μὲν ὠφέλησε καὶ ἐν χρόνῳ βραχεῖ προσκείσθω μηκέτι· εἰ δὲ μηδὲν ὠφέλησε μετὰ δεκαπέντε ἐνιαυτοὺς, ἔτι προσκείσθω, καὶ ὁ ὅρος οὗτος ἔστω λύσεως τοῦ δεδεμένου τὸ κέρδος.

[71] I Cor. XI, 31.

sanum, παρακουσμένῳ δὲ τὴν ἐπιφορὰν τῶν κακῶν προαγγέλλει.

sum officium exponat: obedire recusanti futurorum malorum imminentes pœnas prædicet, et antedenuntiet

Aliud.

Quando damnum unius ad plures pertinet, tum non oportet cunctari et patienter ferre, neque proprium commodum quærere, sed multorum, ut salvi fiant. Virtus enim quæ pluribus prodest, singulari est utilior et præferenda.

Scholion 47.

Cogitationes viri boni meditantur sapientiam, et verba ipsius illuminant auditores.

Aliud.

Virtutibus animæ subjectis, anima bonas cogitationes volvit: vitiis in eadem dominantibus illa malas itidem parit cogitationes.

Scholion 48.

Tria sunt per quæ cogitationes in anima exsistunt: sensus, memoria et corporis constitutio: sed graviores sunt, quæ ex memoria proveniunt.

Aliud Photii.

Sponte aperire quædam peccata patribus spiritualibus, argumentum est emendationis vitæ: tegeret signum est vitiosæ et perturbationibus obnoxiæ animæ. Nemo enim currens cum furibus et portionem suam cum adulteris ponens, hos unquam ejicit. Nimio enim sensus affectu fertur in vitium. Qui vicit affectus jam animo tranquillus, quando fratris peccatum profert, id duas ob causas facit, vel ut ipsum corrigat, vel ut alteri prosit, extra quas si dicat, sive ipsi qui fecit, sive alteri, vel exprobrandi causa, vel calumniandi et lacerandi gratia id facit, nec **103** vindictam Numinis, ut ab eo deseratur, effugiet, sed vel in illud ipsum scelus incidet, vel certe in aliud; et ab aliis reprehensus et probris affectus pudefiet.

Chrysologi scholion 49.

Liga peccantem ut propitiet sibi Deum, nec solutum dimitte, ne per iram Dei arctius vinciatur. Si ego illum ligavero, Deus illum non ligabit; si non ligavero, insolubilia illum vincula manent. *Si enim nos ipsos dijudicaremus, non utique dijudicaremur* [71]. Nemo hoc pro crudelitate vel inhumanitate interpretetur, sed pro summa lenitate optimaque curatione et medicina accipiat: sed satis, inquit, longo tempore pœnas dedit. Quanto, obsecro? annum, duos, tres? Non hoc quæro, nec curo tempus, sed animæ emendationem. Hanc ergo ostende, an compuncti sint qui peccarunt, an mores mutaverint, et rem factam habebimus; nam hoc ita nisi fiat, nihil tempus prodest. Neque enim quærimus quoties, et an sæpe vulnus sit obligatum, sed an ligamina aliquid profecerint. Nam si illa cura intra breve tempus profuit, et vulnus coaluit, nihil est, quod amplius addatur. Si nihil profuit etiam post quindecim annos, curatio non cesset. Denique hic solutionis terminus esto, sanitas et commodum vincti seu ligati.

Scholion 50.

Simul, inquit, omnes imitari nemo potest. Quomodo enim fieri possit? cum hic sit admodum hospitalis, alter nunquam in publicum prodeat; hic inconcussus mente, ille inaccessus; hic post multos demum dies cibum sumat, ille quotidie aut certe frequentius. Superest ergo ut omnes imitari simul nemo possit.

Scholion 51

Vim sine vi sibi inferunt, qui divino amore vulnerati coguntur studere ut placeant Deo, ita ut, nullo cogente, sed divina charitate tracti, ut dictum est, suave et leve jugum Christi portent trahantque.

Scholion 52.

Abbas Zosimas ita loquebatur : dæmones ubi viderint quempiam vel contumelia affectum, vel ignominia notatum, vel damno aliquo multatum, vel quodcunque aliud malum perpessum, non affligi quod aliquid mali sustinuerit, sed quod illud ipsum non generose et fortiter pertulerit, hujus vim et conatum dæmones magnopere pertimescunt. **104** Norunt enim quod veritatem ipsam comprehenderit, et statuerit viam mandatorum Dei ingredi.

Scholion 53.

Idem dicebat quod, qui veram Dei viam et rectam vere affectat, dum turbatur, seipsum vehementer objurget et dicat : Quid furis anima mea? quid turbaris velut insani qui despumant? Hoc ipso ostendis te in morbo cubare : nam si sana esses, nihil patereris. Quid cessas teipsam reprehendere? fratrem tuum accusas, quod morbum tibi tuum ostenderit reipsa et in veritate. Disce Dei præcepta : *Qui cum malediceretur, non maledicebat; cum pateretur, non comminabatur* [73], sed omnia sufferebat, et dicebat quod, si quis viveret annos Mathusalæ, neque hanc rectam incederet viam quam omnes sancti triverunt, ut nempe ignominiis afficerentur, et incommoda omnia perferrent, et hæc generoso animo sustinerent, non progrederetur nec parum, nec multum, sed annos duntaxat frustra sine ullo fructu consumeret.

Scholion 54.

Quemadmodum qui in mari navigant, alacriter solis ardorem sustinent, ita qui malitiam oderunt, amant objurgationem. Propterea nauta resistit ventis, religiosus vitiosis animi perturbationibus.

Aliud.

Hic animam suam pro fratre posuit.

Maximi 56.

Qui in publico consessu sermonum auditionem petulanter interpellat, haud dubia dat signa quod ambitionis morbo teneatur, quo occupatus mille vias et ambages quæstionum et propositionum objicit, ut seriem loquentium abrumpat aut interpolet.

[73] I Petr. II, 23.

(a) Videtur aliquid deesse.

Σχόλιον ν'.

Ὑφ' ἓν, φησὶν, ἀδύνατον. Πῶς γάρ; Ὁ μὲν φιλόξενος, ὁ δὲ ἀπρόσιτος, καὶ ὁ μὲν ἄσκυλτος εἰς τὰς διανοίας· ὁ δὲ ἀπρόϊτος· καὶ ὁ μὲν διὰ πολλῶν ἡμερῶν τρεφόμενος, ὁ δὲ συνεχέστερον· λοιπὸν ὑφ' ἓν μιμήσασθαι πάντας, ἀδύνατον.

Σχόλιον να'.

Ἀβίαστοι βιασταί εἰσιν, οἱ τῇ ἀγάπῃ τοῦ Θεοῦ τετρωμένοι, καὶ βιαζόμενοι τῷ Θεῷ εὐαρεστῆσαι, οὐ βιαζομένου τινὸς, ἀλλ' ἑλκόμενοι τῇ τοῦ Θεοῦ ἀγάπῃ, ὡς εἴρηται, τὸν ζυγὸν ἕλκειν τοῦ Χριστοῦ τὸν ἐλαφρὸν καὶ χρηστόν.

Σχόλιον νβ'.

Ὁ ἀββᾶς Ζωσιμᾶς ἔλεγεν οὕτως, ὅτι ἐὰν ἴδωσιν οἱ δαίμονες ὅτι ὑβρίσθη τις, ἢ ἠτιμάσθη, ἢ ἐζημιώθη, ἢ πᾶν ὅ τι ἔπαθεν, καὶ θλίβηται, οὐχ ὅ τι ἔπαθε κακῶς, ἀλλ' ὅτι οὐκ ἤνεγκε γενναίως τὴν τοιαύτην ὁρμὴν, φοβοῦνται οἱ δαίμονες· γινώσκουσι γὰρ ὅτι ἥψατο τῆς ἀληθείας, καὶ βουλεύεται περιπατεῖν κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ.

Σχόλιον νγ'.

Ὁ αὐτὸς ἔλεγεν ὅτι ὁ ποθῶν τὴν ἀληθινὴν καὶ εὐθεῖαν ὁδὸν, ἐν τῷ ταράττεσθαι ἐπιπλήττει ἑαυτὸν σφοδρῶς, καὶ λέγει· Τί μαίνῃ, ψυχή μου; τί ταράσσῃ ὡς οἱ ἀφρίζοντες; Αὐτὸ τοῦτο δεικνύεις, ὅτι νοσεῖς. Εἰ μὴ ἐνόσεις, οὐκ ἔπασχες. Τί ἀφεῖσα τὸ ἑαυτὴν μέμφεσθαι, ἐγκαλεῖς τῷ ἀδελφῷ σου, ὅτι ἔδειξέ σοι τὴν νόσον σου καὶ πράγματι, καὶ ἀληθείᾳ. Μάθε τὰς ἐντολὰς τοῦ Θεοῦ· *Ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει· πάσχων οὐκ ἠπείλει*, ἀλλὰ πάντα ὑπέμεινε, καὶ ἔλεγεν, ὅτι ἐὰν ζήσῃ τις τὰ ἔτη τοῦ Μαθουσαλὰ, καὶ μὴ ὁδεύσῃ ταύτην τὴν εὐθεῖαν ὁδὸν, ἣν ὥδευσαν πάντες οἱ ἅγιοι, λέγω δὴ τὴν τοῦ ἀτιμάζεσθαι, καὶ ζημιοῦσθαι, καὶ φέρειν γενναίως, οὐ μὴ προβῇ, οὐ μικρὸν, οὐ μέγα· ἀλλὰ μόνον τὰ ἔτη ἀναλίσκει διακενῆς.

Σχόλιον νδ'.

Ὥσπερ οἱ ἐν θαλάσσῃ πλέοντες, ἡδέως ὑπομένουσι τὸν ἡλιακὸν καύσωνα, οὕτως οἱ μισοῦντες κακίαν, ἀγαπῶσι ἔλεγχον· διότι ἐναντιοῦται, ὁ μὲν τοῖς ἀνέμοις, ὁ δὲ πάθεσιν (a).

Σχόλιον νε'.

Οὗτος τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τοῦ ἀδελφοῦ τέθεικεν.

Μαξίμου νς'.

Ὁ ἐν συνεδρίῳ λόγων ἀκρόασιν προπετῶς ἀνακόπτων, οὐκ ἔλαθε φιλοδοξίαν νοσῶν, ὑφ' ἧς ἁλισκόμενος μυρίους προβάλλεται δρόμους, καὶ περιδρόμους προτάσεων, τὸν εἱρμὸν τῶν λεγομένων διαστῆσαι βουλόμενος.

Ἄλλο.

Ὁ σοφὸς, καὶ διδάσκων, καὶ διδασκόμενος, μόνα βούλεται τὰ ὠφελοῦντα διδάσκεσθαι καὶ διδάσκειν· ὁ δὲ δοκησίσοφος, καὶ ἐρωτῶν καὶ ἐρωτώμενος, τὰ περιεργότερα μόνον προβάλλεται.

Aliud.

Qui vere sapit, et qui docet ac docetur, hoc unum habet propositum, ut et utilia doceatur et doceat. Qui vero vult videri sapiens (nec est), is multa interrogans et interrogatus tantum curiosa et nil ad rem pertinentia profert et proponit.

Σχόλιον Ἰσαὰκ νζ.

Ἡ δικαιολογία οὐκ ἔστι τῆς πολιτείας τῶν Χριστιανῶν· καὶ οὐκ ἔστι σεσημειωμένη ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ.

Isauci 57.

Defendere et propugnare seipsum non est ex disciplina Christianorum, nec est observata vel notata in doctrina Christi.

Ἄλλο.

Ἡ ἀντιλογία τὸ αὐτὸ κρατερικὸν, καὶ τὸ ἀνυπόταχτον δείκνυσι· φυσιώσεως οὖν μᾶλλον, καὶ καταφρονήσεως ἀπόδειξιν ἔχει, ἀλλ' οὐ ταπεινότητος καὶ τῆς ἐν πᾶσιν ὑπακοῆς.

Aliud.

105 Contradictio pertinacem et immorigerum minimeque subjectum prodit, imo vero argumentum est certum inflati animi et omnia contemnentis, nequaquam autem humilitatis et in omnibus obedientiæ humilis et perfecte obedientis.

Ἄλλο.

Ὅτι ἀνίατος ἡ πρὸς τοὺς μείζονας ἀντιλογισ

Qui majoribus contradicit, insanabilis est.

Σχόλιον νη'.

Ἔργον ταπεινώσεώς ἐστιν, ἵνα, εάν τις ἡμᾶς βδελύσσηται ἢ διώκῃ, ἔχωμεν φρόνημα ἴσον κυνὸς, ὃς ὅταν διώκηται, ἀναχωρεῖ· ὅταν δὲ καλεῖται, ἔρχεται, ἔχοντες ἐν τῇ καρδίᾳ ὅτι οὐκ ἐσμὲν ἄξιοι μετὰ αὐτῶν εἶναι.

Σχόλιον κδ'.

Νῆφε, ἀδελφὲ, πρὸς τὸ πνεῦμα τὸ φέρον λύπην ἐν τῷ ἀνθρώπῳ· πολλὰ γὰρ τὰ θηρεύματα αὐτοῦ, ἕως οὗ ἀδύναμόν σε ποιήσῃ· ἡ γὰρ κατὰ Θεὸν λύπη χαρά ἐστιν, ἐν τῷ ὁρᾶσθαι σεαυτὸν ἑστάμενον ἐν τῷ θελήματι τοῦ Θεοῦ, καὶ ἐν τῷ μὴ ἐπαίρεσθαι ἐπὶ τοῖς ἀγαθοῖς σου, ἀλλὰ ἐν τῷ ἐπιγνῶναι ὅτι ἐν ἀσθενείᾳ ἐστὶ τὰ ἀγαθὰ ἐν σοί.

Scholion 19.

Quando homo omnia peccata sua priora in memoriam revocat, et ipse seipsum castigat et punit, tunc Deus curam illius gerit, et ipsius conscientiam pacatam reddit. Gaudet enim voluntarii peccatoris pœna, quando dolet, quod a Dei via recesserit, limitesque legum transilierit. Quod signum est transitus ad pœnitentiam : et quanto magis animam afflixerit suam, tanto honor illi amplior accedit et augetur a Deo.

Scholion 20.

Septem hebdomadis dies præsentis vitæ statum significant, serviiem nempe, quod condita natura serviat, et subjecta sit corruptioni; octava dies futurum sæculum respicit, quo ab servitutis corruptione liberabimur.

Aliud.

Septem dies serviles præsentem vitam appellat, liberam autem quæ sequitur futura (octava inquam); qui enim per septem dies præsentis vitæ, peccatorum nempe, quæ in illa accidere solent, servitutem debitam excussit, octava ad libertatem vitæ transit.

Scholion 21.

Hæc est fortitudo ut homo luctetur adversus priora peccata, pro quibus supplex rogat Deum, ut illa sibi ignoscat, totis viribus precatus ne deinceps illis consentiat sive in corde, sive cogitatione, sive actione seu opere, sive ullo sensu.

Aliud.

Fortitudo cordis, et subsidium animæ secundum Deum, quemadmodum pigritia fomentum est malitiæ.

Aliud.

Charitas erga Deum expellit negligentiam ; securitas autem quæ caret timore, excitat et fovet illam.

Scholion Isaaci 22. **138**

Est humilitas ex Deo, et est qui se humiliat propter timorem Dei, et est humilitas quæ nascitur ex desiderio Dei. Illum qui propter timorem Dei se humiliat, sequitur quædam membrorum moderatio, cum grata sensuum compositione et temperamento, et cor contritum omni tempore. Qui autem ex desiderio et gaudio se submittit et abjicit, multam assequitur simplicitatem et cordis augmentum et libertatem.

Scholion 23.

Humilitatis studium est, ut si quis nos exsecretur et persequatur, animo perinde affecti simus, ut canes qui pulsi recedunt, vocati veniunt, reputantes in corde nostro indignos nos esse, qui cum hominibus vivamus

Scholion 24.

Attende, religiose, et vigila adversus spiritum qui homini molestias et tristitiam ingerit ; multæ enim sunt insidiæ illius, quoad virtutem tuam et vim infringat : nam tristitia quæ a Deo

provenit, gaudium parit, dum homo videt se stare in tutela seu voluntate Dei. Qui autem tibi dicit: Quo refugies (miser)? pœnitentia tua nulla est: hic insidias et odium exercet, quoad hominem a continentia avertat. Tristitia autem sancta non imponit homini, sed dicit illi: Ne formides, redi modo; novit enim quod Deus potens est, et confirmat eum. Vis seu virtus eorum qui virtutes sectari et assequi volunt, hæc est, ut, si quando ceciderint, non abjiciant animum, sed iterum ad salutis curam redeant.

Aliud.

Est tristitia perutilis, et tristitia quæ corrumpit hominem. Tristitiæ utilis officium est sua propria peccata plangere, itemque alterius ignorantiam, et ea etiam de causa ne proposito (seu gratia divina) excidat, sed perfectissimam bonitatem assequatur. Sæculares autem cum non laudantur, tristitia afficiuntur; vel enim alienorum appetitione cruciantur, vel paupertate torquentur, vel locupletati, insania efferantur.

Scholion 25.

In hoc diabolus hostis et ultor dicitur; cum sit inimicus virtutis, posteaquam illa ab aliquo amissa est, vindex et ultor est.

139 *Scholion* 26.

Per humilitatem (religiosus) omnia bona consequitur, inter quæ et commiserationem, per quam et ipse certus redditur veniæ impetrandæ.

Scholion Isaiæ abbatis 27.

Quando inter preces animadverteris te nullius peccati ab conscientia accusari, tunc in veram libertatem assertus es, et revera in sanctam quietem Dei ingressus es ex voluntate Ipsius.

Thalassii 28.

Conscientiam mundam disciplinæ religiosæ labores efficiunt, quales sunt jejunium, vigiliæ, patientia longanimitas.

Aliud.

Quemadmodum per facta et verba proditur cogitatio, ita per effectus cordis, quasi pro compensatione pœnitentia.

Scholion Marci 29.

Pœnitentiæ opus his tribus contexitur virtutibus: repurgatione cogitationum, assidua precatione, et afflictionum tolerantia, quæ non solum externam, sed etiam internam mentis actionem desiderant, ut qui in his perseverant, ab omnibus malarum affectionum perturbationibus liberentur: nam sine his tribus dictis virtutibus opus pœnitentiæ perfici non potest.

Scholion 30.

Quando dixit Pater ἐν τοῖς ῥᾳθύμοις, hoc est in ignavis, distinxit et sejunxit impigros et promptos; et cur hoc, manifestum est. Pronum enim est credere, cum ignavi sint, difficilem illorum esse revocationem seu emendationem, sicubi in peccatum prolapsi fuerint: sua enim socordia depressi desperant illam animi tranquillitatem ab omnibus affectuum

ματι τοῦ Θεοῦ. Ὁ δὲ λέγων σοι· Ποῦ ἔχεις φυγήν; μετάνοιαν οὐκ ἔχεις· οὗτος τῆς ἔχθρας ἐστὶν, ἕως οὗ ποιήσῃ τὸν ἄνθρωπον ἀπολῦσαι τὴν ἐγκράτειαν. Ἡ δὲ κατὰ Θεὸν λύπη οὐκ ἐπιτίθεται τῷ ἀνθρώπῳ, ἀλλὰ λέγει αὐτῷ· Μὴ φοβοῦ· δεῦρο πάλιν· οἶδε γὰρ ὅτι ὁ Θεὸς δυνατός ἐστι, καὶ ἐνδυναμοῖ αὐτόν. Δύναμις τῶν θελόντων κτήσασθαι τὰς ἀρετὰς αὕτη ἐστὶν, ἵνα ἐὰν πέσωσι, μὴ μικροψυχήσωσιν, ἀλλὰ πάλιν φροντίσωσιν

Ἄλλο.

Ἔστι λύπη ἐπωφελὴς, καὶ ἔστι λύπη φθοροποιος. Τῆς μὲν οὖν χρησίμης λύπης, τὸ μέν ἐστι περὶ τῶν οἰκείων ἁμαρτημάτων στένειν. Τὸ δὲ, καὶ περὶ τῆς τοῦ πλησίον ἀγνωσίας, τὸ δὲ πρὸς τὸ μὴ ἐκπεσεῖν τῆς προθέσεως· τὸ δὲ ἵνα τῆς τελειοτάτης ἐφάψηται ἀγαθότητος· οἱ δὲ κοσμικοὶ μὴ δοξαζόμενοι λυποῦνται, τῶν ἀλλοτρίων ὀρεγόμενοι τήκονται· πενόμενοι δυσφροῦσι, πλουτοῦντες ἐκμαίνονται.

Σχόλιον κε'

Ἐν τούτῳ ὁ διάβολος ἐχθρὸς καὶ ἐκδικητὴς λέγεται· τῆς γὰρ ἀρετῆς ἐχθρὸς ὢν, μετὰ τὴν αὐτῆς ἔκπτωσιν, ὡς ἐκδικῶν φαίνεται.

Σχόλιον κς'.

Δια ταπεινώσεως πᾶσιν ἀγαθοῖς ἐπεισέρχεται, ἐν οἷς καὶ ἡ συμπάθεια, δι' ἧς καὶ ἡ πληροφορία τῆς συγχωρήσεως.

Σχόλιον Ἡσαΐου κζ'.

Ἐὰν ἴδῃς εὐχόμενος ἑαυτὸν μηδὲν τὸ σύνολον τῆς κακίας κατηγοροῦν σε, ἄρα ὄντως ἐλεύθερος εἶ, καὶ εἰσῆλθες ὄντως εἰς τὴν ἁγίαν κατάπαυσιν αὐτοῦ, κατὰ τὸ θέλημα αὐτοῦ.

Θαλασσίου κη'.

Συνείδησιν καθαρὰν πόνοι ποιοῦσιν ἀσκήσεως· οἷον νηστεία, ἀγρυπνία, ὑπομονὴ, μακροθυμία.

Ἄλλο.

Ὥσπερ δι' ἔργων καὶ λόγων φανεροῦται ἔννοια, οὕτω διὰ τῶν ἐνεργημάτων τῶν καρδιακῶν ἡ μετάνοια ἀνταπόδοσις.

Σχόλιον Μάρκου κθ'.

Τὸ τῆς μετανοίας ἔργον ἐν ταῖς τρισὶ ταύταις ἀρεταῖς ἐξυφαίνεται· ἐν τῷ λογισμοὺς καθαρεῖν, καὶ ἀδιαλείπτως προσεύχεσθαι, καὶ τὰς ἐπερχομένας θλίψεις ὑποφέρειν, ἅπερ οὐ μόνον φανερὰν, ἀλλὰ καὶ νοερὰν ἐργασίαν ὀφείλει ἔχειν, ὥστε τοὺς ἐγχρονίζοντας ἀπαθεῖς καταστῆσαι· ἐπεὶ ἄνευ τῶν προειρημένων τριῶν ἀρετῶν οὐ δύναται τελειωθῆναι τὸ τῆς μετανοίας ἔργον.

Σχόλιον λ'.

Ἐν τοῖς ῥᾳθύμοις εἰπὼν ὁ Πατήρ· διεχώρησε τοὺς ἀόκνους καὶ προθύμους· καὶ τοῦτο φανερόν. Εἰκὸς γὰρ αὐτοὺς ῥᾳθύμους ὄντας δύσκολον ἡγεῖσθαι τὴν ἀνάκλησιν, ἐάν τινι περιπέσωσι πτώματι· τῇ γὰρ οἰκείᾳ ῥᾳθυμίᾳ πιεζόμενοι, ἀπογινώσκουσι τῆς ἀπαθείας, διὰ τὸ μὴ βούλεσθαι ἑαυτοὺς περισσοτέροις ἐκδοῦναι πόνοις· διὰ τοῦτο καὶ κρεῖττον ἡγοῦν-

ται, τὸ κἂν τοῦ παρόντος πταίσματος ἀπαλλαγῆναι κακῶς νοσοῦντες· οἱ γάρ τοι σπουδαῖοι μυριάκις εἰ πίπτοιεν, οὐδέπω τῆς τελειότητος ἀπογινώσκουσιν· ἀλλὰ προθύμως ὅτι πρὸς αὐτὴν ἐλαύνουσι.

A perturbationibus remotam, quod seipsos nolint paulo majoribus laboribus exponere; melius rati a præsenti duntaxat delicto liberari, malo sane morbo laborantes. Impigri vero et exercitati illi etiam si millies ceciderint, nunquam de perfectione assequenda desperant; sed quam possunt promptissime ad illam enituntur.

Ἀριστοτέλους.

Πᾶσα συμφορὰ κούφη ἀνδρὶ μὴ κούφῳ.

Aristotelis.

Omnis calamitas levis est viro non levi.

Σχόλιον λα'.

Ἐκεῖνος ἐπιχρόνιόν τισι τὴν τῶν ἁμαρτωλῶν κόλασιν ἐπιτιθέμενος, ὥστε καθαρθῆναι τὸν ἐκ τῆς ἁμαρτίας ῥύπον τῷ πυρὶ τῶν κολάσεων· μετὰ τοῦτο τῇ τῶν οὐρανῶν ἀποκαθίστησι βασιλείᾳ σὺν τοῖς δικαίοις καὶ τούτους, κακῶς προβαλλόμενος τὴν τοῦ Θεοῦ φιλανθρωπίαν συνήγορον.

Scholion 31.

Origenis impii morbum. Ille diuturnam quibusdam delinquentibus pœnam præscribebat, ut sordes peccati igne suppliciorum expiarent: tum deinde hos in cœlo cum justis collocabat, **140** Deique clementiam male prætexebat his patronam.

Σχόλιον.

Πῦρ ἐν ὑγροῖς ξύλοις οὐχ ἅπτει, καὶ ἡ θεία θερμασία ἐν ἀγαπώσῃ καρδίᾳ τὴν ἀνάπαυσιν οὐκ ἐξάπτεται.

B

Scholion.

Ignis in humidis lignis non ardet, et cœlestis calor in corde, quod amat quietem seu otium, non exardescit.

ΛΟΓΟΣ Ϛ'.

Περὶ μνήμης θανάτου.

Παντὸς λόγου προηγεῖται ἔννοια. Μνήμη (1) δὲ θανάτου καὶ πταισμάτων προηγεῖται κλαυθμοῦ καὶ πένθους· διὸ κατὰ τὴν οἰκείαν τάξιν καὶ ἐν τῷ λόγῳ τέθειται. Μνήμη θανάτου ἐστὶ καθημερινὸς θάνατος, μνήμη δὲ ἐξόδου κάθωρος στεναγμός. Δειλία μὲν θανάτου ἐστὶν ἰδίωμα φύσεως ἐκ παρακοῆς προσγενόμενον, τρόμος δὲ θανάτου ἐστὶν ἀμετανοήτων πταισμάτων τεκμήριον. Δειλιᾷ Χριστὸς θάνατον, οὐ τρέμει, ἵνα τῶν δύο φύσεων τὰ ἰδιώματα σαφῶς C ἐμφανίσῃ. Ὡς πασῶν τροφῶν ὁ ἄρτος ἀναγκαιότερος, οὕτως πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου ἔννοια· μνήμη (2) θανάτου γεννᾷ ἐν μὲν τοῖς ἐν μέσῳ πόνους καὶ ἀδολεσχίας· μᾶλλον δὲ ἀτιμίας ἡδύτητα· παρὰ δὲ τοῖς ἐκτὸς θορύβου φροντίδων ἀπόθεσιν καὶ εὐχὴν διηνεκῆ, καὶ νοὸς φυλακήν. Αἱ αὐταὶ δὲ αὐτῆς καὶ μητέρες καὶ θυγατέρες κατεστήκασιν· ὡς φανερὸς ὁ κασσίτηρος παρὰ τὸν ἄργυρον, κἂν τὴν θεωρίαν ἔοικεν, οὕτως παρὰ τοῖς διακριτικοῖς φανερὸν καὶ δήλη ἡ φυσικὴ, καὶ ἡ παρὰ φύσιν δειλία τῆς ἐξόδου. Τοῦτο ἀληθὲς τεκμήριον τῶν ἐν αἰσθήσει καρδίας μνημονευόντων τοῦ θανάτου, ἡ πρὸς πᾶσαν τὴν κτίσιν ἑκούσιος ἀπροσπάθεια, καὶ τοῦ ἰδίου θελήματος παντελὴς ἐγκατάλειψις. Δόκιμος μὲν, ὁ τοῦτον καθ' D ἡμέραν πάντως προσδεχόμενος· ἅγιος δὲ, ὁ τούτου καθ' ὥραν ἐφιέμενος. Οὐ πᾶσα ἐπιθυμία θανάτου ἀγαθή. Εἰσὶ γὰρ οἱ διηνεκῶς βίᾳ ἕξεως πταίοντες, καὶ τοῦτον εὐχόμενοι μετὰ ταπεινώσεως· καὶ εἰσὶν αὖθις οἱ μετανοῆσαι μὴ βουλόμενοι, καὶ τὸν θάνατον ἐξ ἀπογνώσεως προσκαλούμενοι· καὶ εἰσὶν οἱ ἐξ οἰήσεως ἀπαθεῖς ἑαυτοὺς ἔχοντες, καὶ τοῦτον μὴ δειλαινόμενοι· καὶ εἰσὶν, εἴπερ καὶ νῦν ἄρα εἰσὶν, οἱ δι' ἐνεργείας Πνεύματος ἁγίου τὴν ἐκδημίαν ἐπιζητοῦντες τὴν ἑαυτῶν. Ζητοῦσί τινες καὶ διαποροῦσι, τίνος ἕνεκεν οὕτως εὐεργετούσης ἡμᾶς τῆς τοῦ θανάτου μνήμης, τὴν τούτου πρόγνωσιν ὁ Θεὸς ἐξ ἡμῶν ἀπέκρυψεν, μὴ γινώσκοντες ὅτι τὴν σωτηρίαν ἡμῶν ὁ Θεὸς διὰ τούτου εἰργάσατο θαυμασίως.

GRADUS VI.

De memoria mortis.

Omne verbum præcedit cogitatio; mortis vero et delictorum recordatio ducunt hominem in lacrymas et luctum. Proinde justo ordine hæc in hoc libro sunt collocata. Mortis memoria quotidiana mors est; extremi vero exitus recordatio assiduus est gemitus. Metus mortis a natura proficiscitur ex inobedientia natus; tremor autem mortis, argumentum est animi per pœnitentiam non expiati. Expavescit Christus mortem, non tremiscit, ut duarum in se naturarum proprias affectiones demonstraret. Quemadmodum ex omni genere ciborum panis est maxime necessarius, ita ex omnibus actionibus meditatio mortis. Mortis recordatio in iis quidem, qui in communi fratrum versantur, parit labores et pias exercitationes, imo vero contemptus desiderium et dulcedinem. Qui vero extra turbas (in solitudinem) degunt iis affert curarum omnium neglectum, et suggerit perpetuas preces, mentisque custodiam. Quæ virtutes hujus genitrices sunt et filiæ. Sicut stannum si cum argento componatur, facile ab illo secernitur, quantumvis alias illi simile videatur, **141** ita ii qui rerum divinarum cognitionem habent, certum et manifestum discrimen inter naturalem mortis metum, et eum qui est præter naturam norunt. Hoc autem certissimum est indicium, illos ex animo mortis memoriam complexos, sensuque cordis impressam habere qui omnem erga res omnes creatas affectum exuerunt, suamque voluntatem abjecerunt. Laudandus quidem ille est, qui mortem tanquam hodie venturam exspectat: sed ille sanctus, qui eamdem semper desiderat. Non omne moriendi desiderium probandum est. Rursus sunt qui mori ex humilitate cupiant, quod vi quadam et consuetudine peccandi ad peccatum continenter trahantur. Sunt qui pœnitere nolunt, et mortem ex desperatione arcessunt. Sunt rursum qui se affectibus liberos ad summæ tranquillitatis statum per-

venisse rati, mortem non formidant : et sunt, si tamen hodie sunt, qui per Spiritus sancti vim et virtutem migrare e vita cupiunt. Quærunt hoc loco nonnulli, et dubitant quid sit, quamobrem Deus nos extremum vitæ diem præscíscere nolit, cum memoria tamen mortis nobis tam salutaris sit, ignorantes Deum hoc ipsum salutis nostræ causa facere. Nemo quippe ex iis qui diem vitæ ultimum præciperent animo diu ante mortem, aut ad baptismum properaret, aut religiosam vitam profiteretur : sed plerique omnes omnem vitam suam in flagitiis detererent, et in fatali demum hora ad cœlestem baptismatis fontem, et peccatorum expiationem accederet. Tu vere lugens, **142** nequaquam admittas canem illum tartareum, qui Deum benignum et clementem esse suggerit (nisi cum te sentis ultima prope desperatione absorberi); hoc enim studet ut luctum et timorem Domini, qui veram parit securitatem abs te excludat. Qui mortis et extremi judicii memoriam in se ipso perpetuam vult alere, et curis interim profanis se occupat, perinde facit, atque is qui vult vinctis manibus natare. Vera autem mortis et efficax meditatio gulam omnino necat; gula autem victa, jacent omnia simul vitia victa. Cordis stupor mentem excæcat; copia cibi fontem lacrymarum exhaurit. Sitis et vigiliæ cor affligunt; ex afflicto corde resiliunt aquæ. Dura sunt hæc, quæ diximus, gulosis et ventri servientibus, inertibus autem incredibilia. At vir exercitatus hæc alacriter aggredietur, et usu doctus ridebit super rei facilitate. Qui vero de his inquiret et disputabit, nil nisi tristitiam referet. Quemadmodum Patres charitatem perfectam labi posse negarunt, sic ego perfectum mortis sensum timoris expertem affirmo. Multa sunt industriæ [practicæ] mentis opera, amoris, inquam, divini meditatio, mortis memoria, recordatio Dei, regni cœlestis contemplatio, memoria ardoris sanctorum martyrum, memoria Dei semper præsentis, quemadmodum ille dicit : *Providebam Dominum* (*in conspectu meo semper* [10]); memoria cœlestium potestatum et angelorum, memoria exitus animæ, occursus ad tribunal Dei, supplicii, ultimæ sententiæ pronuntiatio. **143** A magnis cœpimus, in iis quæ lapsus peccati excludunt finiimus. Ægyptius quidam religiosus mihi olim de se commemoravit, quod post infixam animo, adeoque cum sensu impressam cordi mortis memoriam voluerit ex objecta necessitatis occasione nonnihil aliquid solatii luto corporis indulgere, Sed per memoriam mortis, inquit, tanquam ab judice prohibitus sum. Et quod admirabile est, cum memoriam mortis (ad horam) excludere vellem, non potui. Alius qui hic in loco Tholo dicto degebat, sæpenumero ex hujusmodi mortis consideratione a sensibus excessit, et quasi defectus animo, aut

[10] Psal. xv, 8.

(*a*) Ms. Κροτεῖν Sed emendatus κρατεῖν τὰς χεῖρας. Κροτεῖν τὰς χεῖρας esset manus complodere seu complosis manibus natare.

Οὐδεὶς γὰρ τὸν ἑαυτοῦ θάνατον προγνοὺς πρὸ πολλοῦ χρόνου τῷ βαπτίσματι, ἢ τῇ μοναδικῇ πολιτείᾳ προσέτρεχεν· ἁπάσας δὲ τὰς ἑαυτοῦ ἡμέρας ἐν ἀνομίαις διέτριβεν, καὶ ἐν αὐτῇ τῆς ἐξόδου εἰς τὸ βάπτισμα καὶ εἰς τὴν μετάνοιαν προσήρχετο. Μηδέποτε πενθῶν ἀποδέξῃ, τὸν κύνα ἐκεῖνον τὸν φιλάνθρωπόν σοι τὸν Θεὸν ὑποβάλλοντα· σκοπὸς γὰρ αὐτῷ, τὸ πένθος, καὶ τὸν φόβον τὸν ἄφοβον ἐκ σοῦ ἐξεώσασθαι, εἰ μή τι ἂν εἰς βαθεῖαν ἀπόγνωσιν ἴδῃ σεαυτὸν κατασυρόμενον· ὁ μνήμην θανάτου, καὶ κρίσεως Θεοῦ ἐν ἑαυτῷ διὰ παντὸς κατέχειν βουλόμενος, καὶ φροντίσι καὶ περισπασμοῖς ὑλικοῖς ἑαυτὸν ἐκδιδοὺς, ὅμοιός ἐστι τῷ νηχομένῳ, καὶ τὰς ἑαυτοῦ χεῖρας κρατεῖν (*a*) βουλομένῳ. Μνήμη θανάτου ἐναργὴς περιέκοψε βρώματα, βρωμάτων δὲ ἐν ταπεινώσει κοπέντων συνεξεκόπησαν πάθη (3). Ἀναλγησία καρδίας ἐπώρωσε νοῦν, βρωμάτων δὲ πλῆθος ἐξήρανε πηγάς· δίψα καὶ ἀγρυπνία ἐξέθλιψαν καρδίαν· καρδίας δὲ θλιβήσης ἀπεπήδησαν ὕδατα (4). Σκληρὰ μὲν γαστριμάργοις, ἄπιστα δὲ ῥᾳθύμοις τὰ εἰρημένα. Ἀνὴρ δὲ πρακτικὸς δοκιμάσει προθύμως· ὁ πεῖρα εὑρηκὼς μηδιάσει ἐπὶ τούτοις· ὁ δὲ ἐπιζητῶν, σκυθρωπότερος ἔσται. Ὥσπερ τὴν τελείαν ἀγάπην οἱ Πατέρες ἄπτωτον εἶναι ὁρίζονται, οὕτως ἔγωγε τὴν τελείαν τοῦ θανάτου αἴσθησιν ἄφοβον εἶναι ἀποφαίνομαι· πολλαὶ μὲν τοῦ νοὸς τοῦ πρακτικοῦ αἱ ἐργασίαι· λέγω δὲ ἔννοια ἀγάπης, τῆς πρὸς Θεόν· μνήμης θανάτου, μνήμης Θεοῦ, μνήμης βασιλείας, ζήλου τῶν ἁγίων μαρτύρων, μνήμης αὐτοῦ τοῦ Θεοῦ παρόντος, κατὰ τὸν εἰπόντα· *Προωρώμην τὸν Κύριον*. Μνήμης ἁγίων καὶ νοερῶν δυνάμεων· μνήμης ἐξόδου, ἀπαντήσεως, κολάσεως, ἀποφάσεως. Ἐν μεγάλοις μὲν ἠρξάμεθα, ἀναπτώτοις δὲ κατελήξαμεν. Διηγήσατό μοί ποτε Αἰγύπτιος μοναχὸς, ὡς ὅτι μετὰ τὴν ἐν αἰσθήσει καρδίας τῆς τοῦ θανάτου μνήμης παγίωσιν, θελήσαντός μου χρείας καταλαβούσης μικρὸν τὸν πηλὸν (5) παραμυθήσασθαι, ὑπὸ τῆς μνήμης, ὡς ὑπὸ δικαστοῦ κεκώλυμαι. Καὶ τὸ θαυμαστὸν, ὅτιπερ καὶ βουληθεὶς οὐκ ἠδυνήθην ἀπώσασθαι· ἕτερός τις οἰκῶν ἐνταῦθα ἐν τῷ λεγομένῳ Θολῷ τόπῳ, πολλάκις ἐκ τῆς τοιαύτης ἐννοίας ἐξίστατο, καὶ ὡς ὀλιγοθυμήσας, ἢ καὶ ἐπιληπτιάσας παρὰ τῶν εὑρισκομένων ἀδελφῶν, ἄπνους σχεδὸν ἐβαστάζετο. Οὐ σιωπήσω σοι καὶ τὸ τοῦ ἡσυχίου τοῦ Χωρηβίτου (*b*) σημᾶναι διήγημα. Οὗτος ἀεὶ ἐν πάσῃ ἀμελείᾳ διέτριβε, τῆς ἑαυτοῦ ψυχῆς τὸ παράπαν μὴ ποιούμενος ἐπιμέλειαν· ἀσθενήσας οὖν ἐσχάτως τοῦ σώματος, ὡς ἐπὶ ὥραν μίαν ἀκριβῶς ἐξεδήμησε· καὶ εἰς αὐτὸν ἐπανελθὼν δυσωπεῖ μὲν ἡμᾶς πάντας εὐθέως ἀναχωρῆσαι. Καὶ τὴν θύραν τῆς κέλλης ἀνοικοδομήσας ἔμεινεν ἔνδον χρόνους δύο καὶ δέκα μηδενὶ τὸ παράπαν συντετυχηκὼς, οὐ μικρὸν, οὐ μέγαν λόγον, οὐχ ἑτέρου τινὸς, ἀλλ' ἢ ἄρτου καὶ ὕδατος ἀπογευόμενος· μόνον δὲ καθήμενος καὶ πρὸς

(*b*) Dubites an sit hic proprium nomen Hesychii, an commune.

ἃ ἑώρακεν ἐν τῇ ἐκστάσει ἐξηστηκὼς σύννους οὕτως, ὡς μηδέποτε ἐπὶ Κυρίου (a) τὸ ἴδιον ἦθος ἀλλοιώσας, ἀλλ' ἔκνους ἀεί, καὶ δάκρυα θερμὰ ἀψοφητὶ καθ' ὅλου προχεόμενος. Ὅτε δὲ ἤμελλεν τελευτᾶν, ἀναφράξαντες τὴν θύραν εἰσεληλύθαμεν, καὶ πολλὰ δυσωπήσαντες, τοῦτο καὶ μόνον παρ' αὐτοῦ ἀκηκόαμεν· Συγχωρήσατε· οὐδεὶς μνήμην θανάτου ἐγνωκὼς, δυνήσεταί ἁμαρτῆσαί ποτε. Ἡμεῖς δὲ ἐθαμβούμεθα τὸν οὕτως πρώην ἀμελῆ ὁρῶντες, οὕτως ἀθρόον μεταμορφωθέντα τὴν μακαρίαν ἀλλοίωσιν καὶ μεταμόρφωσιν· θάψαντες δὲ αὐτὸν ὁσίως ἐν τῷ κοιμητηρίῳ τῷ πλησίον τοῦ κάστρου· μεθ' ἡμέραν ἐπιζητήσαντες τὸ ἅγιον αὐτοῦ λείψανον, οὐχ εὕρομεν· τοῦ Κυρίου καὶ ἐν τούτῳ τὴν μεμεριμνημένην αὐτοῦ καὶ ἀξιέπαινον μετάνοιαν πληροφορήσαντος, πάντας τοὺς βουλομένους, καὶ μετὰ πολλὴν ἀμέλειαν διορθώσασθαι (6)· ὥσπερ τὴν ἄβυσσον ἀπέρατον, τινὲς εἶναι ὁρίζονται· τόπον γὰρ αὐτὴν καλοῦσιν ἀπύθμαντον. Οὕτως ἡ τοῦ θανάτου ἔννοια ἄφθαρτον καὶ τὴν ἁγνείαν καὶ τὴν ἐργασίαν κέκτηται. Βεβαιοῦται δὲ τὸ εἰρημένον ὁ προειρημένος ὅσιος. Φόβῳ φόβον διηνεκῶς οἱ τοιοῦτοι προσλαμβάνοντες, οὐ παύονται ἄχρις ἂν καὶ αὕτη ἡ τῶν ὀστέων ἐκδαπανηθῇ δύναμις. Δῶρον Θεοῦ καὶ τοῦτο μετὰ πάντων ἀγαθῶν εἶναι ἑαυτοὺς πληροφορήσωμεν· ἐπεί πως πολλάκις καὶ ἐν αὐτοῖς τοῖς μνήμασι παραγενόμενοι, ἀδάκρυτοί τινες καὶ σκληροὶ διαμένομεν· ἐκτὸς δὲ τῆς τοιαύτης θεωρίας πλειστάκις κατανυσσώμεθα. Ὁ πάντων νεκρωθεὶς, οὗτος θανάτου ἐμνημόνευσεν· ὁ δὲ ἔτι σχετικὸς, οὐ σχολάσει ἑαυτῷ ἀντεπίβουλος ὤν. Μὴ θέλε (7) πάντας διὰ λόγον πληροφορεῖν τὴν πρὸς αὐτοὺς ἀγάπην· μᾶλλον δὲ Θεὸν αἰτοῦ ταύτην αὐτοῖς ἀῤῥήτως ἐμφανίσαι· εἰ δὲ μὴ, οὐκ ἐξαρκέσει σοι ὁ χρόνος πρὸς σχέσεις καὶ κατάνυξιν. Μὴ ἀπατῶ, ἄφρον ἐργάτα, χρόνῳ χρόνον ἀναπληροῦν· οὐ γὰρ ἐξαρκεῖ ἡ ἡμέρα οὐδὲ τὸ ἑαυτῆς χρέος τῷ Δεσπότῃ ἀνελλιπῶς πληρῶσαι· παρὰ ἀνθρώποις οὐκ ἔστι, φησὶν, οὐκ ἔστι τὴν ἐνστῶσαν ἡμέραν εὐσεβῶς διεξιέναι, εἰ μὴ αὐτὴν ἐσχάτην παντὸς τοῦ βίου λογισώμεθα. Καὶ θαῦμα ὄντως πῶς καὶ Ἕλληνές τι τοιοῦτον ἐφθέγξαντο, ἐπεὶ καὶ φιλοσοφίαν τοῦτο εἶναι ὁρίζονται, μελέτην θανάτου.

A morbo comitiali agitatus, a fratribus inventus, et prope exanimis reportatus est. Non committam quin tibi etiam solitarii illius Chorebitæ factum exponam. Ilic prioribus annis, neglecta prorsus animæ cura et salute, in summa vitæ religiosæ negligentia versabatur. Tandem gravi afflictus morbo, cum ad extrema prope venisset, ad unius horæ spatium vita omnino cessisse videbatur. Sed ubi ad se rediit, rogavit nos omnes uti quamprimum omnes ab illo recederemus. Statimque cellæ suæ januam obstruxit, mansitque ita inclusus annos totos duodecim, nullum verbum cum ullo locutus, nihilque præter aquam et panem gustabat. Sed eodem in loco sessitans, ea quæ in excessu viderat ita cogitabundus revolvebat, ut nunquam proprii corporis statum et habitum mutaret, sed semper attonitus et velut ab sensibus avocatus, altoque silentio defixus calentibus lacrymis mundaretur. Cum vero jam illi mors immineret, **144** tum nos effracta janua ingressi, multaque precati hoc unum et solum ab illo extorsimus: Ignoscite, inquit, nemo qui mortis memoriam animo infixerit, unquam peccare poterit. Quo nos responso perculsi obstupuimus, admirati tam subitam, et beatam vitæ morumque mutationem et metamorphosin, qui antea ipsius negligentiam noveramus. Quem cum in cœmeterio, quod castro proximum erat, sepelissemus, postridie revisentes sanctum ejus corpus in sepulcro non amplius invenimus, Domino simul in hoc omnes docente, qui post longam etiam præteritæ vitæ cessationem, et negligentiam ad frugem redeunt, gratam sibi fuisse hujus, adeoque omnium esse accuratam et laudabilem pœnitentiam. Quemadmodum sunt qui abyssum aquarum altitudinem vadis carentem definiunt; locum enim illum appellant sine vadis [fundo carentem]; sic mortis meditatio castitatem æternam, et reliquarum virtutum exercitationem fine carentem possidet: quod dictum sanctus ille quem modo laudavi confirmat. Nam hi tales timorem timore augent assidue, nec cessant ab hac exercitatione, donec etiam ossa exhauriant. Enimvero et hoc quoque Dei beneficium esse inter alia ejus innumera bona penitus nobis persuadeamus quando sæpius experti sumus. Cum ossaria ingressi nullam lacrymæ guttam a nobis, tanquam ferreis impetrare [extorquere] potuimus, cum tamen extra sepulcrorum hujusmodi contemplationem sæpissime in luctum, et lacrymas solvamur. Qui omnium rerum affectu defunctus est hic vere mortis memoriam complexus est. **145** Qui adhuc rerum desideriis tenetur, ipse non cessat esse sui ipsius insidiator. Noli velle omnibus affectum tuum amoris erga illos declarare verbis; Deum potius roga, ut ipse arcano quo potest modo tuas erga alterum partes impleat. Quod nisi feceris, non ullum tibi tempus sufficiet ad ostendendum animum tuum erga alios, et ad compunctionem animi excitandum. Ne fallare, stolide mercenarie, tempus tempore redimendo: nec enim suo cuique debito operi sua dies sufficit, ut illud Deo integrum plenumque repræsentetur. Fieri non potest, inquit nonnemo, non potest fieri inter mortales, ut præsentem diem satis pie religioseque transigamus, nisi illum ipsum diem totius vitæ supremum ultimumque existimemus. Et sane permirum est, quomodo et pagani scriptores (b) aliquid id genus pronuntiarint, qui studium sapientiæ nihil aliud esse dixerunt quam meditationem mortis.

(a) Ἐπὶ Κυρίου absunt in Augustano codice, sed in aliis omnibus leguntur.

(b) Plato. Vide Præfat nostram ad *Syntagma de morientibus*.

Qui sextum hunc gradum ascenderit, deinceps non peccabit unquam. « Memorare novissima tua, et in æternum non peccabis [11].»

Ἕκτη ἀνάβασις· ὁ ἀναβας, ου μη λοιπὸν ἁμαρτησε ποτέ. « Ὑπερμιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. »

SCHOLIA AD GRADUM VI.

De morte.

Scholion 1.

Ex mortis memoria hæ tres virtutes exsistunt : nudus ab omnibus rebus præsentibus affectus, assidua oratio, et mentis custodia.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Ϛ.

Περὶ θανάτου.

Σχόλιον α'.

Ἐκ τῆς μνήμης θανάτου γεννῶνται τρεῖς αὗται ἀρεταὶ, ἡ ἀπροσπάθεια, ἡ ἀδιάλειπτος προσευχὴ, καὶ ἡ τοῦ νοὸς φυλακή.

Scholion 2.

Mortis, inquit, consideratio illos qui sub religiosa disciplina vivunt, reddit laborum patientes, efficitque ut ignominiis magis delectentur : solitariis vero **146** omnem rerum humanarum curam eximit ut solis precibus et meditationibus vacent.

Σχόλιον β'.

Ἡ τοῦ θανάτου, φησὶν, ἔννοια τοὺς ἐν ὑποταγῇ φερεπόνους ποιεῖ, καὶ ταῖς ἀτιμίαις ἡδομένους μᾶλλον, τοὺς δὲ ἐν ἡσυχίᾳ ἀφρόντιδας, καὶ μόνῃ τῇ εὐχῇ, καὶ τῇ προσευχῇ σχολάζοντας ἀεί.

Scholion aliud.

Anachoretæ qui se mundo abdicarunt, amore paupertatis et propriæ voluntatis excidio destituti, dum in ipsa mortis meditatione versantur, perturbari solent.

Σχόλιον ἄλλο.

Τοῖς ἀναχωρήσασι μὲν τοῦ κόσμου, μὴ κτησαμένοις ἀκτημοσύνην, καὶ ἐκκοπὴν θελημάτων, θόρυβον γεννᾷ ἐν τῇ μνήμῃ τοῦ θανάτου.

Scholion aliud.

Apud illos quidem qui in mediis hominum turbis vivunt, creat labores et nugamenta, aut potius ignominiosas voluptates : apud illos vero qui extra tumultum degunt, curarum abjectionem parit, et assiduas preces et mentis custodiam : aut apud monachos inter medias mundi turbas negligenter, nec secundum Deum viventes, labores quidem parit aut inutiles defatigationes et nugationes, aut inutiles sermones et stultiloquia et delectationes infames. . . . . apud illos qui extra hominum cœtus degunt, curarum abdicationem, et preces et mentis custodiam : his enim curæ sunt præcepta Christi et reditus seu conversio ad illum.

Σχόλιον ἄλλο.

Παρὰ μὲν τοῖς ἐν μέσῳ γεννᾷ πόνους καὶ ἀδολεσχίας, μᾶλλον δὲ ἀτιμίας ἡδύτητας· παρὰ δὲ τοῖς ἐκτὸς θορύβου, φροντίδων ἀπόθεσιν, καὶ εὐχὴν διηνεκῆ, καὶ νοὸς φυλακήν· ἥγουν παρὰ μὲν τοῖς ἐν μέσῳ κόσμου μοναχοῖς ἀμελῶς ζῶσι, καὶ μὴ κατὰ Θεὸν, πόνους μὲν γεννᾷ ἤτοι κόπους ματαίους, καὶ ἀδολεσχίας, ἤτοι λόγους ἀνωφελεῖς καὶ μωρολογίας, καὶ ἡδύτητας ἀτιμίας, ἥγουν ἀνηδομένους ὥσπερ ταῖς ἀτιμίαις (a)· παρὰ δὲ τοῖς ἐκτὸς θορύβου, ἀπόθεσιν φροντίδων καὶ εὐχὴν, καὶ νοὸς φυλακήν· ἔργον γὰρ τούτοις αἱ ἐντολαὶ τοῦ Χριστοῦ καὶ ἡ πρὸς αὐτὸν ἐπάνοδος.

Scholion 3.

Oblivio mandatorum Dei, et liberi arbitrii perversitas cor excæcant, et mentem stupidam efficiunt : sivec ontra, mentem excæcant, et cor insensile sive saxeum reddunt.

Σχόλιον γ'.

Λήθη τῶν θείων ἐντολῶν, καὶ παρατραπὴ τοῦ αὐτεξουσίου καρδίαν πεπωρωμένην, καὶ νοῦν ἀνάλγητον ἀπεργάζονται· ἢ τὸ ἔμπαλιν, νοῦν πεπωρωμένον, καὶ καρδίαν ἀνάλγητον.

Scholion 4.

Quæ aliis sunt ardua et difficilia, hæc probe exercitatis sunt gaudii et tripudii causa et ansa : utpote qui sibi facilitatem usu ipso in his pepererunt, et per ea ad perfectionem profecerunt. Imperfecti vero non sine labore talia attingunt, si tamen attingunt.

Σχόλιον δ'.

Τὰ ἑτέροις δυσχερῆ, τοῖς κατὰ πρᾶξιν εὐδοκιμοῦσιν ἀγαλλιάσεως, καὶ θυμηδίας αἴτια γίνονται· εὐχέρειαν ἐκ πείρας πρὸς ταῦτα κτωμένοις, καὶ εἰς προκοπὴν τελειότητος φθάνουσιν. Οἱ δ' ἔτι ἀτελεῖς κόπῳ ταῦτα μετέρχονται, κἂν μετέρχωνται.

Scholion 5.

Adeo, inquit, habuit familiarem memoriam mortis monachus hic Ægyptius, de quo memoravit, ut, etiam multorum dierum fame urgente, non potuerit tamen memoriam mortis ab se, quamvis vellet, repellere, imo vero hæc famem ipsam depulit.

Σχόλιον ε'.

Τοσαύτην, φησὶν, ἔσχεν ἔνοικον τὴν μνήμην τοῦ θανάτου ὁ ῥηθεὶς Αἰγύπτιος μοναχὸς, ὅτι καὶ ὑπὸ τῆς πολυημέρου πείνης ἀναγκαζόμενος, οὐκ ἠδυνήθη τὴν μνήμην τοῦ θανάτου ἐξ αὐτοῦ διῶξαι, καίπερ βουληθείς· ἀλλὰ μᾶλλον αὕτη τὴν πεῖναν ἐδίωξεν.

[11] Eccli. VII, 40.

(a) Locus corruptus aut mihi non intellectus. Græce ἀνηδομένοις ταῖς ἀτιμίαις, nisi legas ἥγουν μὴ ἀνηδομένοις ὥσπερ ταῖς ἀτιμίαις, sive non abhorrentes tanquam ab infamibus seu turpibus apud monachos. Nempe non abhorrentes, ἀνηδομένοις, non respondet Græcis παρὰ τοῖς μοναχοῖς· scribendum ergo ἀνηδομένοις.

Σχόλιον ς'.

Ὥσπερ, φησίν, ἀμέτρητον καὶ ἀκατάληπτον τὸ βάθος τῆς θαλάσσης, οὕτω καὶ τὸ τέλος ἁγνείας ἄφθαστον (a)· τουτέστι τέλος μὴ ἔχον παρὰ τοῖς ἐν αἰσθήσει καρδίας τὴν μνήμην τοῦ θανάτου κεκτημένοις. Ἀδύνατον γὰρ ἄνθρωπον ταπεινὸν καὶ διηνεκῶς τοῦ θανάτου μνημονεύοντα εἰπεῖν ποτε φαρισαϊκῶς, ὅτι Πέφθακα τὸ τέλος τῆς ἁγνείας, τουτέστι, τέλειος ἐγενόμην ἐν καθαρότητι· ὁ γὰρ τοιαῦτα λέγων οὐκ ἂν εἴη ταπεινός, καὶ συμβαίνει θαυμαστὸν γίνεσθαι, παρὰ μὲν τοῦ τολμήσαντος τοῦτο εἰπεῖν, οὐδ' ἄκροις δακτύλοις ἐφάπτεσθαι τὴν ἀπάθειαν· πάθος γὰρ ἡ κενοδοξία χαλεπώτερον· παρὰ δὲ τοῦ ταπεινοῦ ἐφάπτεσθαι μὲν εἰς κόρον· τῇ δὲ ταπεινώσει ἐλλείπεσθαι· ὥστε εἶναι, κἂν τοῖς δυσὶ, τῷ τε ταπεινῷ τῷ τε κενοδόξῳ τὴν ἁγνειαν, ἀκατάληπτον.

A

Scholion 6.

Quemadmodum, inquit, immensa et incomprehensa maris est altitudo, ita finis castæ mentis quem assequaris nullus est, hoc est, fine caret apud eos qui in sensu cordis mortis sibi memoriam **147** impresserunt. Fieri quippe nulla ratione potest, ut homo demissus, qui mortem assidua meditatione revolvit, cum Pharisæo unquam dicat: Finem castitatis attigi, hoc est, perfectam puritatem : nam talia qui dicit, nequaquam humilis est, et permirum videri potest hoc quidem ab eo dici posse. qui neque extremis digitis veram animi tranquillitatem attigerit (vana quippe gloria est inter graviora malorum affectuum vitia); ab humili vero dici, quod illam purissimam integritatem assecutus sit, est destitutum esse humilitate, adeo ut intelligi non possit, quomodo in duobus hisce perfecta castitas sit, in humili, inquam, et superbo, seu vanæ gloriæ studio dedito.

Σχόλιον ζ'.

Τὸ διὰ λόγων πληροφορεῖν τὴν εἰς πάντας ἀγάπην δύσκολόν ἐστι, καὶ λίαν ἀπόβλητον· τὸ δὲ δι' ἔργων, καὶ εὔκολον, καὶ ῥᾴδιον λίαν, τῷ σπεύδοντι κατορθῶσαι τὴν ἀρετήν· καὶ πῶς, ἄκουσον. Ἐπῆλθέ τις ὑβρίζων με, ἢ καὶ δαίρων με· ἐὰν οὖν λέγω, καίπερ αὐτὸν δυνάμενος ἀμύνασθαι, μὴ ἀμύνομαι, ἀλλὰ τοὐναντίον γονοπετήσω, παρακαλέσω, καταφιλήσω, χαρίσομαι οἷς δύναμαι, δῆλόν ἐστι πᾶσιν, ὡς ἐξ ἀγάπης ταῦτα πεποίηκα· καὶ τὸ μὲν δι' ἔργων οὕτως, τὸ δὲ διὰ λόγων πῶς ἂν γένοιτο. Ἐὰν γὰρ προσευχόμενος πᾶσιν, ἀγαπᾷν αὐτοὺς λέγω, κόλαξ φανοῦμαι, καὶ ἀνθρωπάρεσκος, ψευδεπίπλαστον ἐπιτηδεύμενος ἀρετὴν, καὶ δόξαν κενὴν ἐκ τούτου θηρώμενος. Παρακαλεῖ οὖν ὁ πατὴρ, μὴ διὰ λόγων σπουδάζειν τὴν ἀγάπην ἐπιδείκνυσθαι, ἀλλὰ δι' ἔργων, τὴν δὲ πρὸς Θεὸν ἀγάπην, δι' ἀμφοτέρων, καὶ πλεῖον διὰ λόγων. Σημεῖον γὰρ τῆς πρὸς αὐτὸν ἀγάπης, ἡ διηνεκὴς προσευχή. Οὕτως γὰρ ἂν ἀμφοτέρας κατορθώσῃς [κατορθώσεις] ἀρετάς· ἐπεὶ ἐὰν ἐκ λόγων μόνων τὴν πρὸς ἀνθρώπους ἀγάπην σπουδάζῃς ἐκτελεῖν, οὐδ' ὁ τῆς ζωῆς σου χρόνος ἅπας ἀρκέσει σοι πρὸς σχέσεις καὶ κατάνυξιν.

B

Scholion 7.

Verbis velle testatam erga omnes charitatem facere et grave et plane damnandum est; factis autem et admodum facile et promptum est illi qui ad veram virtutem exercendam aspirat : et quomodo (possit hoc fieri) audi. Venit aliquis qui me calumniatur, aut etiam verberat, quando ergo (apud me) dixero : Etsi me vindicare possum, non vindicabo tamen, sed potius contra, genua ponam, deprecabor, osculabor, gratificabor quibuscunque modis potero : certum et clarum omnibus est quod hæc ex charitate fecerim : et quidem factis charitas ita probatur. Alterum autem verbis quomodo fiet? Etenim si omnibus bene precando tester me ipsos diligere, adulator videbor, et qui hominibus studeam placere, quique fingam me virtutem colere, et inde vener popularem vanæ gloriæ auram. Hortatur ergo Climacus uti studeamus amorem nostrum erga alios non verbis, sed factis demonstrare : erga Deum vero utrisque et verbis et factis, verbis quidem amplius et prolixius; argumentum est enim charitatis erga Deum assidua precatio : sic enim utramque exercebis virtutem. Nam si amorem erga homines solis verbis declarare et exercere conaberis, non sufficiet tibi totius vitæ tuæ decursus ad affectus tuos et compunctionem comprobandam.

C

ΛΟΓΟΣ Ζ'.

Περὶ τοῦ χαροποιοῦ πένθους.

Πένθος κατὰ Θεόν ἐστι σκυθρωπότης ψυχῆς ἐνωδύνου καρδίας διάθεσις, ἀεὶ τὸ διψώμενον ἐμμανῶς ζητοῦσα· καὶ ἐν τῇ τούτου ἀποτυχίᾳ ἐμπόνως διώκουσα, καὶ ὄπισθεν τούτου ὁ δυνηρῶς ὀλολύζουσα. Ἢ οὕτως· πένθος ἐστὶ κέντρον χρύσεον ψυχῆς πάσης προσηλώσεως καὶ σχέσεως γυμνωθέν· καὶ ἐν ἐπισκοπῇ καρδίας ὑπὸ τῆς ὁσίας λύπης καταπηχθέν. Κατάνυξίς ἐστιν ἀέννaος συνειδότος βασανισμὸς, διὰ νοερᾶς ἐξαγορεύσεως τὴν ἀνάψυξιν τοῦ πυρὸς τῆς καρδίας πραγματευόμενος. Ἐξομολόγησίς ἐστι λήθη φύσεως, εἴπερ *ἐπελάθετό τις τοῦ φαγεῖν τὸν ἄρτον αὐτοῦ*. Μετάνοιά ἐστιν ἄθλιπτος στέρησις πά-

GRADUS VII.

148 *De luctu qui gaudium creat.*

Luctus ex Deo pius est quædam animæ tristitia et dolentis cordis affectio, quæ semper id quod ardentissime sitit, quærit; quo dum caret, laboriose id ipsum persequitur, et cum ululatu et lamentis a tergo dum fugit, inclamat. Aut luctus est aureus animæ stimulus, qui lugentem omni rerum humanarum sensu et affectu exuit et nudat, et ex luctu in vigiliam et custodiam cordis affigit. Compunctio (quam religiosi suo nomine appellant) est æterna conscientiæ afflictio, quæ per internam confessionem ardorem cordis grato refrigerio temperat. Confessio est oblivio naturæ, quando per eam

D

(a) Ἀπὸ σοῦ φθάνω ἄφθαστον, quod non possis assequi.

oblitus est comedere panem suum [11]. Pœnitentia est cæta omnis humanæ consolationis abdicatio. Proprium in beato luctu proficientis est, cibi temperantia, et oris silentium; eorum qui jam profecerunt victoria, iræ et injuriarum oblivio; perfectorum vero sensus vere humilis, contumeliarum sitis, afflictionum contrariarum naturæ voluntaria fames, peccantium non solum nulla condemnatio, sed supra quam natura fert, commiseratio. Approbandi primi; laudandi secundi; beati postremi qui esuriunt afflictiones, et sitiunt contumelias, quoniam ipsi saturabuntur cibo inexplebili. Qui compos luctus factus es, quanta potes vi retine illum: solet enim priusquam radices in animo egit, facile per turbas **149** curas corporis et voluptates, præsertim vero per immodicam loquacitatem, et scurrilem levitatem ac petulantiam, tanquam cera ab igne dissolvi et evanescere. Post baptisma potentior baptismate, si ita fas loqui, fons est lacrymarum. Baptisma quippe tantum præteritas peccatorum sordes repurgat, luctus autem noxas post baptismum contractas diluit. Baptisma quo infantes tincti sumus, omnes postea inquinavimus; per fontem autem lacrymarum (*a*) etiam baptismum suo nitori restituimus, quem si benignissimus Deus homini largitus non esset, rari admodum aut perpauci salutem consequerentur. Gemitus et afflictus mœrore animus clamant ad Dominum. Lacrymæ ex timore Domini profusæ supplici legatione funguntur: ex divina vero charitate redundantes preces nostras Deo gratas fuisse ostendunt. Si nihil adeo adjutat humilitatem, quam luctus animæ, certum est nihil adeo illi adversari quam risum. Quantum potes custodi beatam sanctæ compunctionis tristitiam quæ verum parit gaudium. Ne cesses te in ea exercere, quoad te Christo sublimem, et ab hujus vitæ contagiis intactum sistat. Nec desistas unquam quin tuis intimis sensibus imprimas, ac mente penetres ignis obscurissimi dehiscentem in immensum voraginem, crudeles carnifices, judicem immisericordem et inexorabilem, infinitum incendii inferni chaos, subterraneorum et formidabilium locorum, et hiatuum altissimorum angustissimos descensus, et horum omnium ac hujuscemodi malorum formas et imagines, ut ingenti terrore perculsa **150** anima nostra in luxuriam prona inflammetur incorrupta castitate, et lumine spirituali quod ex luctu suscipit, magis illustretur, quam quovis igne quantumvis claros de se radios spargente. Dum das operam precibus, sta coram judice tremebundus non secus ac reus, ut humili corporis statu foris, et animi habitu intus justi judicis iram exstinguas. Non enim potest ille animam, tanquam viduam dolenter coram se stantem, et importune, quamvis ipse infatigabilis, precibus fatigantem despicere. Qui luctu lacrymarum interiore tangitur, huic qui-

σης παρακλήσεως σωματικῆς. Τῶν μὲν προκοπτόντων ἔτι ἐν τῷ μακαρίῳ πένθει ἰδίωμα ἡ ἐγκράτεια καὶ σιωπὴ τῶν χειλέων· τῶν δὲ προκοψάντων, ἀοργησία, καὶ ἀμνησικακία· τῶν τελειωθέντων ταπεινοφροσύνη, ἀτιμιῶν δίψα, θλίψεων ἀκουσίων πεῖνα ἐκούσιος, ἀκατακρισία ἁμαρτανόντων, (1) συμπάθεια ὑπὲρ δύναμιν· ἀποδεκτέοι οἱ πρῶτοι, ἀξιεπαίνετοι οἱ δεύτεροι· μακάριοι δὲ οἱ πεινῶντες θλίψιν, καὶ διψῶντες ἀτιμίαν, ὅτι αὐτοὶ χορεσθήσονται τροφῆς ἀχορέστου. Κρατῶν πένθους πάσῃ ἰσχύϊ κράτει· πρὸ γὰρ ποιήσεως εὐαφαίρετον λίαν εἶναι πέφυκε· καὶ ἀπὸ θορύβων καὶ φροντίδων σωματικῶν καὶ τρυφῆς, καὶ μάλιστα (2) πολυλογίας καὶ εὐτραπελείας ὥσπερ κηρὸς ἀπὸ πυρὸς εὐχερῶς διαλυόμενον. (3) Μείζων τοῦ βαπτίσματος μετὰ τὸ βάπτισμα τῶν δακρύων πηγὴ καθέστηκεν, εἰ καὶ τολμηρόν ἐστί πως τὸ λεγόμενον· διότι ἐκεῖνο μὲν τῶν προγεγονότων ἐν ἡμῖν κακῶν ἐστι καθαρτήριον· τοῦτο δὲ τῶν μεταγεγονότων, κἀκεῖνο μὲν νήπιοι λαμβάνοντες, πάντες, ἐμολύναμεν· διὰ τούτου δὲ κἀκεῖνο ἀνακαθαίρομεν· ὃ εἰ μὴ δεδώρητο φιλανθρώπως ἐκ Θεοῦ τοῖς ἀνθρώποις, σπάνιοι ὄντως καὶ δυσεύρετοι οἱ σωζόμενοι. Οἱ μὲν στεναγμοί, καὶ ἡ κατήφεια βοῶσι πρὸς Κύριον. Τὰ δὲ ἐκ φόβου δάκρυα πρεσβεύουσι· τὰ δὲ τῆς παναγίας ἀγάπης, τὴν ἱκεσίαν προσδεχθεῖσαν ἡμῖν ἐμφανίζουσιν. Εἰ οὐδὲν (4) οὕτω τῇ ταπεινοφροσύνῃ ὡς τὸ πένθος συνέρχεται, οὐδὲν πάντως αὐτῇ ὡς ὁ (5) γέλως ἀνθέστηκεν. Κατέχων κάτεχε τὴν μακαρίαν τῆς ὁσίας κατανύξεως χαρμολύπην· καὶ μὴ παύσῃ τῆς ἐν αὐτῇ ἐργασίας, ἄχρις οὗ μετάρσιον ἐκ τῶν ἐντεῦθεν τῷ Χριστῷ καθαρὸν παραστήσῃ σε· ἀνατυπῶν ἐν ἑαυτῷ μὴ παύσῃ καὶ διερευνῶν πυρὸς σκοτεινοῦ ἄβυσσον· καὶ ἀνελεεῖς ὑπηρέτας, ἀσυμπαθῆ κριτὴν καὶ ἀσυγχώρητον, χάος τε ἀπέρατον καταχθονίου φλογὸς, καὶ ὑπογείων, καὶ φοβερῶν τόπων, καὶ χασμάτων τεθλιμμένας καταβάσεις, καὶ τῶν τοιούτων πάντων εἰκόνας· ὅπως τῷ πολλῷ τρόμῳ στυφθεῖσα ἡ ἐνυπάρχουσα ἡμῶν τῇ ψυχῇ λαγνεία συναφθῇ τῇ ἀφθάρτῳ ἁγνείᾳ καὶ φωτὸς ἄϋλου πυρὸς παντὸς πλέον ἀποστίλβοντος ἐν αὐτῇ δέξηται· [πένθους δεξαμένη] τὴν ἐμφάνειαν· στῆθι ἐν προσευχῆς δεήσει σύντρομος, ὡς κατάδικος περιστάμενος δικαστῇ, ἵνα τῷ ἐκτὸς εἴδει, καὶ τῷ ἐντὸς ἤθει κατασβέσῃς θυμὸν δικαίου κριτοῦ. Οὐ γὰρ φέρει ὑπερορᾷν ψυχὴν χήραν κατωδύνως αὐτῷ περισταμένην, καὶ κόπους τῷ ἀκόπῳ παρέχουσαν. Εἴ τις δάκρυον ψυχικὸν ἐκτήσατο, τούτῳ πᾶς τόπος εἰς πένθος ἁρμόδιος. Εἰ δὲ μόνον διὰ τοῦ ἐκτὸς ἐργάζεται, τοὺς τόπους καὶ τοὺς τρόπους διακρίνων οὐ μὴ παύσεται. Ὡς ὁ κεκρυμμένος θησαυρὸς, τοῦ ἐπ' ἀγορᾶς προκειμένου ἀσυλώτερος καθέστηκεν, οὕτω καὶ τὰ προλεχθέντα νοήσωμεν. Μὴ γίνου ὡσεὶ νεκροὺς θάψαντες, ποτὲ μὲν ἐπ' αὐτοῖς θρηνοῦντες, ποτὲ δὲ δι' αὐτοὺς μεθυσκόμενοι· ἀλλὰ γενοῦ ὡς οἱ ἐν μετάλλοις δέσμιοι, καθ' ὥραν ὑπὸ δημίων μαστιζόμενοι· ὁ ποτὲ μὲν πενθῶν, ποτὲ δὲ τρυφῶν, καὶ γελειάζων, ὅμοιός ἐστι τῷ μετὰ ἄρτου

[11] Psal. ci, 5.

(*a*) Pœnitentiæ baptismum.

τὸν κύνα τῆς φιληδονίας λιθάζοντι, ὃς τῷ μὲν σχήματι τοῦτον διώκει· τῷ δὲ πράγματι παρεδρεύειν τοῦτον προτρέπεται. Γίνου σύννους ἀφιλένδεικτος, πρὸς τὴν ἑαυτοῦ καρδίαν ἐξεστηκώς. Δεδοίκασι γὰρ σύννοιαν οἱ δαίμονες, ὡς οἱ κλέπται τοὺς κύνας. Οὐκ ἔστιν ἡμῖν, ὦ οὗτοι, ἐνταῦθα ἡ τοῦ γάμου κλῆσις, οὐκ ἔστιν, οὔκουν· πάντως δὲ εἰς πένθος ἑαυτῶν ὁ καλέσας ἡμᾶς ἐνταῦθα ἐκάλεσε. Τινὲς (8) δακρύοντες, μηδὲν τὸ παράπαν ἐν τῷ καιρῷ τῷ μακαρίῳ λογίζεσθαι ἑαυτοὺς ἀκαίρως βιάζονται, μὴ λογιζόμενοι, ὅτι δάκρυον ἀνέννοιον ἀλόγου φύσεως ἴδιον, καὶ οὐ λογικῆς· (9) γέννημα ἐννοιῶν δάκρυον· πατὴρ δὲ ἐννοίας λογισμὸς καὶ νοῦς. Γινέσθω σοι ἡ ἐν τῇ κλίνῃ σου ἀνάκλισις τῆς ἐν τῷ τάφῳ σου κατακλίσεως τύπος, καὶ ἧττον ὑπνώσεις. Καὶ αὐτή σοι ἡ τῆς τραπέζης ἀπόλαυσις, τῆς τῶν σκωλήκων ἐκείνων ὀδυνηρᾶς τραπέζης γενέσθω ἀνάμνησις· καὶ ἧττον τρυφήσεις· μηδὲ τοῦ ποτοῦ τοῦ ὕδατος μεταλαμβάνων τῆς δίψης τῆς φλογὸς ἐκείνης ἀμνημονήσεις· καὶ πάντως βιάσῃ τὴν φύσιν. Ἐπὶ δὲ τῇ τοῦ ἐπιστατοῦντος ἡμῖν ἐντίμῳ ἀτιμίᾳ καὶ ἐπιπλήξει, καὶ ἐπιτιμίᾳ τῆς τοῦ κριτοῦ φοβερᾶς ἐννοηθῶμεν ἀποφάσεως· καὶ πάντως τὴν ἐπισπειρομένην ἄλογον λύπην καὶ πικρίαν πραότητι καὶ ὑπομονῇ, ὡς ἐν διστόμῳ μαχαίρᾳ κατασφάξομεν. *Χρόνῳ σπαρίζεται θάλασσα*, ὥς φησιν ὁ Ἰώβ, καὶ χρόνῳ καὶ ὑπομονῇ κατὰ μικρὸν τὰ εἰρημένα ἐν ἡμῖν προσγίνεται καὶ τελειοῦται. Πυρὸς αἰωνίου μνήμη καθ' ἑσπέραν συγκοιμηθήτω σοι, καὶ συναναστήτω σοι· καὶ οὐ μή σου ῥᾳθυμία ἐν καιρῷ ψαλμῳδίας κυριεύσῃ ποτέ. Πεισάτω σε πρὸς ἐργασίαν πένθους, κἂν αὐτό σου τὸ ἔνδυμα. Πάντες γὰρ οἱ νεκροὺς θρηνοῦντες, μέλανα περιβάλλονται. Εἰ μὲν οὐ πενθεῖς, διὰ τοῦτο πένθει· εἰ δὲ πενθεῖς, διὰ τοῦτο θρήνει μᾶλλον, ὅτι ἐξ ἀπόνου τάξεως εἰς ἐπίπονον ἑαυτὸν κατήγαγες διὰ τῶν σῶν πταισμάτων· κρίνεται πάντως παρὰ τῷ καλῷ καὶ δικαίῳ ἡμῶν κριτῇ, ὡς ἐν ἅπασι, καὶ ἐν τοῖς δάκρυσι ἡ τῆς φύσεως δύναμις. Εἶδον γὰρ μικρὰς σταγόνας δίκην αἵματος μετὰ πόνου προχεομένας· καὶ εἶδον πηγὰς ἀπόνως προχεομένας, καίπερ ἔγωγε κατὰ τὸν πόνον μᾶλλον, καὶ οὐ κατὰ τὸ δάκρυον τοὺς κάμνοντας ἔκρινα· οἶμαι δὲ καὶ ὁ Θεός. Οὐχ (a) ἁρμόζει πενθοῦσι θεολογία· διαλύειν γὰρ αὐτῶν τὸ πένθος πέφυκεν. Ὁ μὲν γὰρ τῷ ἐπὶ θρόνου καθημένῳ διδασκαλικῷ ἔοικεν· ὁ δὲ, τῷ ἐπὶ κοπρίας καὶ σάκκου διατρίβοντι. Καὶ τοῦτό ἐστιν, ὡς οἶμαι, ὅπερ καὶ Δαυὶδ, εἰ καὶ διδάσκαλος καὶ σοφὸς ὑπῆρχεν, ἡνίκα ἐπένθει, πρὸς τοὺς ἐρωτῶντας ἀπεκρίνατο· *Πῶς ᾄσω τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας*; ἤγουν, ἐμπαθείας. Καὶ ἐπὶ τῆς κτίσεως, καὶ ἐπὶ τῆς κατανύξεώς ἐστιν (10) αὐτοκίνητος καὶ ἑτεροκίνητος. Ὅταν ἡ ψυχὴ, καὶ ὑμῶν μὴ σπευσάντων, μηδὲ ἐπιτηδευσάντων δακρυώδης καὶ κάθυγρος καὶ ἠπία γένηται, δράμωμεν, ὁ γὰρ Κύριος ἀκλήτως ἐλήλυθε· σπόγγον ἡμῖν διδοὺς λύπης θεοφιλοῦς, καὶ ὕδωρ ἀναψύξεως δακρύων θεοσεβῶν πρὸς τὴν ἐξάλειψιν τῶν ἐν τῷ

A vis locus est ad luctum opportunus. Cui lacrymæ ex oculis duntaxat corporis fluunt, is non desinet rationem locorum, et morum hominum observare. Quemadmodum thesaurus reconditus minus furto patet, quam is qui in publico foro exstat : ita perinde de luctu, et lacrymis occultis et apertis cogitandum est. Cave ne imiteris eos qui mortuos sepeliunt, qui nunc lugent defunctos, nunc propter illos ad ebrietatem se ingurgitant, sed cogita te in latomiis inter vinctos degere, qui singulis horis ab lictoribus flagris cæduntur. Qui nunc quidem luget, nunc vero se in delicias et risum diffundit, perinde facit atque is, qui canem lasciviente pro lapide, pane petit, qui illum in speciem quidem abigit et persequitur, reipsa vero ad se B invitat et advocat. Attende qui luges, et sis omnis ostentationis hostis, atque totus in cordis tui custodiam abreptus. Refugiunt enim attentos, sibique intentos cacodæmones, non secus atquē nocturni grassatores timent canes. O amici, non sumus huc ad nuptias vocati, **151** non sumus, sed omnino ad lugendos nos ipsos huc a Deo vocati sumus. Quidam dum in lacrymas eunt, in illo beato lacrymarum statu omnem abs se cogitationem pervim excludunt, ignari lacrymas sine sensu cogitationum profusas (crocodilorum) et animalium ratione carentium proprias esse, non hominum. Lacrymarum fons est cogitatio, cogitationum parens, mens et ratio. Quando vadis cubitum, sit tibi ipse cubitus in lectulo tuo, forma habitus corporis in sepulcro ja- C centis, et minus dormies. Cum ad mensam accumbis, sit tibi ipsa contestura acerbæ illius mensæ recordatio, cum vermes in sepulcro depascentur artus tuos, et minus voluptatis capies. Neque cum aquam gustabis, oblivisceris sitis illius quam damnati in flamma patiuntur, et omnino naturæ vim inferes. In contumelia autem plena honoris, et objurgatione, et irrogata a præside pœna recogitemus tremendam illam judicis sententiam (Ite, maledicti [13]), et prorsus infusam animo præter rationem mœstitiam, tanquam ancipiti machæra mactatam per mansuetudinem, et patientiam delebimus. *Tempore rarescit mare*, uti Job testatur [14]; mora item seu tempore per patientiam sensim illa, D quæ dicta sunt in nobis exsistunt, et perficiuntur. Sempiterni inferorum incendii memoria tecum vesperi proficiscatur cubitum, tecumque mane consurgat, et nunquam te somnolentia, et pigritia tempore precum et psalmorum recitandorum occupabit. Cultus ipse corporis et vestis tua religiosa te ad luctum excitet. **152** Omnes quippe qui funera lugent, pullati incedunt. Quod si lugere non potes, hoc ipsum luge ; si luges, hoc magis luge, quod ex statu quieto ad ærumnosum hunc per tua peccata teipsum dejeceris. Respicit omnino optimus et æquissimus judex noster, ut in cæteris omnibus,

[13] Matth. xxv, 41, [14] Job, xiv, 11.

(a) Hunc locum perperam intellexit Gerson; omissa enim negatione contrarium auctori sensum contra mentem ipsius protulit.

tia et in luctu et lacrymis, facultatem naturæ nostræ. Vidi perexiguas lacrymarum guttas laboriose instar sanguinis protrusas, et vidi fontes lacrymarum sine labore profusos, et pronuntiavi secundum laborantem magis, quam profusius lacrymantem, nec aliter ab Deo existimo judicari. Non convenit lugentibus de rebus altis et theologicis tractatio seu cogitatio, exstinguit enim luctum. Nam qui theologica cogitat, similis est illi qui in cathedra cum pompa, et docendi auctoritate residet: qui autem luget, illi, qui in sterquilinio, cilicio, et sacco sordibus versatur. Et hoc est, uti reor, quod David quantumvis cætera doctus, et sapiens interrogantibus respondit, cum lugeret: *Quomodo cantabo canticum Domini in terra aliena* [15]? hoc est, vitiis obnoxia. Quemadmodum in rerum natura, alia per se moventur, alia ab aliis impelluntur; ita lacrymæ ex compunctione vel sponte profluunt, vel studio et labore eliciuntur. Quando anima nostra, nobis non sollicitis neque allaborantibus, per se in lacrymas et luctum resoluta mitescit, tum vero currendum est: Dominus enim invocatus [non vocatus] advenit, ut spongiam nobis gratiæ Deo tristitiæ porrigat, et fontem aperiat refrigerii, lacrymarum sanctarum ad delendum **153** chirographum peccatorum nostrorum; custodi hunc tanquam pupillam oculi, quoad recedat; magna enim est vis illius, quæ longe vincit illum, quem labore et studio nostro adepti sumus. Nequaquam ille veram luctus gratiam assecutus est, qui luget quando vult, sed qui luget quæ vult; nec tantum quæ vult, sed qui luget ut Deus vult. Sæpe luctui vero miscentur invisæ Deo vanæ gloriæ lacrymæ, quod solerter et pie observabimus et intelligemus, quando nos lacrymari, et tamen vitia non emendare senserimus. Vera compunctio est dolor animæ omni carens animi elatione, qui nullam sibi præstat consolationem, sed omnibus momentis migrationem e vita sibi ob oculos proponit, et consolationem a Deo qui humiles consolatur monachos, veluti affusam frigidam exspectant. Quicunque verum ex cordis sensu luctum possederunt, illi vitam quoque suam, tanquam ærumnosam quamdam omnium lacrymarum et dolorum conciliatricem oderunt, corpusque suum velut hostem aversantur. Quando in iis qui sibi vere secundum Deum lugere videntur, iram et superbiam notavemus, horum lacrymas nequaquam sinceras, neque ex vera compunctione profectas cogitabimus. *Quæ enim communicatio lucis ad tenebras* [16]? Vera compunctio consolationem, falsa et spuria elationem animi parit. Quemadmodum ignis stipulam depascitur, ita lacrymæ sinceræ quidquid sordium vel apparet vel non apparet, abluunt et delent. Ratio docendi et disputandi de lacrymis plerisque Patrum perobscura, et perdifficilis **154** esse videtur, præ-

A χάρτῃ πταισμάτων, φύλαξον ταύτην ὡς κόρην ὀφθαλμοῦ ἄχρις οὗ ὑποχωρήσῃ· πολλὴ γὰρ ἡ ἰσχὺς τούτου, ὑπὲρ τὴν τοῦ ἐξ ἡμετέρας σπουδῆς καὶ ἐπινοίας προσγινομένου· οὐχ ὅτε (11) βούλεται ὁ πενθῶν, οὗτος κάλλος πέφθακε πένθους· ἀλλ' ὁ ἐν οἷς ἐὰν βούληται· καὶ οὐδὲ ἐν οἷς ἂν βούληται, ἀλλ' ὁ καθὼς Θεὸς βούλεται. Πολλάκις τῷ κατὰ Θεὸν πένθει τὸ τῆς κενοδοξίας ἀχαρίτωτον (*a*) συμπλέκεται δάκρυον. Τοῦτο δὲ δοκίμως καὶ εὐσεβῶς ἐπιγνωσόμεθα, ὁπόταν πενθοῦντας καὶ πονηρευομένους ἑαυτοὺς ἴδωμεν. Κατάνυξις κυρία ἐστὶν, ἀμετεώριστος ὀδύνη ψυχῆς μηδεμίαν ἑαυτῇ παρηγορίαν παρέχουσα, μόνην δὲ τὴν ἑαυτῆς ἀνάλυσιν καθ' ὥραν φανταζομένη, καὶ τὴν τοῦ (12) παρακαλοῦντος Θεοῦ τοὺς ταπεινοὺς μοναχοὺς παράκλησιν ὡς ὕδωρ ψυχρὸν προσδεχομένη.

B Ὅσοι ἐν αἰσθήσει καρδίας πένθος ἐκτήσαντο, οὗτοι καὶ αὐτὴν τὴν ἑαυτῶν ζωὴν ἐμίσησαν· τὸ δὲ ἑαυτῶν σῶμα, ὡς ἐχθρὸν ἀπεστράφησαν. Ὁπόταν ἐν τοῖς κατὰ Θεὸν πενθεῖν δοκοῦσιν ὀργὴν καὶ ὑπερηφανίαν θεασώμεθα, τούτων τὰ δάκρυα ἐναντία λογισώμεθα· *Ποία γὰρ κοινωνία φωτὶ πρὸς σκότος;* Γέννημα μὲν νενοθευμένης κατανύξεως, οἴησις, ἐπαινουμένης δὲ παράκλησις· ὥσπερ ἀναιρετικὸν τὸ πῦρ καλάμης, οὕτω τὸ δάκρυον τὸ ἀγνὸν παντὸς φαινομένου, καὶ νοουμένου ῥύπου. Ὁ περὶ τῶν δακρύων λόγος παρὰ πολλοῖς τῶν Πατέρων σκοτεινός τις καὶ δυσεύρετος, ἐν τοῖς εἰσαγωγικοῖς μάλιστα εἶναι ὁρίζεται, καὶ ἐκ πολλῶν καὶ διαφόρων τρόπων ταῦτα τίκτεσθαι. Λέγω δὴ ἐκ φύσεως, ἐκ Θεοῦ, ἐκ θλίψεως ἐναντίας·

C ἐξ ἐπαινουμένης, ἐκ κενοδοξίας, ἐκ πορνείας, ἐξ ἀγάπης, ἐκ μνήμης θανάτου, καὶ ἑτέρων πολλῶν· τοὺς δὲ τούτων ἁπάντων τρόπους φόβῳ Θεοῦ γυμνάσαντες, τὰ τῆς ἡμετέρας ἀναλύσεως καθαρὰ καὶ ἄδολα ἑαυτοῖς περιποιησώμεθα δάκρυα· οὐ γάρ ἐστιν ἐν αὐτοῖς κλοπὴ ἢ οἴησις. Κάθαρσις δὲ μᾶλλον καὶ ἀγάπης τῆς εἰς Θεὸν προσκοπὴ, καὶ ἁμαρτίας ἔκπλυσις, καὶ παθῶν ἀπάθεια. Τὸ μὲν γὰρ ἐξ ἀγαθῶν ἄρξασθαι τοῦ πένθους δακρύων, καὶ εἰς πονηρὰ καταλῆξαι, οὐ θαῦμα. Τὸ δὲ ἐξ ἐναντίων ἢ φυσικῶν εἰς πνευματικὰ μετεγκεντρίσαι ἀξιέπαινον· τοῦτο δὲ τὸ πρόβλημα οἱ περὶ τὴν κενοδοξίαν ἐπιῤῥεπῶς ἔχοντες, σαφῶς ἐπίστανται. Μὴ πίστευε σαῖς πηγαῖς πρὸ τελείας καθάρσεως· οὐ γὰρ ἔχει πίστιν οἶνος εὐθέως ἐκ τῶν ληνῶν ἐγκλειόμενος. Ὅτι μὲν ἅπαντα τὰ κατὰ Θεὸν

D ἡμῶν δάκρυα ὠφέλημα, ὁ ἀντιλέγων οὐδείς· τίς δὲ ἐκ τούτων προσγινομένη ὄνησις, ἐν καιρῷ τῆς ἐξόδου γνωσόμεθα. Ὅστις ἐν πένθει διηνεκεῖ κατὰ Θεὸν πορεύεται, οὗτος (13) καθ' ἡμέραν ἑορτάζων οὐ παύεται. Ὃς σωματικῶς ἑορτάζων οὐ παύεται, τοῦτον πένθος αἰώνιον μέλλει διαδέχεσθαι. Οὐκ ἔστι καταδίκοις ἐν φυλακῇ χαρμονὴ, καὶ οὐκ ἔστι μοναχοῖς ἀληθινοῖς ἐπὶ γῆς ἑορτή. Καὶ ἴσως διὰ τοῦτο ἐκεῖνος ὁ καλλίπενθος στενάζων ἔλεγεν· *Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου*, τοῦ ἀγαλλιασθῆναι λοιπὸν ἐν τῷ ἀῤῥήτῳ φωτί σου. Γενοῦ ὡς βασιλεὺς ἐν τῇ σῇ καρδίᾳ, ὑψηλὸς ἐν ταπεινώσει καθήμενος, καὶ κε-

[15] Psal. cxxxvi, 4. [16] II Cor. vi, 14.

(*a*) Ἀχαρίτωτον ab ἀχάριτος, ἀχαριτώτερος, ἀχαριτώτατος, et per syncopen ἀχαρίτωτος, sicut· πρῶτος et alia. Dicitur ἀχάριττος, et ἀχάριτος.

(*a*) Non fuisse Romæ, sed Romæ sanete vixisse est aliquid. Vestigia Christi in terris relicta plurimos trahunt Hierosolymam, ut Lauretum, S. Jacobus Compostellanus; in Germania, Œtinga Monss. eremus Helvetiorum S. Seb. Ebersperge, etc.

(*b*) Ἀοργησία Latinis *inirascentia*. De ea scripsit Plutarchus singularem libellum. Est politicis scriptoribus, Latinis et Græcis, in vitio; Christianis summa virtus, ut humilitas.

κίνησις μύλου ὀξεῖα ἐν μιᾷ ῥοπῇ ὑπὲρ τὴν τοῦ ἑτέρου ἡμέραν, σῖτον ψυχῆς, καὶ καρπὸν συντρίβουσα καὶ ἐξαφανίζουσα· διὸ προσεκτέον νουνεχῶς. Ἔστι φλογὸς ἕξαψις συντόμως ὑπὸ σφοδροῦ πνεύματος ἀναπτομένη, καὶ ὑπὲρ φλόγα χρονίζουσαν τὸν ἀγρὸν τῆς καρδίας ἀνεμπιπρῶσα, καὶ ἀπολλύουσα. Οὐδὲ τοῦτο ἡμᾶς λανθάνειν ὀφείλει, ὦ φίλοι, ὅτι περ ἐν καιρῷ οἱ πονηροὶ δαίμονες ἑαυτοὺς συντόμως ὑποστέλλουσιν, ἵν' ὡς μικρῶν τῶν μεγάλων παθῶν ἀμελήσαντες, ἀνίατα λοιπὸν νοσήσωμεν. Ὥσπερ λίθος ὀξύγωνος, καὶ ἀπόκροτος ἑτέροις λίθοις συγκρουόμενος καὶ συνδαιρόμενος, ἅπασαν αὐτοῦ τὴν ὀξύγωνον καὶ ἀπόκροτον καὶ στερρὰν διάπλασιν διαθρύπτεται, καὶ στρογγυλοειδῆ ἀπεργάζεται· οὕτως καὶ ψυχὴ ὀξεῖα καὶ ἀπότομος συμμιγνυμένη καὶ συνδιάγουσα σκληροῖς τισι, δυεῖν θάτερον ὑπομένει· ἢ ἐκ τῆς ὑπομονῆς τὸ ἴδιον τραῦμα θεραπεύσει, ἢ ὑποχωρήσασα τὴν ἰδίαν πάντως ἀσθένειαν γνωρίσει; τῆς φυγῆς τῆς δειλάνδρου ταύτην αὐτῇ, ὥσπερ ἐσόπτρον φανερωσάσης. Θυμώδης ἐστὶν ἐπιληπτικὸς ἑκούσιος, ἐξ ἀκουσίου προλήψεως, καταῤῥηγνύμενος καὶ ῥασσόμενος. Οὐδὲν οὕτω τοῖς μετανοοῦσιν ἀνοίκειον ὡς θυμὸς ταρασσόμενος, εἴπερ ἡ ἐπιστροφὴ πολλῆς δεῖται τῆς ταπεινώσεως. Ὁ δὲ πάσης οἰήσεως ὑπάρχει τεκμήριον. Εἰ τοῦτο (4) ὅρος ἀκροτάτης πραότητος, τὸ καὶ παρόντος τοῦ ἐρεθίζοντος γαληνῶς τῇ καρδίᾳ καὶ ἀγαπητικῶς πρὸς αὐτὸν διακεῖσθαι, πάντως τοῦτο ὅρος ἀκροτάτου θυμοῦ, τὸ καὶ καθ' ἑαυτὸν διάγοντα μόνον, λόγοις καὶ σχήμασι πρὸς τὸν λυπήσαντα διαμάχεσθαι, καὶ θηριοῦσθαι. Εἰ τὸ πνεῦμα τὸ ἅγιον εἰρήνη ψυχῆς καὶ ὁρίζεται, καὶ ὑπάρχει· ἡ δὲ ὀργή, ταραχὴ καρδίας καὶ ὑπάρχει καὶ λέγεται. Οὐκ οὖν οὐδὲν οὕτω τὴν αὐτοῦ παρουσίαν ἐν ἡμῖν, ὡς θυμὸς ὑποτειχίζειν πέφυκε.

A pravatio, et deformitas animi. Ut ad solis exortum fugiunt tenebræ, ita ad odorem humilitatis omnis ex animo evanescit amaritudo, et exstinguitur iracundia. Quidam cum ex ira facile commoveantur, nullum huic morbo quærunt remedium et curam, dum infelices non meminerunt illud dicentis : *Momentum furoris ejus, ruina est illi* [31]. Celer catilli seu molæ in orbem motus uno momento plus fumenti animæ et fructus conterit et perdit, quam tardus alius toto die. Quapropter magnopere et solerter attendendum est. Est flammæ incendium quod vehementi turbine ventorum auctum, brevi totum cordis agrum incendit et perdit, quem lentus alias ignis diu non absumpsisset. Sed et hoc vos non celarim, amici, consuesse improbos spiritus ad tempus se per astum a tentatione opportune subducere, ut sensim magna vitia tanquam parva negligamus, et ita in morbos animi immedicabiles incidamus. Uti saxum acutis angulis asperum, si cum aliis saxis confligat collidaturque, omnem salebrosam asperitatem, acutamque duritiem attritu amittit, et rotundam efficitur, **172** ita animus asper et biliosus, si cum asperis ingeniis vivat degatque, ex duobus alterum necessario perpetitur : aut per patientiam vulnus suum curabit, aut si injuriis fractus cedat, suam ipse imbecillitatem agnoscet, quam imbellis fuga illi quasi in speculo ostendet. Furiosæ iræ obnoxius sua voluntate est epilepticus, quamvis invitus morbo occupetur, elidituir tamen, rumpitur et cadit. Nihil tam inimicum est pœnitentibus quam animi furor qui mentem perturbat, quando vitare ligiosa magnam desiderat submissionem. Furor autem est magnæ [summæ] superbiæ indicium. Si hoc definitio et signum est summæ mansuetudinis cum quis præsente eo qui nos provocat ad iram, sereno est corde, et amanter erga eumdem afficitur; certe extremi furoris est argumentum, cum quis apud seipsum seorsum, et solum verbis, et gestibus cum absente a quo molestia est affectus, depugnat et efferatur. Si Spiritus sanctus pax animæ, et dicitur et est; ira vero, cordis perturbatio, et est et appellatur; necessario sequitur nihil . . . . adeo Spiritus sancti præsentiæ repugnare (*a*) aquam iram.

Πάμπολλα καὶ χαλεπὰ αὐτοῦ τὰ γεννήματα γνωρίζοντες· ἕνα καὶ μόνον ἀκούσιον ἀπόγονον, εἰ καὶ νόθον, ὅμως ὠφέλημον ἐπεγνώκαμεν. Εἶδον (5) μανικῶς ἐξαφθέντας, καὶ τὴν χρονίαν καὶ ἐναπόθετον μνησικακίαν ἐμέσαντας, καὶ διὰ πάθους, πάθους ἀπαλλαγέντας· περὶ τῆς χρονίου λύπης ἢ μετάνοιαν, ἢ πληροφορίαν ἐκ τοῦ λελυπηκότος κομισαμένους. Καὶ εἶδον τὸ (6) δοκεῖν μακροθυμήσαντας ἀλόγως, καὶ ἐκ τῆς σιωπῆς μνησικακίαν ἔνδον ἀποθεμένους, καὶ τῶν μαινομένων μᾶλλον αὐτοὺς ἐταλάνισα, ὡς διὰ μέλανος τὸ τῆς περιστερᾶς λευκὸν ἀφανίσαντας. Πολλῆς ἡμῖν πρὸς τὸν ὄφιν δεῖ τοῦτον τῆς ἐπιμελείας· τὴν γὰρ φύσιν καὶ αὐτὸς, ὡς καὶ ὁ τῶν σωμάτων συνεργοῦσαν αὐτῷ, κέκτηται. Εἶδον ὀργισθέντας, καὶ ἐκ πικρίας τὴν τροφὴν ἀπωσαμένους, καὶ μέντοι ἰὸν ἰῷ διὰ τῆς ἀλόγου ἐγκρατείας προσελάβοντο. Καὶ εἶδον ἑτέρους ἀφορμῆς ὅθεν εὐλόγου τοῦ θυμοῦ ὀρεξαμένους, καὶ γαστριμαργίᾳ ἑαυτοὺς μεθοδεύσαντας, καὶ ἐκ βοθύ-

Copiosa et improba soboles est iræ, sed unus nepos quamvis spurius, et licet nolens, utilis tamen nobis. Animadverti enim nonnullos summo furore inflammatos diuturnam et alte repositam injuriæ memoriam revomuisse, et per vitium a vitio liberatos : **173** cum is a quo offensi erant, vel facti sui se pœnitere diceret, vel illis satisfaceret, unde ab diuturna animi molestia sunt curati. Vidi alios, qui in speciem rationi prorsus adversam simulabant se per silentium patienter ferre injuriam, cujus tamen memoriam penitus in animo intus condiderant, quos equidem palam furentibus deteriores judicavi, ut qui columbæ candorem atro odii colore exstinxerint. Magna adversus hunc serpentem a nobis cura adhibenda est. Habet enim et ipse non secus atque luxuriæ spiritus corporis patrocinantem sibi naturam. Notavi etiam quosdam ira succensos ex animi indignatione a cibo abstinuisse,

[31] Job. v, 2.

(*a*) Præsentiam arcere, et præpedire Ὑποτειχίζειν, viam præludere.

qui ob intempestivam abstinentiam venenum veneno affuderunt. Alios quoque observavi (his contrarios) tanquam justa ira commotos sese gulæ dedidisse, adeoque ex fovea in præcipitium incidisse. Denique spectavi alios prudentiores his qui tanquam probi medici utrumque temperantes veluti media via incesserunt, magnasque utilitates ex hoc temperamento retulerunt. Est cum concinna musica furorem optime sedat. Est cum inconcinnæ et intempestivæ miscetur voluptas : optime hac utemur, si temporum rationem habuerimus. Cum olim ad cellas quorumdam anachoretarum ob negotia quædam expedienda foris sessitarem, audivi illos intus ex animi acerbitate et furore ritu perdicum apud se ipsos perstrepentes et corrixantes, et in faciem ejus a quo læsi erant, tanquam præsentis insilientes, **174** quibus ego pie suasi, ut e solitudine ad monasteria migrarent, ne ex hominibus in dæmones verterentur. Quos contra videbam molles et gulæ dedītos, blandosque simul et palpatores, nimiumque aliis familiares, comptulos et elegantiæ pulchritudinisque studiosos et cultos, his auctor fui ut solitudinem peterent, tanquam inimicam luxuriæ et gulæ, ut quas tanquam novacula amputat, ne per hæc vitia ex homine in bestias migrarent. Qui vero se ad utrumque vitium (iram, inquam, et mollitiem) pronos lamentabantur, hos omnino alieno arbitrio, non suo, vivere volui, amiceque illorum moderatoribus suggessi, uti illos in utroque vitæ statu nunc ad tempus in quiete et solitudine collocarent, nunc inter domesticos exercerent : sic tamen ut supremo cœnobiarchæ cervicem penitus submitterem. Solent enim voluptuarii et effeminati seipsos, nec raro fortasse etiam alios sibi addictos corrumpere : furiosus autem et iracundus sæpe tanquam lupus gregem omnem perturbavit, multorumque afflictas animas elisit. Non leve crimen est cordis oculum per furorem conturbare, quemadmodum testatur, qui dixit : *Turbatus est a furore oculus meus* [33], sed gravius est impetum animi verbis prodere. Longe vero gravissimum, et vitæ religiosæ, angelicæ et divinæ prorsus alienum et inimicum ad manus venire. Si festucam alterius sanare vis, aut velle te potius arbitraris, cave ne pro scalpro, trabe hanc **175** deradas, aut potius denses et retundas. Trabs est aspera compellatio, et indecentes gestus. Scalpellum vero benigna institutio et lenta lenisque reprehensio seu objurgatio. *Argue*, inquit, *increpa*, *obsecra* [34], sed ne verbera. Quod si tamen id res exigat, et raro fiat, et non per te ipsum. Sæpius in iracundis, ubi attenderimus, promptum ad vigilias, jejunationes et quietis silentium, studium perpiciemus. Hac quippe arte callidissimus hostis per speciem pœnitentiæ et luctus auget materiam, et majores subjicit faces iracundiæ. Si unus aliquis, uti dictum est, tanquam lupus totum religiosum gregem dæmone

[33] Psal. VI, 8. [34] II Tim. IV, 2.

νου εἰς χρημνὸν περιπεσόντας. Ἑτέρους δὲ ἐχέφρονας τεθέαμαι, ὡς καλοὺς ἰατροὺς ἀμφότερα συγκεράσαντας, καὶ τὰ μέγιστα ἐκ τῆς συμμέτρου παρακλήσεως ὠφεληθέντας. Ποτὲ μὲν ἡ μελῳδία τὸν θυμὸν ἀρίστως διαλύει, ἡ σύμμετρος· ποτὲ δὲ τῇ φιλῳδονίᾳ συνέρχεται, ἤγε ἄμετρος καὶ ἄκαιρος. Τοὺς οὖν καιροὺς κανονίζοντες, οὕτως ἐχρησάμεθα. Ἤκουσα παρακαθήμενος ἔξω κατά τινα χρείαν ἀνδρῶν ἡσυχαζόντων, ὡς περδίκων ἐν τῇ κέλλῃ ἐκ πικρίας καὶ θυμοῦ καθ' ἑαυτοὺς κλοβομαχούντων, τῷ προσώπῳ δὲ ὡς παρόντος τοῦ λελυπηκότος ἐπιπηδώντων· οἷς ἔγωγε τὸ μὴ ἀπιδιάζειν εὐσεβῶς συμβεβούλευκα, ἵνα μὴ ἐξ ἀνθρώπων δαίμονες καταστα θῶσι. Καὶ τεθέαμαι πάλιν λάγνους καὶ βρωμώδεις καρδίας, πράους τινὰς καὶ κόλακας, καὶ φιλαδέλφους, καὶ φιλοκαλλιπροσώπους ὑπάρχοντας, οὓς τὴν ἡσυχίαν ὡς ξύριον μισόλαγνον, καὶ μισόβρωμον μετιέναι παρεσκεύασα, ἵνα μὴ ἐκ λογικῆς εἰς ἄλογον φύσιν ἐλεεινῶς μετατεθῶσιν. Ἐπεὶ δέ μοί τινες ἐν ἀμφοτέροις ἑαυτοὺς ἔλεγον οἰκτίστως ἐκφέρεσθαι, τούτους ἔγωγε πάντη αὐτεξουσίως πορεύεσθαι κεκώλυκα. Τοῖς μέντοι αὐτῶν ἐπιστατοῦσι τοῦτο φιλικῶς ὑποθέμενος· ποτὲ μὲν αὐτοῖς τοῦ χρόνου ταύτην, ποτὲ δὲ ἐκείνην τὴν τάξιν ἐπιτρέπειν μετέρχεσθαι· ὅμως τὸ πᾶν τῷ κρατοῦντι [τῷ πάντα κρατοῦντι, τὸν αὐχένα δούς. Ὁ μὲν (7) φιλήδονος ἑαυτὸν, ἴσως δὲ καὶ ἕτερον ἕνα φιλομύστην αὐτοῦ λυμαίνεσθαι πέφυκεν· ὁ δὲ θυμώδης ὥσπερ λύκος πᾶσαν πολλάκις τὴν ποίμνην διετάραξε, καὶ πολλὰς ψυχὰς ταπεινώσας διέθλιψε· χαλεπὸν μὲν τὸν τῆς καρδίας ὀφθαλμὸν ἐκ θυμοῦ ταράξαι, κατὰ τὸν εἰπόντα· *Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου*· χαλεπώτερον δὲ τὸ διὰ χειλέων τὴν τῆς ψυχῆς ὁρμὴν ἐνδείξασθαι· τὸ διὰ χειρῶν πάντη που τῆς μοναδικῆς, καὶ ἀγγελικῆς, καὶ θεϊκῆς πολιτείας ἐχθρὸν καὶ ἀλλότριον. Εἰ (8) κάρφος ἑτέρου ἰάσασθαι θέλεις, μᾶλλον δὲ νομίζεις μὴ ἀντὶ μήλης δοκῷ τοῦτον ἀποχρίσῃς, ἢ ἀποστύψῃς· δοκὸς βαρὺς λόγος, σχήματα ἀπρεπῆ· τὸ δὲ ἕτερον ἐπιεικὴς διδασκαλία, καὶ μακρόθυμος ἐπιτιμία. *Ἔλεγξον*, φησὶν, *ἐπιτίμησον, παρακάλεσον*· οὐ μέντοι καὶ τύψον. Εἰ δὲ καὶ τοῦτο δέοι (9), σπανίως καὶ οὐ δι' ἑαυτοῦ. Ἐπισκεψώμεθα καὶ ἐν τοῖς πολλοῖς τῶν θυμικῶν τὴν ἀγρυπνίαν προθύμως, καὶ τὴν νηστείαν καὶ ἡσυχίαν ἐπιτελουμένην θεασόμεθα. Σκοπὸς γὰρ τῷ δαίμονι τὰς αὐξητικὰς τοῦ πάθους ὕλας, προφάσει δῆθεν μετανοίας, καὶ πένθους αὐτοῖς ὑποτίθεσθαι. Εἰ εἷς (10) λύκος, ὡς προέφημεν, δύναται ἐκταράξαι ποίμνην, δαίμονα συνεργὸν κεκτημένος, πάντως καὶ εἷς ἀδελφὸς σοφώτατος, ὥσπερ (11) ἀσκὸς χρηστὸς ἐλαίου μεστὸς τὸ κῦμα παρενέγκαι καὶ γαληνιάσαι ποιεῖν τὴν ὀλκάδα, ἄγγελον συνεργὸν κεκτημένος, κατὰ τὸ μέγεθος τοῦ προτέρου κρίματος, οὗτος ἐκ Θεοῦ μισθὸν κομισόμενος, καὶ τύπος ὠφελείας πᾶσι γινόμενος. Ἀρχὴ τῆς μακαρίας ἀνεξικακίας ἐν πικρίᾳ καὶ ὀδύνῃ ψυχῆς τὰς ἀτιμίας καταδέχεσθαι. Μεσότης δὲ ἀλύπως ἐν ταύταις διακεῖσθαι· τελείωσις δὲ, εἴπερ καὶ ἔστιν, ὡς εὐφημίας ταύτας λογίζεσθαι. Χαίροις

ὁ πρότερος, ἔῤῥωσο ὁ δεύτερος, μακάριος ἐν Κυρίῳ καὶ ἀγαλλιῶ ὁ τρίτος · ἐλεεινὸν (12) ἐπεσημηνάμην ἐν ὀργίλοις θέαμα, ἐξ οἰήσεως λεληθότως αὐτοῖς συμβαῖνον, ὀργιζόμενοι γὰρ διὰ τὴν ἧτταν, πάλιν ὠργίζοντο · καὶ πτώματι πτῶμα ἐκδιωκόμενον ὁρῶν ἐθαύμαζον· καὶ ἁμαρτίαν ἁμαρτίᾳ διεκδικοῦντας ἠλέουν θεώμενος, καὶ δαιμόνων πανουργίαν ἐκπλητόμενος, τῆς ἑαυτοῦ ζωῆς μικροῦ δεῖν ἀπεγίνωσκον. Εἴ τις ἑαυτὸν ἀπὸ οἰήσεως καὶ ὀξυχολίας, πονηρίας τε καὶ ὑποκρίσεως εὐχερῶς ἡττώμενον θεάσοιτο, καὶ οὕτως τὴν μάχαιραν τῆς πραότητος καὶ ἀνεξικακίας δίστομον καθ' αὐτῶν ἐσκέψατο σπάσασθαι, οὗτος πορευθεὶς παραγένηται, ὥσπερ ἐν κναφείῳ σωτηρίας, ἐν συνοδίᾳ ἀδελφῶν, καὶ μάλιστα σκληροτάτων, εἴπερ αὐτὰ τελείως ἐκδύσασθαι βούλεται, ἵνα ἐκεῖσε ἐξ ὕβρεων καὶ ἀτιμιῶν, καὶ τριχυμιῶν τῶν ἀδελφῶν τεινόμενος, καὶ νοερῶς τυπτόμενος, ἢ τάχα που καὶ αἰσθητῶς ξεόμενος, καὶ πατούμενος καὶ λακτιζόμενος, τὸν βύπον τὸν ἐνυπάρχοντα αὐτοῦ τῇ αἰσθήσει τῆς ψυχῆς ἀποπλύνῃ · αὐτή σε ἡ δημώδης φωνὴ πεισάτω πλυντήριον τὸν ὀνειδισμὸν τῶν τῆς ψυχῆς παθῶν καθίστασθαι · φασὶ γάρ τινες τῶν ἐν τῷ κόσμῳ ἡνίκα τινὰ κατὰ πρόσωπον ἀτιμίας περιβάλλουσι, καυχώμενοι πρὸς ἑτέρους, ὅτι τὸν δεῖνα ἀπέπλυνα. Ὅ τι καὶ ἀληθὲς καθέστηκεν. Ἄλλη ἐστὶν ἡ ἐκ πένθους ἐν τοῖς εἰσαγωγικοῖς ἀοργησία, καὶ ἑτέρα, ἡ ἐν τοῖς τελείοις ὑπάρχουσα ἀκινησία · καὶ ἡ μὲν, ὥσπερ χαλινῷ τινι τῷ δακρύῳ δέδεται. Ἡ δὲ, ὥσπερ ὄφις ὑπὸ τῆς ἀπαθείας, ὡς ὑπὸ μαχαίρας, τεθανάτωται. Τρεῖς ἔγωγε (13) ὁμοθυμαδὸν ἑώρακα μοναχοὺς ἀτιμασθέντας · καὶ ὁ μὲν δέδηκται [δέδηκτο, al. δέδακται], καὶ ἐσιώπησεν · ὁ δὲ ἐχάρη ἑαυτοῦ χάριν, λελύπηται δὲ περὶ τοῦ λοιδορήσαντος · ὁ δὲ τρίτος τὴν τοῦ πλησίον βλάβην ἀνατυπώσας ἐδάκρυσε θερμῶς · καὶ ἦν ἰδεῖν φόβου, καὶ μισθοῦ, καὶ ἀγάπης ἐργάτας. Ὥσπερ ὁ τῶν σωμάτων πυρετὸς, εἷς μέν ἐστι, πολλὰς δὲ καὶ οὐ μίαν τῆς αὐτοῦ ζέσεως τὴν ἀφορμὴν κέκτηται · οὕτως καὶ ἡ τοῦ θυμοῦ ζέσις, καὶ κίνησις, καὶ τῶν λοιπῶν ἡμῶν παθῶν πολλὰς καὶ διαφόρους αἰτίας ἔχουσα καθεστήκασι. Διὸ καὶ ἀδύνατον κατὰ τούτων μονοτρόπως ὁρίσασθαι. Γνώμην δὲ δίδωμι μᾶλλον ἐν ἑκάστου λοιπὸν τῶν νοσούντων μεμεριμνημένῃ σπουδῇ τῆς ἰατρείας τὴν θεραπείαν ἐπιζητεῖν. Πρώτη δ' ἂν εἴη θεραπεία, τῆς αὐτοῦ ἀλγηδόνος τὴν αἰτίαν ἐπιγνῶναι, ἵνα τῆς αἰτίας εὑρεθείσης πρὸς αὐτὴν, καὶ τὴν ἔμπλαστρον ἐκ προνοίας Θεοῦ καὶ ἰατρῶν πνευματικῶν λήψεται, ὡς ἐν ὑποδείγμασιν οἱ βουλόμενοι ἡμῖν ἐν Κυρίῳ εἰς τὸ νοερὸν καὶ προβεβλημένον δικαστήριον συνεισελθεῖν, συνεισελθέτωσαν, καὶ ἀμυδρῶς πως περὶ τῶν προειρημένων παθῶν ἢ αἰτιῶν βασανίσωμεν. Δεθήτω λοιπὸν θυμὸς ὡς τύραννος ἐν δεσμοῖς πραότητος, καὶ τυπτόμενος ὑπὸ μακροθυμίας ἐκσυρόμενός τε ὑπὸ τῆς ἁγίας ἀγάπης ἐν τῷ βήματι τούτῳ τοῦ λόγου παραστὰς τὰ προσήκοντα ἐξεταζέσθω. Λέγε ἡμῖν, ὦ παράφρον καὶ ἄσεμνε, τήν τε τοῦ γεγεννηκότος [σε] προσηγορίαν, καὶ τῆς κακῶς τεκούσης σε προσωνυμίαν, τῶν σῶν τε υἱῶν καὶ θυγατέρων μιαρῶν τὰ ὀνόματα· οὐ μόνον δὲ,

A adjutante perturbare potest, cur non possit unus aliquis e sapientissimis fratrum ope sancti angeli, tanquam vas oleo plenum perturbationum fluctus sedare, navemque in serenam tranquillitatem reducere, uti pro rei magnitudine exemplum virtutis saluberrimum omnibus factus, præmium quemadmodum prior judicium et pœnam, reportet. Rudimentum primum beatæ patientiæ est, contumelias cum animi acerbitate et dolore tolerare. In medio versatur, qui jam easdem indignitates sine molestia animi sustinet. Ad summum perfectionis gradum ascendit, si tamen est, qui unquam ascendit, qui ignominias pro laudibus suis interpretatur. Gaudeat primus, vivat [bene valeat] alter, felix et beatus triumphet in B Domino postremus. Dolendum animadverti in stomachosis spectaculum, quod illis ex arcano quodam animi tumore usu venire **176** solet, cum victi ab ira se victos irascuntur, admiratus cum viderem quod ruina ruinam persequeretur, miseratusque infelices, dum spectarem quomodo peccatum peccato plecterent, obstupescendo summam dæmonum improbitatem, cum parum abfuit quin ejusmodi suam ipsorum vitam desperarent. Si quis ab superbia et iracundia, ab improbitate et hypocrisi facile se vinci senserit, et contra hæc vitia ancipitem mansuetudinis et patientiæ gladium stringere molitur, proficiscatur ad cœnobium religiosorum fratrum (tanquam ad C officinam aliquam salutarem fullonum), sed severissimorum, si modo perfecte exuere vitia studet, ut inibi contumeliis, ignominiis et decumanis tentationum fluctibus expositus, adeoque conviciis everberatus, imo vero etiam revera quandoque pulsatus et dedolatus, quin et omnino protritus et calcibus proculcatus, sordes animæ sensibus inhærentes diluat, ut ipsa vox passim usurpata te doceat probra et contumelias esse vitiorum animæ lavacrum. Sic enim vulgo loquuntur, quando multis alios convicils coram onerant, eaque de re apud alios gloriantur se hunc illumve probe aceto perfudisse et abluisse. Quod et verissimum est. Alia est quæ in tironibus ex fletu et planctu nascitur iracundiæ victoria; D alia quæ in jam perfectis exsistit immobilis animi adversus iram constantia. Illa rudium lacrymis quasi freno coercetur, hæc vero tanquam serpens per animæ tranquillitatem (jam ab omnibus affectibus liberam) velut gladio mactata est. **177** Tres ego quondam simul religiosos vidi contumeliis affectos, quorum primus sensit quidem morsum, sed dolorem silentio oppressit; alter sua quidem causa gaudebat, sed vicem calumniantis dolebat : postremus omnino sui oblitus tantum lacrymas et calentes quidem pro offendente, cujus damnum videbat, ex charitate profundebat. Ubi simul licuit spectare tres eximios virtutis athletas, timoris inquam, mercedis et charitatis. Quemadmodum in humanis corporibus febris quidem una

una est, sed multas habet ardoris causas : sic iræ motus et incendium uti reliquorum vitiorum morbi multus et varias origines habent et fontes. Proinde fieri non potest, ut de singulis sigillatim præcipiamus. Consultum autem erit pro sollicita cujusque ægrotantium cura opportunam cuique morbo medicinam quærere. Quarum prima sit, ut afflictionis ipsius causa cognoscatur, qua deprehensa aptum ex divina providentia et medicorum religiosorum cura emplastrum accipiat : ut, qui exemplo nostro nobiscum cupiunt in Domino spirituale et religiosis propositum judicii tribunal ingredi, ingrediantur, et de affectibus et causis supra memoratis aliquo modo secretius inquirant. Vinciatur ergo iracundus animus veluti tyrannus nexibus mansuetudinis, et longanimitatis flagro tundatur, adeoque per charitatem sanctam ad tribunal rationis sistatur, atque illa quæ convenit per quæstiones rogetur : Age fatue et impudens, ede nobis parentis tui nomen, matrisque tuæ quæ te infeliciter **178** genuit, cognomen, nec non eorum, qui ex te nati natæque sunt, impurorum liberorum nomina. Imo fatere etiam a quibus quatibusque hostibus possis expugnari et mactari. Ad quæ ille : Quæ me, inquit, peperere multæ sunt, nec unus mihi pater est. Genitrices sunt inanis gloriæ studium, avaritia, gula, et quæ inde quandoque nascitur impudicitia. Qui me creavit pater, appellatur fastus. Filiæ sunt, memoria acceptarum injuriarum, odium, inimicitiæ, contentiones. Hostes autem mei, a quibus nunc vinctus detineor, sunt virtutes his vitiis contrariæ, iræ victoria, et mansuetudo. Quæ vero mihi insidias ponit, humilitas appellatur, quam quis genuerit illam suo loco interrogate.

A ἀλλὰ καὶ τῶν πολεμούντων καὶ ἀποκτεινούντων σε τὰς σημασίας. Ὁ δὲ πρὸς ἡμᾶς ἀποκρινόμενος ἔλεγεν. Αἱ ἐμὲ γεννήσασαι πολλαί, καὶ ὁ ἐμὸς πατὴρ οὐχ εἷς. Αἱ δὲ μητέρες μου κενοδοξία, φιλαργυρία, γαστριμαργία· ἔστι δὲ ὅτε καὶ πορνεία· ὁ ἐμὲ γεγεννηκὼς προστγορεύεται τῦφος. Αἱ δὲ ἐμαὶ θυγατέρες μνησικακίαι, μῖσος, ἔχθρα, δικαιολογία· αἱ ἐμοῦ δὲ ἀντίδικοι, ὑφ' ὧν νῦν περιέχομαι δέσμιος, αἱ τούτων ἀντικείμεναι, ἀοργησία καὶ πραότης. Ἡ δὲ ἐμὴ ἐπίβουλος, ταπεινοφροσύνη προσαγορεύεται. Τίς δὲ ὁ τετοκὼς ἐκείνην, ἐν ἰδίῳ καιρῷ αὐτὴν ἐρωτήσατε.

In octavo gradu corona mansuetudinis sita est. Qui ingenio miti est ex natura, fortasse illam coronam non assequitur : Qui vero suis iram sudoribus vicit, is demum vere per reliquos omnes virtutum gradus ad octavum victor evasit.

B Ἐν ὀγδόῳ τινὶ βαθμῷ ὁ τῆς ἀοργησίας κεῖται στέφανος, καὶ ὁ μὲν ἐκ φύσεως τούτων περικείμενος, ἴσως οὐ περίκειται ἕτερον· ὁ δὲ ἐξ ἱδρώτων, εἰς ἅπαν τοὺς ὀκτὼ νενίκηκεν.

SCHOLIA AD GRADUM VIII.

De victoria iræ.

Scholion Isaiæ abbatis 1.

Ira est, velle tuam voluntatem fieri. Falsa scientia est, velle docere, amanda esse commoda mundi. Abjectio [pusillanimitas] animi est nimis anxium esse et constringi, nil velle sufferre, nil dare, sed accipere.

Scholion 2.

Ira est, subita et vehementissima animi perturbatio : dicitur enim fervor seu ardor animi, et commotio adversus eum, qui nos per injuriam læsit, **179** aut lædere videbatur, quæ animam tota die infestat, et exulcerat : sed potissimum inter preces subducit nobis mentem, et ejus qui nos contristavit aspectum et vultum per imaginationem repræsentat. Hæc cum mora invalescit, vertitur in odium, et per noctem nos infestat et perturbat, corporique tabem et pallorem conciliat et (per somnium) noxiarum bestiarum incursiones mentr objicit : hæc autem quatuor, quæ post conceptum odium usu veniunt, deprehendet quis multis cogitationibus comitata sequi.

Scholion 3.

Excandescentia est fervor sive inflammatio et vapor, seu spiritus qui nos ad vindictam de eo sumendam incitat, qui nos tristitia et molestia affecit. Proprium autem est hujus iracundi affectus adversus dæmones et vitia depræliari.

S. *Maximi scholion* 4.

Æqui vir et patientis animi multæ est prudentiæ, quia patienter exspectans omnia, sustinet omnes

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Η'

Περὶ ἀοργησίας.

Σχόλιον Ἰσαΐου α'.

Ὀργή ἐστι τὸ θέλειν προβαίνειν τὸ θέλημά σου· ἡ ψευδογνωσία τὸ θέλειν διδάσκειν, τὸ ἀγαπῆσαι τὴν χρείαν τοῦ κόσμου· ἡ μικροψυχία τὸ συνέχεσθαι, τὸ μὴ βαστάζειν· τὸ [μὴ] δοῦναι, καὶ λαβεῖν.

Σχόλιον β'

Ἡ ὀργὴ πάθος ἐστὶν ὀξύτατον, θυμὸς γὰρ λέγεται ζέσις καὶ κίνησις κατὰ τοῦ ἠδικηκότος, ἢ δοκοῦντος ἠδικηκέναι, ἥτις παντημέριον ἀγριοῖ τὴν ψυχήν μάλιστα δὲ ἐν ταῖς προσευχαῖς συναρπάζει τὸν νοῦν, τὸ τοῦ λελυπηκότος πρόσωπον ὑπογράφουσα. Ἐστὶ δὲ χρονίζουσα, καὶ μεταβαλλομένη εἰς μῆνιν παραχὰς νύκτωρ παρέχει, τῆξίν τε τοῦ σώματος, καὶ ὠχρότητα, καὶ θηρίων ἰοβόλων ἐπιδρομάς· ταῦτα δὲ τέσσαρα μετὰ τὴν μῆνιν συμβαίνοντα εὕροι ἄν τις παρακολουθοῦντα πλείοσι λογισμοῖς.

C

Σχόλιον γ'.

Θυμός ἐστι ζέσις ἢ ἔξαψις, καὶ ἀναθυμίασις πρὸς ἀμυναν παρορμῶσα τοῦ λυπήσαντος· θυμοῦ δὲ ἴδιον πρὸς δαίμονας καὶ πάθη μάχεσθαι.

D

Τοῦ ἁγίου Μαξίμου σχόλιον δ'.

Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει, ὅτι πάντα περιμένων ἀνέχεται τῶν λυπηρῶν· τὸ δὲ τέλος ζωὴ

αἰώνιός ἐστι κατὰ τὸν Ἀπόστολον. Αὕτη δέ ἐστιν αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· κἂν ἀδελφὸς τυχὸν ἐπιμένῃ κακολογῶν σε· ἀλλὰ σύ γε μὴ ἐξενεχθῇς τῆς ἀγαπητικῆς καταστάσεως τοῦ πονηροῦ ἐνοχλοῦντός σοι κατὰ διανοίας· οὐκ ἐξενεχθήσῃ δὲ ταύτης, ἐὰν λοιδορούμενος εὐλογήσῃς, ἐὰν ἐπιβουλευόμενος εὐνοήσῃς· αὕτη ἐστὶν ἡ ὁδὸς τῆς κατὰ Θεὸν φιλοσοφίας· καὶ ὁ μὴ ταύτην ὁδεύων, οὐ συναυλίζεται αὐτῷ. Διὰ γὰρ τῆς ταραχώδους, καὶ σκοτιζούσης μνησικακίας, τὴν ἔνδον γαλήνην, καὶ εἰρήνην τῶν λογισμῶν, ἐν ᾗ τοῦτο τοῦ Θεοῦ Πνεῦμα ἐπαναπαύεται, ἠφάνισε καὶ ἀπώλεσεν.

A molestias. Finis autem hujus est vita æterna, testante apostolo (a) cum dicit : *Hæc est vita æterna, ut cognoscant te solum verum Deum et quem misisti Jesum Christum.* Et si frater a tibi maledicendo non destiterit, tu tamen a proposito statu charitatis quantumvis infestante te maligno ac mentem tuam perturbante, ne discedas. Non excutieris autem, nec discedes, si contumelia affectus bene contra fueris precatus conviciatori; si insidiis appetitus insidiatorem benevolentia prosecutus fueris. Atque hæc est via quam docet cœlestis philosophiæ disciplina, per quam qui non incedit, cum Deo non habitabit. Nam per turbulentam et tenebricosam injuriarum recordationem animi serenitatem et pacem perdidit et exstinxit.

Ἄλλο.

Περιστερά ἐστιν ἡ δι' ἀγάπης ἐναργοῦς ὑπάρχουσα τῇ ψυχῇ ἀρετὴ, ἥτις διὰ τὸ ἀηδὲς τῆς κακίας ὑπεξίσταται· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ Χριστῷ πρὸς Βελιάλ.

B

Aliud.

Columba, est virtus quæ per charitatem operibus expressam inest animæ, quæ per malitiæ avaritiam exterminatur : nulla enim est communicatio luci ad tenebras, neque Christo cum Belial [35].

Σχόλιον ε'.

Ἡ λύπη τῇ μνησικακίᾳ συνέζευκται· ὅταν οὖν ὁ νοῦς τὸ πρόσωπον τοῦ ἀδελφοῦ μετὰ λύπης ἐνοπτρίζηται, δῆλον ὅτι μνησικακίαν ἔχει πρὸς αὐτόν· ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον· διότι πᾶς μνησίκακος παράνομος.

Scholion 5.

Tristitia conjuncta est et implicita cum injuriarum recordatione : quando ergo mens faciem fratris cum tristitia imaginatur, certum est quod ipse injuriarum memoriam foveat erga fratrem. Viæ porro injurias recordantium ducunt ad mortem, proinde qui injurias sibi illatas animo retinet, iniquus est et divinæ legis violator.

Σχόλιον ς'.

Ὁ τῷ δοκεῖν μακροθυμῶν εἰς καιρὸν ἀμύνης τὴν σιωπὴν ταμιεύεται, καὶ διὰ μνησικακίας τὴν μακροθυμίαν ἀφανίζει· ὅπερ ἐστὶν ἀλογίας τεκμήριον.

180 *Scholion* 6.

Qui per speciem æquo et patienti animo est, silentium reponit in tempus vindictæ, hic etiam per injuriarum memoriam totam abolet longanimitatem : quod hominis ratione carentis argumentum est.

C

Ἄλλο Γρηγορίου Νύσσης.

Αὐτὸς σὺ κατὰ σεαυτὸν ἐπιλόγισαι, οἷος ὁ βίος τῶν ἀλλήλους δι' ὑποψίας ἢ μίσους ἐχόντων· ὧν δυσάντητοι μὲν αἱ συντυχίαι· βδελυκτὰ δὲ αὐτοῖς τὰ ἀλλήλων πάντα· ἄφθογγα δὲ τὰ στόματα, καὶ ἀπεστραμμένα τὰ βλέμματα· καὶ ἀκοὴ ἀπεστραμένη τῇ τοῦ μισοῦντος φωνῇ, καὶ μισουμένου· πᾶν δὲ φίλον ἑκατέρῳ αὐτῶν, ὃ μὴ τῷ ἑτέρῳ φίλον· καὶ ἐκ τοῦ ἐναντίου πᾶν ἐχθρὸν καὶ πολέμιον, ὃ τῷ δυσμενεῖ, καταθύμιον.

Aliud Gregorii Nysseni.

Tu tecum ipse ratiocinare, quæ qualisque sit vita eorum qui suspicionibus et odiis inter se conflictantur : multi occursus ingrati et invisi, omniaque inter se ipsis odiosa et exsecrata, muta omnia, aversi vultus, aures voci utriusque, et qui te odit, et quem odisti occlusæ. Quidquid alteri gratum est, alteri est invisum, et contra, quidquid alteri inimicum et odiosum, alteri est gratum et acceptum.

Σχόλιον ζ'.

Ἐν τῷ σεσαρωμένῳ οἴκῳ τὰ τῆς πονηρίας ἐνοικίζεται πνεύματα, καὶ ἐν τῇ κατὰ καιροὺς ἐρημίᾳ οἱ τῶν παθῶν ἐμφωλεύουσι θῆρες, οἱ τοὺς ἀπείρους διὰ τῆς νομιζομένης τῶν ἀρετῶν ὁδοῦ δραξάμενοι τὰς οἰκείας ἐνδείκνυνται τῆς προαιρέσεως καταστάσεις.

D

Scholion 7.

In domo scopis purgata spiritus habitant nequitiæ, et in solitudine seu deserto per occasionem feræ perturbationum et vitiorum stabulant, quæ imperitos dum se per virtutis viam incedere existimant, arripiunt et propositi sui statum ostendunt.

Δωροθέου ἄλλο.

Οὐ δεῖ τινα ἐν αὐτῷ τῷ καιρῷ, ἐν ᾧ ἁμαρτάνει ὁ ἀδελφὸς κατ' αὐτοῦ, διορθώσασθαι αὐτόν· ἀλλ' οὐδὲ ἐν ἄλλῳ καιρῷ χάριν τῆς ἰδίας ἐκδικήσεως.

Dorothei.

Non est tum frater, cum te offendit corripiendus, sed nec alias unquam propriæ vindictæ causa.

Σχόλιον η'.

Δίκαιος σοφὸς τῷ Θεῷ ἐστιν ὅμοιος· οὐ παιδεύει παντελῶς ἄνθρωπον ἀμυνόμενος αὐτὸν εἰς τὴν κα-

Scholion 8.

Sapiens justitia ornatus Deo similis est; nunquam castigat peccantem ad perniciem ipsius, sed ut

[35] II Cor. VI, 14.

(a) Imo, Christo, apud apostolum Joan. XVII, 3.

emendetur qui peccavit, vel ut alii motuant : quod si castigatio est ab hac diversa, non est castigatio.

S. Antonii 9.

Adversus peccantes irascendum non est, quamvis delicta ab ipsis perpetrata digna sunt castigatione : sed delinquentes propter æquitatem ipsam a nobis reducendi et puniendi, si ita res ferat, sive per nos ipsos, sive per alios. Irasci autem et excandescere non oportet, quia ira nil nisi perturbate et vitiose agit, nihil vero ex judicio et æquitate. Proinde nec illi probandi sunt, qui præter jus et fas aliorum miserentur, propter honestum ipsum et æquum. Puniendi sunt improbi, et non ex proprio iræ et impetu et affectu.

Scholion 10.

Mitis et sibi ipsi et aliis vitæ tranquillitatem et serenitatem parit, ira vero **181** multos reddidit feroces et contumaces præsertim iracundos.

Scholion 11.

Lege, frater, Basilii Magni Hexaemeron, sive *sex dierum opus*, et ibi reperies illud quod de oleo (*a*) et fluctibus mirabiliter explicatum est. Hic autem, ut arbitror, auctor scalæ figurate et tropologice accipit, quod de sæviente mari dixit : ac per utrem corpus, per oleum mansuetudinem, per fluctus tumentes, tumorem et elationem animi, sævitiam seu ferociam ; per onerariam, fratrem seu contubernium religiosorum hominum intelligit.

Scholion 12.

Iratus fuit David adversus Nabal, nec quod iratus fuit, iterum irascitur, sed gratias egit et benedixit Abigaili (uxori ejus) quæ manus ejus a sanguine liberat [38]. Est ergo cum ex perturbatione vitiosa ira exsistit, et est quando sine vitio. Est cum quis seipsum reprehendit, quod sine ira rem gesserit : et est, qui sibi ipsi irascitur quod totus in iram exarserit : aut quod impetu iræ abreptus fuerit. Varia est ergo ut lector intelligat, ira et pœnitudo.

Scholion 13.

Hic in medio perturbationum certamine versatus, tacere didicit : ille strepitu vinculorum afflictus est, perinde quasi alteri scandalo fuisset : tertius mactaturus malum affectum, pro salute fratris luget charitate illatam ignominiam compensando. Ille vero etiam strepitu seu fremitu vinculorum, sive adeo contemnens vitiosos affectus, ut levibus quibusdam vinculis illos coerceret (ea quod ipsos contemneret) sive oratione sive sola interminatione.

χίαν αὐτοῦ · ἀλλ' ἵνα διορθωθῇ ἄνθρωπος, ἢ ἄλλοι φοβηθῶσιν · ἡ δὲ μὴ ὁμοία οὖσα ταύτῃ, οὐκ ἔστι παιδεία.

Σχόλιον τοῦ ἁγίου Ἀντωνίου. θ'.

Ἐπὶ τοῖς ἁμαρτάνουσιν οὐ χρὴ ὀργίζεσθαι, κἂν ἐγκλήματα εἶεν τὰ δρώμενα παρ' αὐτῶν κολάσεως ἄξια · ἀλλὰ τοὺς μὲν πταίοντας διὰ τὸ δίκαιον αὐτὸ ἐπιστρέφειν ὀφείλομεν · καὶ κολάζειν, εἰ οὕτω τύχοι, εἴτε δι' αὐτῶν, εἴτε δι' ἑτέρων · ὀργίζεσθαι δὲ ἢ θυμοῦσθαι οὐ χρή · διότι ἡ ὀργὴ κατὰ πάθος ποιεῖ μόνον, καὶ οὐ κατὰ κρίσιν, καὶ τὸ δίκαιον · ὅθεν οὐδὲ τοὺς παρὰ τὸ δέον ἐλεοῦντας ἀποδέχεσθαι δεῖ · διὰ δὲ τὸ καλὸν αὐτὸ, καὶ τὸ δίκαιον, χρὴ τιμωρεῖσθαι τοὺς πονηροὺς, καὶ οὐ διὰ τὸ οἰκεῖον πάθος τῆς ὀργῆς.

Σχόλιον ι'.

Ὁ πρᾶος ἑαυτῷ τε, καὶ τοῖς πλησίον γαλήνη καθέστηκε βίου · ὑποβρυχίους δὲ πολλοὺς ἐποίησεν ἡ ὀργὴ, καὶ πρὸ τῶν ἄλλων τοὺς ὀργιζομένους.

Σχόλιον ια'.

Ἀνάγνωθι, ἀδελφὲ, τὴν Ἑξαήμερον τοῦ μεγάλου Βασιλείου, καὶ ἐκεῖ εὑρήσεις τὸ περὶ τοῦ ἐλαίου, καὶ τῶν κυμάτων θαυμασίως ἐξηγημένον. Ἐνταῦθα δὲ, ὡς οἶμαι, ὁ τῆς κλίμακος τροπολογικῶς ἐκλαμβάνει τὸ περὶ τῆς ἀγριαινούσης θαλάσσης · ἀσκὸν τὸ σῶμα, Ἔλαιον τὴν πραότητα, κύματα τὸ οἴδημα, καὶ τὴν ἀγριότητα, ὀλκάδα τὸν ἀδελφὸν, ἢ τὴν ἀδελφότητα σημαίνει.

Σχόλιον ιβ'.

Ὠργίσθη ἐπὶ τὸν Νάβαλ Δαυῒδ, καὶ οὐχ ὅτι ὠργίσθη, πάλιν ὠργίζετο · ἀλλ' εὐχαρίστει τῇ Ἀβιγαίᾳ ἐξ αἵματος αὐτοῦ τὰς χεῖρας ῥυσαμένῃ. Ἔστιν οὖν ἐν τῇ ὀργῇ κατὰ πάθος ὀργίζεσθαι · καὶ ἔστιν οὐ κατὰ πάθος · καὶ ἔστι μέμφεσθαι ἑαυτὸν ὅτι οὐ κατ' ὀργὴν κινηθῆναι ὡρμήθη. Διάφορος οὖν τῆς ὀργῆς ἡ μεταμέλεια, ὡς ἀναγνοὺς μαθήσῃ.

Σχόλιον ιγ'.

Ὁ οὖν ἑστῶν δι' ἀγώνων τὰ πάθη, σεσιώπηκε διδαχθείς · ὁ δὲ βρυλλίῳ δεσμῶν λελύπηται, ὡς ἀδελφὸν σκανδαλίσας · ὁ δὲ ἀποκτενῶν ὅπερ τῆς τοῦ ἀδελφοῦ σωτηρίας πενθεῖ δι' ἀγάπης αὐτὸν ἀμειβόμενος · ὁ δὲ καὶ βρυλλίῳ δεσμῶν · ἦγουν τοσοῦτον καταφρονῶν τῶν παθῶν ὥστε μετ' εὐτελῶν τινων δεσμῶν αὐτὰ συνέχων, διὰ τὸ καταφρονεῖν, εἴτε διὰ προσευχῆς, εἴτε διὰ μόνης ἐμβριμήσεως.

GRADUS IX.

De abolenda injuriarum memoria.

Virtutes quidem sanctæ gradibus scalæ Jacobææ

ΛΟΓΟΣ Θ'.

Περὶ μνησικακίας.

Αἱ μὲν (1) ὅσιαι ἀρεταὶ, τῇ τοῦ Ἰακὼβ κλίμακι

[38] I Reg. xxv, 2 seqq.

(*a*) S. Basilius : *Oleum in altam aquæ voraginem immissum illustrat locum et conciliat perspicuitatem.* Hom. 2 in Hexaem.

παρεοίκασιν, αἱ δὲ ἀνόσιοι κακίαι, τῇ ἁλύσει τῇ ἐκπεσούσῃ ἐκ Πέτρου τοῦ κορυφαίου. Διὸ αἱ μὲν μία τῇ μιᾷ συνδεθεῖσαι εἰς οὐρανὸν τὸν προαιρούμενον ἀναφέρουσιν· αἱ δὲ ἑτέρα τὴν ἑτέραν γεννᾷν καὶ συσφίγγειν πεφύκασιν. Διὸ καὶ ἠκούσαμεν νῦν τοῦ ἀσυνέτου θυμοῦ γέννημα αὐτοῦ οἰκεῖον τὴν μνησικακίαν ὑπάρχειν φήσαντος, ὅθεν καὶ καιροῦ νῦν καλοῦντος ἀρτίως περὶ αὐτῆς εἴπωμεν. Μνησικακία ἐστὶ θυμοῦ κατάληξις, ἁμαρτημάτων φύλαξ, δικαιοσύνης μῖσος, ἀρετῶν ἀπώλεια, ἰὸς ψυχῆς, σκώληξ νοὸς, προσευχῆς αἰσχύνη (2), δεήσεως ἐκκοπή· ἀγάπης ἀλλοτρίωσις, ψυχῆς ἦλος πεπηγώς, ἀνόδυνος αἴσθησις ἐν ἡδύτητι πικρίας ἀγαπωμένη, διηνεκὴς ἁμαρτία, ἄϋπνος πανομία, κάθωρος κακία. Ἓν καὶ τοῦτο σκοτεινὸν, καὶ ἀηδὲς πάθος, λέγω δὴ τὸ τῆς μνησικακίας τῶν γεννωμένων καὶ οὐ (3) γεννώντων, ἢ καὶ γεννώντων καθέστηκεν· ὅθεν περὶ αὐτοῦ οὐ πλεῖστα λέγειν βουλόμεθα. Ὁ παύσας ὀργὴν ἀνεῖλε μνησικακίαν· τοῦ γὰρ πατρὸς ζῶντος τεκνογονία γίνεται· ὁ κτησάμενος ἀγάπην, ἐξενίτευσε μῆνιδος· ὁ δὲ ἐχθραίνων, κόπους ἀκαίρους ἑαυτῷ συναθροίζει· τράπεζα ἀπρόσεκτος (*a*) μήτηρ παῤῥησίας, καὶ διὰ θυρίδος ἀγάπης εἰσπηδήσει γαστριμαργία. Εἶδον μῖσος πορνείας δεσμὸν χρόνιον διαῤῥῆξαν, καὶ (4) μνησικακίαν ἐκεῖ ἄδεσμον αὐτὸν τοῦ λοιποῦ παραδόξως διατηρήσασαν· θαυμαστὸν ὅραμα [θέαμα, *al.* πρᾶγμα], δαίμονα τὸν δαίμονα ἰώμενον. Τοῦτο δὲ ἴσως ἔργον Θεοῦ οἰκονομικῶς, καὶ οὐ δαιμόνων καθέστηκε. Μακρὰν ἀπὸ ἀγάπης στερρᾶς φυσικῆς μνησικακία, εὐχερῶς δὲ πορνεία πλησιάζει αὐτῇ· καὶ (5) λελῃθότως ὁρᾷς ἐν περιστερᾷ φθεῖραν. Μνησικακῶν μνησικάκει δαίμοσι, καὶ ἐχθραίνων ἔχθραινε τῷ σώματι· διὰ παντός. Ἀγνώμων καὶ δόλιος φίλος ἡ σάρξ· καὶ θεραπευομένη, μειζόνως ἀδικεῖ· γραφικὸς ὑφηγητὴς μνησικακία· πρὸς τὴν ἰδίαν εἴδησιν τὰ τοῦ Πνεύματος λόγια ἀλληγορῶν. Αἰσχυνέτω αὐτὸν Ἰησοῦ ἡ προσευχὴ, ἣν λέγειν σὺν αὐτῷ οὐ δυνάμεθα· ὁπόταν πολλὰ πυκτεύσας τὸ σκῶλον διαλῦσαι εἰς τέλος οὐ δύνασαι, μετανόει τῷ ἐχθρῷ, κἂν τῷ στόματι, ἵν' ἐπὶ πολὺ ὑπόκρισιν τὴν πρὸς αὐτὸν αἰδεσθεὶς, τελείως (*b*) ἀποδέξῃ ὑπὸ τοῦ συνειδότος, ὡς ὑπὸ πυρὸς νυττόμενος· τότε γνώσῃ ἑαυτὸν τῆς σηπεδόνος ταύτης ἀπαλλαγέντα· οὐχ ὅταν ὑπὲρ τοῦ λυπήσαντος εὔξῃ· οὐδ' ὅταν αὐτὸν δώροις ἀνταμείψῃ· οὐδ' ὅταν ἐπὶ τράπεζαν ἄγῃς· ἀλλ' ὅταν αὐτὸν ἢ ἐν τοῖς κατὰ ψυχὴν, ἢ σωματικὴν συμφορὰν δεξάμενον ἀκούσῃς· καὶ ὡς ἐφ' ἑαυτῷ, ὀδυνηθῇς καὶ δακρύσῃς. Μνησίκακος ἡσυχαστὴς ἐμφωλεύουσα ἀσπὶς, ἰὸν θανατηφόρον ἐν ἑαυτῇ περιφέρουσα· μνῆμα παθημάτων Ἰησοῦ ἰάσεται μνησικακίαν ἐκ τῆς αὐτοῦ ἀνεξικακίας ἰσχυρῶς αἰσχυνομένην. Ξύλῳ σαθρῷ ἔνδοθεν ἐναποτίκτονται σκώληκες· καὶ πραοτάτοις καὶ ἡσυχίοις νόθοις συγκολλᾶται μῆνις. Ὁ ἀποβάλλων αὐτὴν εὗρεν ἄφεσιν, ὁ δὲ προσκολλώμενος αὐτῇ. Ἐστερήθη οἰκτιρμῶν· εἰς πόνους καὶ ἰδρῶτας διὰ συγχώρησιν ἑαυτούς τινες ἐκδεδώκασιν· ἀμνησίκακος δὲ ἀνὴρ προ-

comparantur, improba vero vitia cum catena, quæ de Petri principis apostolorum corpore decidit, componuntur. Itaque illæ velut annuli singillatim inter se **182** connexæ virtutis studiosum ad cœlum efferunt. Hæc vero altera alteram parere et constringere solet. Quapropter cum jam injuriarum memoriam, fetum proprium irati et amentis animi ipso fatente intellexerimus, locus nunc monet ut de illa pertractemus. Injuriarum memoria est cauda in quam ira desinit, peccatorum custos, odium justitiæ, pestis virtutum, virus animæ, vermis mentis, precationis pudor, orationis exterminatio, charitatis aversio, clavus animæ infixus, dulcis sensus amarities, perpetuum peccatum, pervigil iniquitas, continua malitia. Unum et hoc ex obscuris et tristibus vitiis est, memoriæ, inquam, injuriarum, quod gignitur et non gignit vitia, aut etiam gignere solet : quapropter non libet copiosius de illo disputare. Qui iram compescuit, simul memoriam injuriarum exstinxit. Vivo enim patre generantur liberi. Qui charitatem possidet, eliminat iracundiam : qui inimicitias alit, importunos sibi labores creat [cumulat]. Convivium amoris [charitatis] solvit odium ; casta munera et sincera placant et permulcent animam. Mensa quæ frugalitatem negligit, est parens licentiæ, et per speciem charitatis tanquam per fenestram insilit gula et ventris ingluvies. Vidi ego per odium diuturnum veneris nexum abruptum, solutumque ibi deinceps per injuriarum recordationem præter opinionem permansisse. Eratque admirandum spectaculum videre dæmonem a dæmone sanatum. Sed hoc fortasse non tam dæmonum quam Dei sic rem disponentis opus est. **183** Injuriarum memoria valde remota est ab solida et genuina charitate, cui facile miscetur impurus amor, quemadmodum in columba clam deprehendas corruptelam. Qui non vult oblivisci injurias, memor sit injuriarum sibi a dæmonibus illatarum, et illis irascatur. Qui inimicitias vult exercere, erga suum corpus quovis modo (velut maximum hostem) exerceat. Ingratus et insidiosus amicus est corpus, quod quo magis foves, hoc magis te impugnat. Pessimus Scripturæ sacræ interpres est recordatio injuriarum, quæ Spiritus sancti oracula ad suum sensum trahit et explicat. Erubescat hic ex Christi precatione (*c*), quam injuriarum memores cum illo pronuntiare non possumus. Quando diu multumque luctatus, hanc tamen spinam stirpitus convellere non potes, saltem verbis humilia te apud inimicum, uti tute ob longam tuam simulationem verecundatus, et a conscientia tanquam ab igne assidue exstimulatus, hostem tandem perfecte diligas. Tunc vero intelliges te ab hac animi putredine penitus curatum, non quando pro eo qui te injuria aut molestia affecit, fueris precatus, neque quando illum donis affece-

(*a*) Ἀπρόσεκτος, cujus ratio non habetur, ad quod non attenditur.

(*b*) Marg. post τελείως, ἀγαπήσῃς αὐτόν.
(*c*) Dimitte nobis debita nostra.

ris, neque cum ad mensam vocaveris, sed cum illum vel in animi vel corporis calamitatem incidisse audieris, illiusque casum veluti tuum ipsius dolueris et deploraris. Anachoreta injuriarum memoriam retinens in pectore, est aspidis nidus, mortiferum secum venenum ubique circumferens. Meditatio de Christo patiente injuriarum memoriam valde ad illius tolerantiam **184** erubescentem abolebit. Lignum putre verminat : mitissimis ingeniis et quietæ solitudini, sed adulterinæ insinuat se iracundia; quam qui rejicit, veniam adipiscitur [invenit] peccatorum; qui fovet, indignum se miseratione reddit. Magnos nonnulli labores et dolores exantlarunt, ut venia donarentur : sed qui memoriam omnem injuriarum abolet, illos antevertit. Quando verissimum est illud Christi : *Dimittite celeriter, et copiose dimittetur vobis* [36]. Sinceræ pœnitentiæ argumentum est oblivio injuriarum : qui vero non ponit memoriam hanc, et tamen de peccatis dolere sibi videtur, non absimilis est illi qui se currere somniat. Vidi ego hoc morbo repositæ altius injuriæ laborantes, qui tamen alios eidem vitio obnoxios ad oblivionem acceptæ iujuriæ adhortati, suis ipsi verbis permoti, omnem injuriarum memoriam posuerunt. Nemo reconditas has et obscuras servatæ injuriæ tenebras mentis exiguum vitium existimet : non raro quippe etiam ac religiosos usque piosque viros penetrat.

A κατελάβετο τούτους· εἴπερ ἄφετε συντόμως, καὶ ἀφεθήσεται ἡμῖν πλουσίως· » τῆς γνησίας ἡ ἀμνησικακία τεκμήριον· ὁ δὲ ταύτην κατέχων, καὶ μεταγοεῖν δοκῶν, ὅμοιός ἐστι τῷ καθ' ὕπνους τρέχειν δοκοῦντι. Εἶδον μνησικάκους περὶ ἀμνησικακίας· ἄλλοις μνησικάκοις (6) παραινέσαντες καὶ τοὺς οἰκείους λόγους (7) ἐντραπέντες, τοῦ πάθους ἐπαύσαντο. Μηδεὶς ψιλὸν πάθος τὴν ἐσκοτισμένην ταύτην ὑπονοήσοιτο· πέφυκε γὰρ πολλάκις καὶ μέχρι τῶν πνευματικῶν ἀνδρῶν ἐπεκτείνεσθαι.

Nonum hunc gradum qui ascendit, secure Jesum, B salutis auctorem, veniam peccatorum suorum roget.

Βαθμὸς ἔννατος ὁ κτησάμενος, παῤῥησίᾳ λοιπὸν τὴν λύσιν τῶν πταισμάτων αἰτείτω παρὰ τοῦ Σωτῆρος Ἰησοῦ.

SCHOLIA AD GRADUM IX.

De injuriarum memoria.

Scholion 1.

Attende diligenter quomodo Pater hoc caput disposuerit : virtutes enim eo quod in altum ferrent, scalæ gradibus comparavit : quicunque enim scalam init, clarum est **185** quod in altum feratur; vitia autem cum gravi catena composuit, propter pondus arbitror, quod vinctum semper deorsum trahat, aut non sinat quidquam libere agere vel aggredi : atque hoc verum est; nam vitium tanto onere solet cor hominis premere, ut etiam molestissima quoque non sentiat. Per illa autem verba, τῇ ἐκπεσούσῃ, sive catena excidenti de manibus, declaravit aliquo modo fieri posse, ut, si velimus, per ardorem fidei illam abjiciamus. Atque hoc cognosci ex adducto in medium exemplo D. Petri, et non alterius : hunc enim omnibus ferventiorem in fide fuisse constat, aut etiam propter pœnitentiam.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Θ'.

Περὶ μνησικακίας.

Σχόλιον α'.

Ὅρα ἀκριβῶς, πῶς Πατὴρ τέθηκε τὸ κεφάλαιον τοῦτο· τὰς γὰρ ἀρετὰς διὰ τὸ ὑψοῦν, κλίμακι ἀπείκασε· πᾶς γὰρ ὁ κλίμακα ἀνιὼν, ἐστὶ φανερὸν, ὅτι ἐφ' ὕψους φέρεται· τὰς δὲ κακίας ἀλύσει βαρείᾳ προσωμοίωσε, διὰ τὸ βάρος, οἶμαι, καὶ τὸ καθέλκον τὸν δεδεμένον διηνεκῶς ἐπὶ τὰ κάτω· ἢ καὶ τὸ μὴ ἐᾷν αὐτὸν ἐλεύθερόν τι μεταχειρίσασθαι· καὶ οὐ ψεῦδος· τοιοῦτον γὰρ βάρος εἴωθεν ἐμποιεῖν ἡ κακία τῇ καρδίᾳ τοῦ ἀνθρώπου, ὡς ἔστιν ὅτε μηδὲ τῶν ἄγαν λυπηρῶν ἐπαισθάνεσθαι. Διὰ δὲ τοῦ εἰπεῖν, τῇ ἐκπεσούσῃ, παρεδήλωσέ πως τὸ εἶναι δυνατὸν αὐτὴν ἀποβαλεῖν, ἐὰν βουληθῶμεν, διὰ τῆς θερμῆς πίστεως· καὶ τοῦτο ἐπιγνῶναι ὡς ἀπὸ τοῦ εἰς μέσον φέρειν τὸν Πέτρον, καὶ μὴ ἄλλον τινά· οὗτος γὰρ θερμότερος πάντων μαρτυρεῖται κατὰ τὴν πίστιν, ἢ καὶ διὰ τὴν αὐτοῦ μετάνοιαν.

Scholion 2.

Dum in precatione Dominica dicimus, *Dimitte nobis debita nostra, sicut et nos dimittimus* [36] : quando non dimittimus, nos ipsos redarguente conscientia pudore afficimus, quemadmodum ipse explicando dicit : Erubescere faciat illos Domini Jesu oratio, et quæ sequuntur.

Σχόλιον β'.

Ἐν γὰρ τῇ προσευχῇ λέγοντες, Ἄφες ἡμῖν τὰ ὀφειλήματα, ὡς καὶ ἡμεῖς ἀφίεμεν, καὶ μὴ ἀφέντες ἑαυτοὺς αἰσχύνομεν, ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι, καθὼς καὶ παραχατιών φησιν· Αἰσχυνέτω αὐτοὺς ἡ Ἰησοῦ προσευχὴ, καὶ τὰ ἑξῆς.

Scholion 3.

Sive generatorum sive generantium : nam injuriarum recordatio generatur ab ira, et ira cum fastu et superbia generat injuriarum memoriam : hæc vero creat invidiam et cædes.

Σχόλιον γ'.

Ἤγουν τικτομένων καὶ γεννώντων· ἡ γὰρ μνησικακία γεννᾶται ἐκ τοῦ θυμοῦ· καὶ γὰρ ὁ μετὰ τύφου θυμὸς γεννᾷ μνησικακίαν· αὕτη δὲ φθόνους ἀποτίκτει καὶ φόνους.

Scholion.

Abrasus versus. ****

Σχόλιον.

. . . . . .

Scholion 4.

Vidi recordationem ibi injuriarum, quæ quem

Σχόλιον δ'.

Καὶ εἶδον μνησικακίαν ἐκεῖ, ὃν ἑαυτῇ συνέδησεν,

[36] Luc. VI, 37. [37] Matth. VI, 12.

ἄνετον παντελῶς τῆς πορνείας διατηρήσασαν, καὶ τόνδε μετ' αὐτῆς ἄδετον· εὐχερῶς μὲν τοῖς ἀγαπῶσι πορνεία ἐμφιλοχωρεῖ, ἀπὸ δὲ τῶν μισούντων ὡς πορρωτάτω ἀφίσταται.

A

Σχόλιον ε'.

Ὁ φθεὶρ τὴν περιστερὰν δαμάζει καὶ λυμαίνεται· οὕτω ἡ πορνεία τὴν ἀγάπην δαμάζει καὶ λυμαίνεται.

Σχόλιον ς'.

Ὁ χρεωφειλέτης τῶν μυρίων ταλάντων παιδευέτω σε· ὡς εἰ μὴ ἀφήσεις τῷ ὀφειλέτῃ, οὐδὲ αὐτὸς τεύξῃ τῆς ἀφέσεως· παρέδωκε γὰρ αὐτὸν, φησὶ, τοῖς βασανισταῖς.

Ἄλλο.

Πέντε εἰσὶν οἱ τρόποι τῆς μετανοίας· κατάγνωσις τῶν ἡμαρτημένων· τὸ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα· τὸ εὔχεσθαι· τὸ ἐλεεῖν· τὸ ταπεινοφρονεῖν.

B

Σχόλιον τοῦ ἁγίου Νείλου ζ'.

Λέγειν χρὴ τὸν μὴ καλὰ πράττοντα, ὅπως ἄρξηται, τῶν ἔργων τοὺς λόγους αἰσχυνόμενος.

sibi devinxit, liberum omnino ab luxuria conservavit, eumdemque una cum ipsa a vinculis absolvit: facile amantibus se Venus insinuat, ab odiis autem longissime abest.

Scholion 5.

Pediculus vexat et corrumpit columbam: luxuria charitatem perdit et abolet.

Scholion 6.

Ille qui debuit decem millia talenta, doceat te, quod nisi debitori tuo remiseris, nec tu veniam impetrabis: tradidit enim, inquit, ipsum tortoribus.

Aliud.

Quinque sunt modi pœnitentiæ: detestatio peccatorum commissorum, remittere proximo peccata, precari, misereri aliorum, et se per humilitatem deprimere.

Scholion sancti Nili 7.

Decet honesta loqui etiam eum qui non facit honesta, ut incipiat eum per verba, etiam operum pudere.

ΛΟΓΟΣ Γ'.

Περὶ καταλαλιᾶς.

Οὐδεὶς τῶν εὐφρονούντων ἀντείπῃ, οἶμαι, μὴ ἐκ μίσους καὶ μνησικακίας τὴν καταλαλιὰν τίκτεσθαι· διὸ καὶ μετὰ τοὺς αὐτῆς προγόνους ὡς ἐν εἰρμῷ τέτακται. Καταλαλιά ἐστιν ἀποκύημα μίσους· λεπτὴ νόσος, παχεῖα, κεκρυμμένη καὶ λανθάνουσα βδέλλα, ἀγάπης ἐκδαπανῶσα καὶ ἐξαφανίζουσα αἷμα· ἀγάπης ὑπόκρισις· καρδίας ῥύπου καὶ βάρους πρόξενος· ἀφανισμὸς ἁγνείας. Ὥσπερ εἰσὶ νεάνιδες (1) ἀπηρυθριασμένως τὰ κακὰ πράττουσαι· εἰσὶ δὲ ἕτεραι λελῃθότως καὶ αἰδεστικωτέρως χαλεπώτερα τῶν προτέρων ἐπιτελοῦσαι· οὕτως καὶ ἐπὶ τῶν παθῶν τῆς ἀτιμίας ἔστιν ἰδεῖν. Αἱ πλείους ὕπουλοι νεάνιδες ὑπόκρισις, πονηρία, λύπη, μνησικακία, καταλαλιὰ καρδίας, ἄλλα μὲν τῷ δοκεῖν ὑποτιθέμεναι, ἄλλα δὲ ἀποβλέπουσαι. Ἤκουσα (2) καταλαλούντων, καὶ ἔπληξα, καὶ τοῦτο πρὸς ἀπολογίαν οἱ τοῦ κακοῦ ἐργάται ἀπεκρίναντο· ὡς ἐξ ἀγάπης καὶ φροντίδος τοῦ καταλαλουμένου τοῦτο ποιοῦσιν. Ἐγὼ δὲ αὐτοῖς· Παύσασθε, ἔφην, τῆς τοιαύτης ἀγάπης· ἵνα μὴ ψεύσηται ὁ εἰρηκώς· *Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον*. Εἰ λέγεις ἀγαπᾷν, εὔχου λελῃθότως, καὶ μὴ σκῶπτε τὸν ἄνδρα· οὗτος γὰρ ὁ τρόπος δεκτὸς παρὰ Κυρίῳ. Μὴ δὲ τοῦτό σε λανθανέτω, καὶ πάντως ἐκνήψεις τοῦ μὴ κρίνειν τὸν πταίοντα. Ἰούδας ἐν τῷ χορῷ τῶν μαθητῶν ἦν, ὁ δὲ λῃστὴς ἐν τῷ χορῷ τῶν φονευτῶν· καὶ θαῦμα πῶς ἐν μιᾷ ροπῇ ἡ ἀντικαταλλαγὴ γέγονεν. Εἴ τις καταλαλιᾶς πνεῦμα νικῆσαι βούλεται, μὴ τῷ πταίοντι, ἀλλὰ τῷ ὑποβάλλοντι δαίμονι τὴν μέμψιν ἐπιγραφέτω· οὐδεὶς γὰρ θέλει εἰς Θεὸν ἁμαρτῆσαι, εἰ καὶ ἀβίαστος πᾶς ἡμῶν τυγχάνει. Εἶδον προφανῶς ἁμαρτήσαντα, καὶ λελῃθότως μετανοήσαντα, καὶ ὃν κατέκρινα ὡς πόρνον,

C

D

186 GRADUS X.

De detractione.

Nemo, opinor, recte sentientium inficias ibit, ex odio et acceptæ injuriæ memoria detractionem existere, uti proinde recta serie post ipsius progenitores hæc collocata sit. Detractio est odii partus, subtilis morbus, crassa tamen sed latens, et occulta hirudo, quæ charitatis sanguinem exhaurit et absumit: amoris simulatio, et cordi sordes et conscientiæ grave onus conciliat, castitatemque abolet. Sunt nonnullæ adolescentulæ quæ sine ulla verecundia peccant: sunt aliæ quæ clam et verecundius, sed longe gravius prioribus delinquunt. Par est ratio malarum animi affectionum seu vitiorum ignominiæ. Plures illæ nequam puellæ sunt hypocrisis, malitia, tristitia, acceptarum injuriarum recordatio, de alieno corde judicium et detractio, quæ aliud ad speciem prætendunt, et aliud respiciunt atque agunt. Cum obtrectantes aliis audirem, eos graviter increpui, qui ut improbi malorum concinnatores excusando se id ex charitate et cura salutis illius cui obtrectabant, hoc facere dixerunt. At ego, apage, inquam, cum hac charitate, ne illum mendacii coarguatis qui dixit: *Detrahentem secreto proximo suo, hunc persequebar* [33]. Si te amare hunc affirmas, clam precare pro eo, et non exagita scommatis virum. Hic enim modus **187** Domino gratus est. Quin et hoc attende, et penitus abstinebis ab judicando, si quem videris peccantem. Judas in collegio discipulorum erat, latro vero in numero homicidarum. Et mirandum est quanta rerum uno momento facta sit conversio. Quisquis obtectrationis spiritum conatur vincere, non peccanti, sed dæmoni suggerenti culpam assignet; nemo quippe

[33] Psal. c, 5

vult in Deum peccare, quamvis nemo nostrum coactus aut non sponte peccet. Vidi qui palam peccaret et clam pœniteret, et quem ego ut impurum nequam damnaveram, jam apud Deum temperans et pudicus habebatur, cum per sinceram emendationem Deum sibi propitiasset. Ne reverearis quemquam alteri apud te detrahentem, sed obtrectatori dicito : Tace, frater, ego quotidie gravius delinquo, et quo pacto illum damnabo? Sic uno medicamento duo consequeris : te ipsum servabis, et alterum sanabis. Est et hæc brevissima quæ ad impetrandam peccatorum veniam ducit via, non judicare, inquam : *Si enim non judicaveritis, non judicabimini* [39]. Ut contrarius est ignis aquæ, ita quemque velle judicare, repugnat illi qui de suis peccatis vult ex animo pœnitere. Tu si quempiam etiam in extremo spiritu videris peccare, noli tamen condemnare, nam divinum judicium nobis est incognitum. Quidam propalam graviter deliquerunt, et clam multo majora bona perpetrarunt, et magnopere decepti illi aliorum irrisores, qui fumum pro sole complexi **188** sunt. Audite me, auscultate, omnes improbi alienorum factorum censores, si vera vox Christi, ut est verissima : *In quo judicio judicaveritis, judicabimini* [40], sine dubitatione quibuscunque in rebus alios vituperamus, in illas ipsas incidimus seu corporeas seu spiritales : aliter res non habet. Qui faciles et acres sunt ad aliena delicta censenda, in hec vitium incurrunt, quod suorum ipsi vitiorum et peccatorum nondum perfectam et certam fixamque memoriam habeant, neque curam eorum emendandorum susceperint. Quicunque enim sua ipsius vitia sine amoris proprii velo accurate perspexerit, nullius rei alterius humanæ curam suscipiet, ut qui intelligat nullum tempus ad sua sibi peccata deflenda sufficere, etiamsi centum annos viveret, videretque totum Jordanem in lacrymas versum ex oculis suis defluere. Observavi verum luctum, et nullum in eo vestigium vel detractionis vel judicii pravi, et condemnationis deprehendi. Hostes nostri dæmones aut ad peccandum nos incitant, aut si hoc non possint, saltem ad peccantes judicandos, ut per alterum etiam primum assequantur, et peccato nos homicidæ inquinent et occidant. Scito et hanc esse retinentium animo injurias et invidorum notam, quod aliorum doctrinam, facta et virtutes, odii nempe spiritu imbuti, facile et libenter calumnientur. Animadverti quosdam clam in secreto et sine teste infanda flagitia perpetrare, qui sua tamen **189** opinione sancti et scelerum puri gravissime imminent iis qui vel in levibus publice delinquunt. Judicare alterum, est divini honoris per impudentem rapinam usurpatio; condemnare, præsens animæ propriæ exitium. Quemadmodum superbia etiam sine alio vitio hominem perdere potest, ita judicare per se jam solum sufficit ad nos funditus perdendos : quando Pharisæus ille ob hoc damnatus est [41]. Ut

[39] Matth. VII, 1. [40] ibid. 2. [41] Luc. XVIII, 10.

Ἀκτημοσύνη ἐστὶ φροντίδων ἀπόθεσις (1), ἀμεριμνία βίου, ὁδοιπόρος ἀνεμπόδιστος, πίστις ἐντολῶν, λύπης ἀλλότριος· ἀκτήμων μοναχὸς δεσπότης κόσμου, τῷ Θεῷ τὴν φροντίδα πιστεύων, καὶ διὰ πίστεως πάντας δούλους κεκτημένος· οὐκ ἐρεῖ ἀνθρώπῳ περὶ χρείας αὐτοῦ· τὰ δὲ ἐρχόμενα ὡς ἐκ χειρὸς Κυρίου δέξεται. Ἀκτήμων ἐργάτης, ἀπροσπαθείας υἱός, τὰ προσόντα αὐτῷ ὡς μὴ ὄντα λογιζόμενος, ἀναχωρήσεως καταλαβούσης ἡγήσατο πάντα σκύβαλα. Εἰ δὲ λυπεῖται ἔν τινι, οὔπω ἀκτήμων γέγονεν. Ἀκτήμων ἀνὴρ ἐν προσευχῇ καθαρὸς, ὁ δὲ φιλοκτήμων εἰκόνας ὕλης προσεύχεται· οἱ ἐν ὑποταγῇ διατρίβοντες, φιλαργυρίας ἀλλότριοι· ὅπου γὰρ καὶ τὸ σῶμα ἐξέδωκαν, τί λοιπὸν κέκτηται ἴδιον; Ἐν οἷ τοιοῦτοι ἀδικεῖσθαι πεφύκασιν, εἰς μετάβασιν εὐχερεῖς καὶ ἕτοιμοι ὑπάρχοντες. Εἶδον ὕλην ὑπομονὴν μοναχοῖς ἐν τόπῳ γεννήσασαν. Ἐκείνων δὲ ἐγὼ τοὺς διὰ Κύριον πελαζομένοις πλέον ἐμακάρισα. Ὁ γευσάμενος τῶν ἄνω, εὐχερῶς καταφρονεῖ τῶν κάτω· ὁ δὲ ἐκείνων ἄγευστος, ἐπὶ κτήμασιν ἀγάλλεται. Ἄλογος ἀκτήμων δύο ἀδικεῖται· τῶν παρόντων ἀπεχόμενος, καὶ τῶν μελλόντων στερούμενος. Μὴ οὖν φανῶμεν, ὦ μοναχοὶ, τῶν πετεινῶν ἀπιστότεροι (2). Οὐ γὰρ μεριμνῶσιν, οὐδὲ συνάγουσιν· μέγας γὰρ ὁ ἀποκτώμενος εὐσεβῶς χρήματα· ἅγιος δὲ ὁ ἀποκτώμενος τὸ ἑαυτοῦ θέλημα. Ὁ μὲν ἑκατονταπλασίονα ἢ

[76] Philipp. III, 8.

(*a*) Camaldul. non distinguit hunc gradum a priore, sed membranæ et chartæ omnes secernunt.

(*a*) Id est, idola materiæ adorat, sive imagines rerum corporearum sibi imaginatur.

(*a*) *Stulte, quid est somnus, gelidæ nisi mortis imago?*

δι᾽ χρημάτων, ἢ διὰ χαρισμάτων λήψεται· ὁ δὲ ζωὴν αἰώνιον κληρονομήσει· οὐκ ἐκλείψει κύματα θάλασσαν, οὐδὲ φιλάργυρον ὀργὴ καὶ λύπη. Ὁ καταφρονήσας ὕλης, ἐλυτρώθη δικαιολογίας καὶ ἀντιλογίας· ὁ δὲ φιλοκτήμων ὑπὲρ ῥαφίδος ἕως θανάτου πυκτεύει· πίστις ἀκλινὴς περικόψει φροντίδας· θανάτου δὲ μνήμη ἀπαρνεῖται καὶ σῶμα. Οὐκ ἦν ἐν τῷ Ἰὼβ φιλαργυρίας ἴχνος· διὸ καὶ στερηθεὶς, ἀθόρυβος ἔμεινε. Ῥίζα πάντων τῶν κακῶν ἐστι καὶ λέγεται ἡ φιλαργυρία· μῖσος γὰρ, καὶ κλοπὰς, καὶ φθόνους, καὶ χωρισμοὺς, καὶ ἔχθρας, καὶ ζάλας, καὶ μνησικακίας, καὶ ἀσπλαγχνίας, καὶ φόνους αὕτη ἐποίησε. Διὰ μικροῦ πυρός τινες πολλὴν ὕλην κατέκαυσαν, καὶ διὰ μικρᾶς ἀρετῆς ὅλα τὰ παρόντα, καὶ τὰ εἰρημένα ἔφυγον πάθη· αὕτη καλεῖται ἀπροσπάθεια. Ταύτην δὲ ἔτεκε πεῖρα καὶ γεῦσις γνώσεως Θεοῦ, καὶ φροντὶς ἀπολογίας ἐξόδου. Οὐκ ἠγνόηται μὲν τῷ μετὰ προσοχῆς ἀνεγνωκότι πάσης τῆς μητροκάκου ὁ λόγος (3). Φησὶ γὰρ ἐν τῇ πονηρᾷ αὐτῆς καὶ ἐπαράτῳ τεκνογονίᾳ, δεύτερον αὐτῆς εἶναι ἀπόγονον, τὸν ἀναισθησίας λίθον· κεκώλυκε δέ με τὴν οἰκείαν αὐτῷ τάξιν ἀπονεῖμαι ὁ πολυκέφαλος τῆς εἰδωλολατρίας ὄφις. Τρίτην πῶς οὐκ οἶδα λαχὼν παρὰ τοῖς διακριτικοῖς τῶν πατέρων ἐν τῇ τῶν ὀκτὼ ἀλύσει· ὃν συμμέτρως ἀποπεράναντες λέγειν λοιπὸν περὶ ἀναισθησίας βουλόμεθα, ὡς τρίτης ὑπαρχούσης τῆς ἐν γενέσει δευτέρας, μεθ᾽ ἣν λοιπὸν καὶ περὶ ὕπνου καὶ ἀγρυπνίας· οὐ μὴν δὲ ἀλλὰ καὶ περὶ τῆς νηπιώδους καὶ ἀνάνδρου δειλίας, βραχέα διαλάβωμεν· εἰσαγωγικῶν γὰρ τὰ τοιαῦτα νοσήματα.

tibus non fruitur, futuris bonis privatur. Cavcamus o monachi, ne alitibus deteriores videamur, quæ (de crastino) non sollicitæ sunt, neque congregant. Magnus est qui se pecuniis suis religiose abdicat: sed ille sanctus est qui de suæ voluntatis jure sponte decedit. Ille quidem centuplum accipiet, sive per pecunias, sive per cœlestia dona et gratias; hic vero vitam æternam possidebit. Nunquam fluctus destituent mare, neque unquam avarus carebit molestia et ira. Qui opes contempsit, ab omnibus litibus et controversiis sese expedivit. Auri mancipium super acu ad necem usque decertabit. Inconcussa fides tollit omnes curas. Mortis meditatio ipsum abnegat corpus. Nullum in patiente Job vestigium fuit avaritiæ, unde factum est ut omnibus bonis funditus eversus, tamen non perturbaretur. Avaritia est et dicitur omnium malorum radix, quæ odia, furta, invidiam, divortia, inimicitias, perturbationum procellas, injuriarum memorias, inhumanitatem, et cædes denique creare solet. Per exiguum igniculum magna sæpe silva exusta est, et per exiguam parvamque virtutem multi omnia præsentia quæ diximus, vitia effugerunt. Hæc paupertas recte appellatur omnium malarum cupiditatum privatio, quam peperit divinæ cognitionis gustus et usus, atque rationis in morte reddendæ sollicitudo. Non ignoratis qui cum attentione legit quartum decimum caput seu gradum de gula omnium malorum parente, quæ in improba et exsecrata sua progenie affirmavit, **258** secundam suam prolem esse saxeum animi stuporem, cui quominus suum locum darem, intercessit multiceps draco et idolorum cultrix avaritia : tertium locum qua ratione apud prudentes Patres in illa octo vitiorum serie et catena occuparit, nescio. Sed avaritiam cum mediocriter explicaverimus, deinceps de illo animi stupore dicere statuimus, ut qui tertius in ordine, sed propagine secundus est. Post quem de somno et vigilia, necnon de puerili et degenere timore breviter tractabimus, quæ sunt vitia et morbi plerumque tironum.

Ἑπτακαιδέκατον ἆθλον ὁ κτησάμενος, πρὸς οὐρανὸν ἀΰλως ὁδοιπορεῖ.

Septimum decimum certaminis præmium adeptus ad cœlum quodammodo sine re, terrena proficiscitur.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΙΖ'.

SCHOLIA AD GRADUM XVII.

Περὶ ἀκτημοσύνης.

De paupertate spiritus.

Σχόλιον α'.

Scholion 1.

Ἀκτημοσύνη ἐστὶ νοητὴ, ἡ παντελῶς ἀπάθεια, καθ᾽ ἣν γενόμενος ὁ νοῦς ἀναχωρεῖ τῶν ἐνταῦθα.

Paupertas est omnino perfecta animi tranquillitas, quam assecutus animus prorsus a rebus præsentibus recedit.

Ἄλλο τοῦ ἁγίου Μαξίμου.

Aliud sancti Maximi.

Ἀκτήμων ἐστὶν ὁ ἀποταξάμενος πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καὶ μηδὲν τὸ σύνολον ἐπὶ τῆς γῆς κεκτημένος, πλὴν τοῦ σώματος, καὶ τὴν πρὸς αὐτὸ δὲ σχέσιν διαῤῥήξας, τῷ Θεῷ καὶ τοῖς εὐσεβέσι τὴν ἑαυτοῦ κατεπίστευσεν οἰκονομίαν.

Ille nihil possidet et vere pauper est, qui se omnibus suis bonis abdicavit, et nihil prorsus in terra possidet, præter corpus : quique omnem ad id affectionem abrupit, Deoque et religiosis patribus curam vitæ commisit.

Τοῦ αὐτοῦ.

Aliud ejusdem.

Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ, καὶ τοῖς χρήμασι, καὶ τοῖς ἐξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε μοναχὸν, οὔπω δὲ καὶ τὸν ἔσω· ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τὸν ἔσω ἄνθρωπον, ὅς ἐστιν ὁ νοῦς· καὶ τὸν μὲν ἔξω ἄνθρωπον εὐ-

Qui rebus humanis se abdicavit, uxori nempe, opibus, et hoc genus aliis, exteriorem hominem fecit monachum, nondum autem interiorem. Qui autem affectum etiam animi et cogitationum erga easdem res exuit, ille etiam interiorem hominem

mutavit in monachum, qui est animus. Et qua exteriora facile quis monachum induat, modo velit, **259** sed interiorem hominem in monachum transformare, hoc opus, hic labor est.

Scholion 2.

Altius intellige, et volucres cœli interpretare eos qui contemplationi addicti, rebusque omnibus humanis et sæcularibus turbis penitus abdicati, tantum divinis et cœlestibus animo sunt intenti.

Scholion 3.

Sive gulæ, cujus ibi alteram prolem appellavit duritiem cordis, hic eamdem vocat stuporem sensuum seu mentis, quo significat idem esse animi stuporem et duritiem cordis.

A χόλως τις ποιεῖ μοναχὸν, μόνον ἐὰν θελήσῃ, οὐκ ὀλίγος δὲ ἀγὼν, τὸν ἔσω ἄνθρωπον ποιῆσαι μοναχόν

Σχόλιον β'.

Νόησον ὑψηλότερον, πετεινὰ οὐρανοῦ τοὺς τὴν θεωρητικὴν μετιόντας φιλοσοφίαν, καὶ τῆς μὲν κοσμικῆς σχέσεως καὶ τύρβης ἀπεξενωμένους παντάπασι, πρὸς μόνα δὲ θεῖα καὶ ἐπουράνια τὸν νοῦν ἐπανατείνοντας.

Σχόλιον γ'.

Ἤγουν τῆς γαστριμαργίας, ἣς ἀπόγονον ἐκεῖ δεύτερον ὀνομάσας τὴν σκληρότητα τῆς καρδίας, νῦν ἀναισθησίαν λέγει ταύτην ὡς τῆς ἀναισθησίας καὶ B τῆς σκληρότητος τὸ αὐτὸ σημαινούσης.

GRADUS XVIII.

De insensibili mentis stupore seu duritie et morte animæ ante mortem corporis.

Stupor sensuum tam in corpore quam spiritu est mortuus sensus, qui ex diuturno morbo, et negligentia in stuporem sensuum desinit. Indolentia est negligentia quæ in usum et habitum venit, torpor quidam mentis, præsumptionis partus, alacritatis pedicæ, generosi animi laqueus, compunctionis ignorantia, janua desperationis, oblivionis parens; quam ubi pepererit, ipsa nata fit mater suæ matris, quæ timorem Domini penitus excludit. Religiosus stupidus et exsensus, et stultus philosophus qui docendo seipsum condemnat; orator qui contra seipsum causam agit; cæcus videndi medicus; doctor, C qui de vulnere curando disputat, et vulnus ipsum interim refricando exulcerare non cessat. Contra morbum disserit, et ipse ab noxiis cibis non abstinet: contra **260** se deprecatur, et statim ad pravam agendi consuetudinem revertitur: in qua dum versatur, contra seipsum indignatur, et super suis verbis infelix non erubescit. Male facio, clamat, in facinus tamen graviter incumbit. Ore contra se precatur, corpore pro se laborat. De morte philosophatur, et ipse ut immortalis est effectus. De migratione vitæ ingemiscit, et ipse velut æternus futurus dormitat. De abstinentia dissertat, et gulæ genioque liberaliter indulget. Lectitat de extremo judicio, et subridere incipit; de vana item gloria, et sub ipsa lectione gloriam vanam aucupatur. Vigilias eructat, et ipse statim alto sopore mergitur. Preces laudibus celebrat, a quibus tamen tanquam a flagro refugit et abhorret. Obedientiam beatam prædicat, quam primus ipse violat [cui primus ipse repugnat]. Extollit illos qui nullius rei cupiditate tenentur, et ipse pro vilissimo panni flocco non erubescit irasci et rixari. Indignatur cum irascitur, et quod indignatus sit, iterum irascitur, et cum identidem vincatur et ruat, iterumque vincatur et ruat, ruinam tamen stupidus non sentit. Bene saginato ventre pœnitet, et paulum progressus saginam saginæ addit, et iterum vorat. Silentium beatum affirmat, et contra silentium multa de laupibus silentii garrit; de mansuetudine docet, et in-

ΛΟΓΟΣ ΙΗ'.

Περὶ ἀναισθησίας ἤγουν νεκρώσεως ψυχῆς, καὶ θανάτου νοὸς πρὸ θανάτου σώματος

Ἀναισθησία καὶ ἐπὶ σωμάτων (1) καὶ ἐπὶ πνευμάτων ἐστὶν νενεκρωμένη αἴσθησις, ἐκ χρονίας νόσου, καὶ ἀμελείας εἰς ἀναισθησίαν καταλήξασα. Ἀναλγησία ἐστὶ πεποιωμένη ἀμέλεια, ναρκῶσα ἔννοια· προλήψεως γέννημα, προθυμίας παγὶς, ἀνδρείας βρόχος· κατανύξεως ἄγνοια· ἀπογνώσεως θύρα, λήθης μήτηρ (2), καὶ μετὰ τόκον μητρὸς οἰκείας μήτηρ, διάκρισις φόβου· ἀνάλγητός ἐστιν ἄφρων φιλόσοφος αὐτοκατάκριτος ἐξηγητής· αὐτεναντίος φιλολόγος (3), τυφλὸς διδάσκαλος τοῦ βλέπειν (4)· περὶ τῆς τοῦ τραύματος ὑγιείας διαλέγεται, καὶ τοῦτο ἐπικνήθων οὐ παύεται, κάτα τοῦ πάθους φθέγγεται (5)· καὶ τὰ βλάπτοντα ἐσθίων οὐ παύεται· κατ' αὐτοῦ προσεύχεται, καὶ εὐθέως ἐπὶ τὴν αὐτοῦ ἐργασίαν πορεύεται· ἐπὶ τῇ τούτου ἐργασίᾳ κατ' αὐτοῦ ὀργίζεται· καὶ τοὺς ἑαυτοῦ λόγους οὐκ αἰσχύνεται ὁ τάλας. Κακῶς πράττω, βοᾷ, καὶ προθύμως ἐπίκειται· τὸ στόμα κατ' αὐτοῦ προσεύχεται, καὶ τὸ σῶμα ὑπὲρ αὐτοῦ ἀγωνίζεται. Περὶ θανάτου φιλοσοφεῖ, καὶ ὡς ἀθάνατος διάκειται. Περὶ χωρισμοῦ στενάζει, καὶ ὡς αἰώνιος νυστάζει. Περὶ ἐγκρατείας διαλέγεται, καὶ περὶ γαστριμαργίας ἀγωνίζεται. Περὶ κρίσεως ἀναγινώσκει, καὶ μειδιᾷν ἄρχεται περὶ κενοδοξίας, καὶ ἐν αὐτῇ τῇ ἀναγνώσει κενοδοξεῖ· περὶ ἀγρυπνίας ἐκστηθίζει, καὶ τῷ ὕπνῳ εὐθέως ἑαυτὸν καταβαπτίζει· τὴν προσευχὴν ἐγκωμιάζει, καὶ ὡς ἀπὸ μάστιγος ταύτης φεύγει· τὴν ὑπακοὴν μακαρίζει, καὶ D πρῶτος αὐτὸς παρακούει. Τοὺς ἀπροσπαθεῖς ἐπαινεῖ, καὶ διὰ ῥάκος μνησικακῶν, καὶ πολεμῶν οὐκ αἰσχύνεται. Ὀργιζόμενος πικραίνεται, καὶ ἐπὶ τῇ πικρίᾳ πάλιν ὀργίζεται, καὶ τῇ ἥττῃ ἧτταν προστιθεὶς οὐκ αἰσθάνεται· κορεσθεὶς μεταμελεῖται, καὶ μικρὸν προβὰς, πάλιν τῷ κόρῳ προσέθηκε. Τὴν σιωπὴν μακαρίζει, καὶ διὰ πολυλογίας αὐτὴν ἐγκωμιάζει. Περὶ πραότητος διδάσκει, καὶ ἐν αὐτῇ τῇ διδασκαλίᾳ πολλάκις ὀργίζεται, καὶ ἐπὶ τῇ πικρίᾳ πάλιν ὀργίζεται· ἀνανήψας ἐστέναξε, καὶ τὴν κεφαλὴν κινήσας πάλιν τοῦ πάθους ἔχεται. Τὸν γέλωτα ψέγει, καὶ μειδιῶν περὶ πένθους διδάσκει. Ἑαυτὸν ὡς κενόδοξον ἐπί τινων καταμέμφεται, καὶ διὰ τοῦ ψόγου δόξαν ἑαυτῷ πραγματεύεται. Ἐμπαθῶς εἰς πρόσωπον βλέπει, καὶ

περὶ σωφροσύνης διαλέγεται. Τοὺς ἡσυχάζοντας ἐν κόσμῳ διατρίβων ἐπαινεῖ, καὶ ἑαυτὸν αἰσχύνων οὐ κατανοεῖ. Τοὺς ἐλεήμονας δοξάζει, καὶ τοὺς πτωχοὺς ὀνειδίζει. Πάντοτε ἑαυτοῦ κατήγορος γίνεται (6), καὶ εἰς συναίσθησιν ἐλθεῖν οὐ βούλεται, ἵνα μὴ εἴπω οὐ δύναται.

ter docendum sæpe irascitur, et rursum quod irascatur, irascitur. Resipiscens ingemiscit, et motato capite rursus relabitur. Risum reprehendit, et ipse de luctu subridens docet. **261** Seipsum vanæ gloriæ coram aliquibus reum profitetur, et per ipsam hanc professionem vanam gloriam captat. Impudice vultus aliorum contemplatur, et de pudicitia interea argumentatur. Vitam solitariam ipse extra solitudinem in sæculo degens collaudat, et quod seipsum redarguat ac pudefaciat, stupidus non intelligit. Benignos in pauperes laudibus prosequitur, et ipse mendicis interim conviciatur. In omnibus seipsum accusat, et non studet resipiscere, ne dicam, non potest.

Ε�ώρακα ἐγὼ τοιούτους πολλοὺς περὶ ἐξόδου καὶ φοβερῶν κριτηρίων ἀκηκοότας καὶ δακρύοντας, καὶ ἔτι τῶν δακρύων ἐν ὀφθαλμοῖς ὑπαρχόντων σπουδαίως ἐπὶ τὴν τράπεζαν ἐβάδιζον. Καὶ τεθαύμακα πῶς καὶ πένθος αὐτῇ ἡ δέσποινα καὶ ὀζοθήκη τροπώσασθαι ἠδυνήθη ἐξ ἀναλγησίας πολλῆς κρατυνομένη. Κατὰ τὴν δύναμιν τὴν ψιλὴν τὴν προσοῦσάν μοι τῆς λιθώδους ταύτης, καὶ ἀκροτόμου μαινάδος, καὶ μωρᾶς τοὺς δόλους, καὶ μώλωπας γεγύμνωκα. Ἐπὶ πολὺ γὰρ φιλολογεῖν πρὸς αὐτὴν οὐκ ἀνέχομαι· ὁ δὲ δυνάμενος ἐν Κυρίῳ ἐκπειρασθῆναι ταῖς μώλωψι τὰ φάρμακα, μὴ κατοκνήσει· οὐ γὰρ αἰσχύνομαι πρὸς ταῦτα ἀδυναμίαν προβαλλόμενος ὡς ὑπὸ ταύτης ἰσχυρῶς κατεχόμενος, οὐδέ γε τοὺς δόλους αὐτῆς καὶ μηχανὰς ἐξ ἑαυτοῦ καταλαβέσθαι ἴσχυσα, εἰ μή γε αὐτήν που κατειληφὼς βίᾳ κεκράτηκε. Καὶ τὰ προλεχθέντα βασανίσας αὐτὴν ὁμολογῆσαι πεποίηκα, μάστιγι φόβου Κυρίου, καὶ ἀδιαλείπτου προσευχῆς μαστιγώσας αὐτήν. Διὸ καὶ ἔλεγεν ἡ τυραννὶς καὶ κακοῦργος· Οἱ ἐμοὶ ὑπόσπονδοι νεκροὺς ὁρῶντες γελῶσιν· ἐν προσευχῇ παριστάμενοι, λιθώδεις ὄλοι καὶ σκληροὶ καὶ σκοτεινοὶ τυγχάνουσι· πρὸς τὴν ἱερὰν τράπεζαν παριστάμενοι ἀναισθητοῦσι τοῦ ἄρτου μεταλαμβάνοντες ὡς ψιλοῦ ἄρτου ἐπιγεύσει διάκεινται· ἐγὼ κατανυσσομένους ὁρῶσα μυκτηρίζω. Πάντα τὰ τικτόμενα ἐξ ἀνδρείας καὶ πόθου ἀγαθὰ ἐγὼ ἀποκτείνειν ὑπὸ τοῦ ἐμὲ γεγεννηκότος πατρὸς μεμάθηκα. Ἐγὼ γέλωτος μήτηρ· ἐγὼ ὕπνου τροφός· ἐγὼ κόρου φίλη· ἐγὼ ψευδευλαβείᾳ συμπλέκομαι· ἐγὼ ἐλεγχομένη οὐ πονῶ· ἐγὼ οὖν ὁ τάλας τῆς μαινάδος τὸ λόγιον θαμβηθείς, ἠρώτων τοῦ ταύτην γεγεννηκότος τὸ ὄνομα μανθάνειν θέλων. Ἡ δέ· Γέννησιν μίαν οὐ κέκτημαι· μικτὴ δέ πως καὶ ἄστατος ἡ ἐμὴ καθέστηκα κύησις· ἐμὲ κρατύνει κόρος, ἐμὲ ηὔξησε χρόνος, ἐμὲ πεπαγίωκε συνήθεια πονηρὰ, ἐκείνην ὁ κατέχων οὐκ ἐλευθερωθήσεταί μου (7). Ἐπίμενε μελετῶν ἐν ἀγρυπνίᾳ πολλῇ κρίσιν αἰωνίαν, ἴσως μικρὸν ὑποχαλάσω σοι. Ὅρα τὴν ἐμὴν αἰτίαν πόθεν ἐν σοὶ τίκτομαι· καὶ κατὰ τῆς ἐμῆς ἀγωνίζου μητρός· οὐ γὰρ μίαν ἐν πᾶσι κέκτημαι. Ἐν σοροῖς προσεύχου πυκνά· εἰκόνα τούτων ἀνεξάλειπτον ζωγραφῶν ἐν σῇ καρδίᾳ· ταύτης γὰρ μὴ γραφείσης γραφείῳ νηστείας, οὐ μή με νικήσῃς εἰς τὸν αἰῶνα.

Vidi ergo permultos ex hoc genere hominum, cum de exitu vitæ, et tremendo Judicis tribunali, alios perorantes audirent, lacrymis perfundi, eosdemque lacrymantibus adhuc oculis ad mensam properare. Et demiratus sum, quomodo hæc olida domina ex diuturna indolentia et stupore corroborata potuerit etiam luctum ipsum vincere. Ego pro tenui mea facultate hujus saxeæ, præcipitisque et furiosæ ac stolidæ dominæ malas artes et vulnerum vibices detexi : nam multa cum illa fabulari et sermocinari non sustineo. Si quis tamen est, qui usu doctus vulneribus his mederi potest, id facere ne cunctetur. Ego quippe non vereor ingenue confiteri, meas ad hanc rem vires deficere, ut qui ipse huic vitio valde obnoxius sim, cujus strophas et fraudes ne deprehendere quidem per me potuissem, nisi improbam hanc insidiatricem vi comprehensam flagroque timoris Domini, et assiduis precibus tortam ea confiteri quæ de illa scripsi, coegissem. Itaque **262** improba illa et sæva tyrannis prolocuta : Fœderati mei, inquit, cadavera contemplantes rident, inter preces saxei et duri, confusique seu cæci sunt ; cum ad sacram synaxin accedunt sine ullo pietatis sensu cœleste donum, perinde ac si vile panis crustulum gustarent, percipiunt. Ego quando compunctos video irrideo. Ego omnia præclara opera ex generoso animo et bono affectu nata ab eo qui me genuit, patre, mactare didici. Ego parens sum levitatis et risus, ego nutrix somni : ego societatis amica : ego simulatæ pietati me adjungo : ego objurgata non dolco. Hæc ego infelix cum ab hac furia cognovissem, in summam admirationem raptus, et obstupefactus omnino cupivi nomen patris hujus cognoscere. Ego vero, inquit, non e simplici unaque stirpe nata sum : mistus enim mihi et incertus originis sanguis est, variaque conceptus ratio. Nimius me cibus roborat, tempus auget, improba consuetudo firmat [detinet], qua qui tenetur, a me nunquam liberabitur. Persevera in assidua per multas vigilias judicii extremi meditatione, et fortasse nonnihil tibi cedam. Dispice diligenter causam, ex qua tibi nata sum, et adversus matrem meam decerta, quam non unam habeo. In ossariis sepulcrorum frequenter precare, et in corde tuo imaginem mortuorum æternam depinge : hac enim in mente tua, penicillo jejunii non descripta, nullis sæculis me vinces.

263 SCHOLIA AD GRADUM XVIII.

De stupore animi.

Scholion 1.

Ille stupore laborat nervorum, cujus instrumenta sensuum sunt otiosa et enervata, quique destitutus est facultatibus naturæ, quibus sensuum officia exsequatur : eademque ratio cogitationum in eo qui animi stupore laborat.

Scholion 2.

Stupor animi et oblivio se mutuo pariunt, alteraque est alterius mater et soboles. Oblivio est memoriæ abolitio.

Scholion 3.

Sibi ipsi et verbis et factis suis contrarius.

Scholion 4.

Qui æger est ab animo, et aliis recte vivendi consilium suggerit, perinde facit ut cæcus qui aliis viam monstrat.

Scholion 5.

Sunt qui loquuntur de operibus quibus regnum Dei acquiritur, quæ tamen ipsi non faciunt. Sunt qui et faciunt, sed non caute et scienter : illi autem, de quibus sermo Salvatoris loquitur : *Regnum Dei intra vos est* [11], et pauci sunt et rari et inventu difficiles.

Aliud.

Hoc molestum est quod verbum ἀπάθειαν, hoc est, animi tranquillitatem omni pertubationum affectu carentem in ore habeamus, et in corde iniquitatem et malitiam seu vitium retineamus.

Aliud.

Nihil est pauperius, et miserius mente quæ caret Deo, et de Deo philosophatur et disputat.

Aliud.

Qui fatetur dulcedinem et non gustat de illa, hic amaram esse illam ostendit.

Aliud.

Qui se multa scire et pauca facere ostendit, ille morbo insensilis stuporis laborat.

Aliud.

Observa quod qui seipsum verbis damnat, nihil ex eo fructus percipiat, **264** nisi simul mores emendet, et melioribus permutet.

Gregorii Nysseni 6.

Quorum magnitudo mali simul sensum eorum quæ patiuntur abstulit.

Aliud Photii patriarchæ.

Virtutum paulatim defectio quantum de sensu peccantis subducit, tanto gravius damnum efficit. Postquam enim sensum mali exstinxit, morbum immedicabilem efficit.

Scholion 7.

A quorum oculis timor Dei absconditus recessit, hos insensibilis animi stupor comprehendit.

Aliud Isaaci.

Mens fermento vitiorum corrupta non potest effu-

[11] Luc. XVII, 21.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΙΗ'.

Περὶ ἀναισθησίας.

Σχόλιον α'.

Ἀναίσθητός ἐστιν ὁ ἀνέργητα κεκτημένος τὰ αἰσθητήρια, καὶ ἀφῃρημένος τὸ πεφυκὸς τῶν κατὰ τὰ αἰσθητήρια ἕξεων, καὶ ἐπὶ τῶν ἐννοιῶν ὡσαύτως.

Σχόλιον β'.

Ἀναισθησία καὶ λήθη ἀλληλομητρότεκνος γεννεά· λήθη ἐστὶ μνήμης ἀποβολή.

Σχόλιον γ'.

Ἑαυτῷ καὶ τοῖς ἰδίοις λόγοις, καὶ πράξεσιν ἐναντιούμενος.

Σχόλιον δ'.

Ὁ τὴν ψυχὴν ἀσθενῶν, καὶ τοῖς ἄλλοις διορθοῦσθαι συμβουλεύων, ὥσπερ ἄνθρωπός ἐστι τυφλὸς, καὶ δεικνύων τὴν ὁδόν.

Σχόλιον ε'.

Εἰσί τινες λαλοῦντες τὰ τῆς βασιλείας ἔργα, μὴ ἐργαζόμενοι δὲ αὐτά. Καὶ εἰσί τινες ἐργαζόμενοι τὰ τῆς βασιλείας, ἀλλ' οὐκ ἐν φυλακῇ, οὐδὲ ἐν γνώσει· ἐν οἷς δὲ γέγονεν ὁ λόγος τοῦ Σωτῆρος, τό· *Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστιν*, ὀλίγοι καὶ σπάνιοί εἰσι καὶ δυσεύρετοι.

Ἄλλο.

Τοῦτό ἐστι κόπος, ὅτι τὴν ἀπάθειαν ἔχομεν ἐν τῷ στόματι, τὴν δὲ ἀνομίαν, καὶ τὴν κακίαν ἐν τῇ καρδίᾳ.

Ἄλλο.

Οὐδὲν πτωχότερον διανοίας, ἐκτὸς Θεοῦ, φιλοσοφούσης τὰ τοῦ Θεοῦ.

Ἄλλο.

Εἴ τις ὁμολογεῖ γλυκύτητα, μὴ ἐσθίει δὲ ἀπ' αὐτῆς, ὁ τοιοῦτος πικρὰν αὐτὴν δείκνυσι.

Ἄλλο.

Ὁ γνωστικὸν ἑαυτὸν δεικνύων, καὶ οὐ μᾶλλον πρακτικὸν, ἀναισθησίαν νοσεῖ.

Ἄλλο.

Σημείωσαι ὅτι ὁ διὰ λόγου ἑαυτοῦ καταγινώσκων οὐδὲν ὠφελεῖται ἐκ τούτου, ἐὰν μὴ καὶ τὴν διὰ τρόπων ἐπιστροφὴν κτήσηται.

Σχόλιον Γρηγορίου Νυσσέως ς'.

Ὧν ἡ ὑπερβολὴ τοῦ κακοῦ, καὶ τὴν αἴσθησιν, ὧν πάσχουσι, προσαφῄρηται.

Ἄλλο Φωτίου πατριάρχου.

Ἡ κατὰ μέρος τῶν ἀρετῶν ἀπορροὴ, ὅσον ὑποκλέπτει τὴν αἴσθησιν, τοσοῦτον τὴν βλάβην χαλεπωτέραν ἐργάζεται· ἀνεπαίσθητον γὰρ ἐπιφερόμενον τὸ κακὸν, ἀθεράπευτον τὴν νόσον εἴωθε ποιεῖν.

Σχόλιον ζ'.

Ὧν ἀπὸ τῶν ὀφθαλμῶν ὁ φόβος ἀπεκρύβη τοῦ Θεοῦ, τούτους ἀναισθησία πεπέδηκεν.

Ἄλλο Ἰσαάκ.

Νοῦς ἐμπεφυρμένος οὐ δύναται φυγεῖν τὴν λή-

θην, καὶ ἡ σοφία τὴν ἑαυτῆς θύραν τῷ τοιούτῳ οὐκ ἀνοίγει.

A gere oblivionem, et sapientia tali aditum ad se præcludit.

ΛΟΓΟΣ ΙΘ'.

Περὶ ὕπνου καὶ προσευχῆς, καὶ τῆς ἐν συνοδίᾳ ψαλμῳδίας.

Ὕπνος ἐστὶ φύσεως ποσῶς σύστασις (1) εἰκὼν θανάτου, αἰσθήσεων ἀργία. Εἷς μὲν ὁ ὕπνος, πλείστας δὲ τὰς ὑποθέσεις, ὡς καὶ ἡ ἐπιθυμία ἔχει. Λέγω δὲ ἐκ φύσεως, ἐκ βρωμάτων, ἐκ δαιμόνων, ἢ τάχα που καὶ ἐξ ἄκρας ἐπιτεταμένης νηστείας· ἐξ ἧς ἐξασθενοῦσα ἡ σὰρξ, δι' ὕπνου λοιπὸν ἑαυτὴν παραμυθεῖσθαι βούλεται, ὥσπερ ἡ πολυποσία συνηθείᾳ ἥρτηται· οὕτως καὶ ἡ πολυϋπνία· διὸ ἐν ἀρχαῖς μάλιστα τῆς ὑποταγῆς κατ' αὐτῆς ἀγωνισώμεθα. Χαλεπὸν γὰρ συνήθειαν μακρὰν ἰάσασθαι· Ἐπιτηρήσωμεν καὶ εὑρήσομεν τῆς πνευματικῆς σάλπιγγος σημαινούσης ὁρατῶς μὲν ἀθροιζομένους ἀδελφοὺς, ἀοράτως δὲ συναγομένους τοὺς ἐχθρούς· διὸ οἱ μὲν ἐπὶ τὴν κλίνην ἐπιστάντες μετὰ τὴν ἀνέγερσιν, πάλιν ἡμᾶς ἐπὶ ταύτην ἀνακλιθῆναι ὑποτίθενται Μεῖνον, λέγοντες, ἄχρι συμπληρώσεως τῶν προοιμιακῶν ὕμνων, εἶθ' οὕτως ἐν τῇ ἐκκλησίᾳ πορεύσῃ. Οἱ δὲ ἐν τῇ προσευχῇ παριστάμενους τῷ ὕπνῳ καταβαπτίζουσιν. Ἕτεροι τὴν γαστέρα παρὰ τὴν συνήθειαν ἐπιτεταμένως νύττουσιν· ἄλλοι συντυχίας ποιεῖν ἐν τῷ Κυριακῷ προτρέπονται· ἄλλοι τὸν νοῦν εἰς λογισμοὺς αἰσχροὺς ὑποσύρουσιν· ἕτεροι δὲ τῷ τοίχῳ ἡμᾶς, ὡς ἐξατονήσαντας ἀνακλίνουσιν· ἔστι δὲ ὅτε καὶ χάσμαις πλείοσι περιβάλλουσι· τινὲς μὲν αὐτῶν γέλωτα πολλάκις ἐν τῷ τῆς προσευχῆς καιρῷ γενέσθαι ἐποίησαν, ἵνα δι' ἐκείνου τὸν Θεὸν καθ' ἡμῶν εἰς ἀγανάκτησιν διεγείρωσιν· ἄλλοι σπεύδειν ἡμᾶς ἐν τῇ ἐκ ῥᾳθυμίας βιάζονται (2)· ἄλλοι σχολαιότερον ψάλλειν ἐκ φιληδονίας προτρέπονται. Ἔστι δὲ ὅτε καὶ τῷ στόματι παρακαθήμενοι, κεκλεισμένον τοῦτο καὶ δυσάνοικτον ἀπεργάζονται. Ὁ Θεῷ παρίστασθαι λογιζόμενος, ἐν αἰσθήσει καρδίας, ἐν προσευχῇ στύλος ἀκίνητος εὑρεθήσεται, ὑπ' οὐδενὸς τῶν προειρημένων ἐμπαιζόμενος. Ὁ ὄντως ὑπήκοος, πολλάκις ἐξαίφνης ἐπὶ προσευχὴν ὅλως φωτεινὸς καὶ ἀγαλλιώμενος γίνεται. Προπαρεσκευασμένος γὰρ ἦν διὰ τῆς ἀνοθεύτου διακονίας καὶ προπεπυρωμένος ὁ πύκτης. Πᾶσι μὲν δυνατὸν μετὰ πλήθους προσεύχεσθαι, τοῖς πολλοῖς δὲ ἁρμόδιον μεθ' ὁμοψύχου μόνου. Ὀλίγων γὰρ λίαν ἡ μεμονωμένη προσευχή· μετὰ πλήθους ὑμνῶν, οὐ δυνήσῃ ἀῦλως προσεύξασθαι. Ἔστω δέ σοι εἰς ἐργασίαν νοὸς ἡ τῶν λεγομένων λογίων θεωρία, ἢ πάλιν ὡρισμένη εὐχὴ ἐν τῇ ἀναμονῇ τοῦ στίχου τοῦ πλησίον. Οὐδενὶ πρέπον ἐν προσευχῇ πάρεργον (3), μᾶλλον δὲ κάτεργον. Τοῦτο γὰρ σαφῶς ἐπαίδευσεν ὁ κατὰ τὸν μέγαν Ἀντώνιον ἄγγελος. Δοκιμάζει μὲν γὰρ κάμινος χρυσὸν (4), προσευχῆς δὲ παράστασις σπουδὴν καὶ ἀγάπην πρὸς Θεὸν μοναχῶν.

GRADUS XIX.

De somno, precibus, et in publico conventu psalmorum cantu.

Somnus est status seu affectus quidam naturæ, mortis imago (*a*), sensuum, quies et cessatio. Una quidem est ratio somni, sed plurimas, veluti cupiditas, habet causas. Ex natura, inquam, ex cibis, a dæmonibus, aut fortasse etiam ex summa et nimia jejunii inedia, qua debilitatum corpus per somnum deinceps conatur se reficere et recreare. Quemadmodum frequens et larga potitatio ex consuetudine nata est, ita multus et longus somnus : contra quem in ipso religionis et tirocinii exordio pugnandum est. Inveteratam enim consuetudinem emendare et sanare est difficile. Observemus accurate et intelligemus signo sacræ **265** tubæ canente cogi fratrum cœtus oculis parentes; simulque inaspectabiles hostes nostros concurrere qui ad lectum cubicularem astant, et nos postquam evigilavimus, rursum conantur in lectum dejicere. Mane, inquiunt, tantisper, dum primi psalmodiæ hymni absolvantur, et tum satis adhuc mature ad ecclesiam descendes. Alii precibus vacantes circumstant, ut nos somno mergant. Alii præter morem intempestive alvum vehementius urgent; alii nos ad fabulas in templo conserendas incitant; alii mentem ad impuras cogitationes pertrahunt; alii nos in parietem veluti debiles et exhaustos inclinant; alii crebris nos oscitationibus fatigant : nonnulli risum etiam ipso precandi tempore nobis movent, ut irati numinis indignationem adversus nos concitent; alii nos ad præcipitandos psalmorum versus ex ignavia impellunt; alii ut tardius cum quadam delectatione pronuntiemus hortantur; alii denique quasi linguam et os obsiderent, impediunt nos et os occludunt ut ægre labia aperiamus, dum psalmis vacamus. Qui Deo assistere se cogitat, in intimo sensu cordis inter preces tanquam immobilis columna reperietur, nulla re eorum quæ sunt enarrata delusus. Verus et obediens religiosus sæpe repente ad precandum prosilit totus illustratus cœlestibusque gaudiis inundatus et exhilaratus. Est enim hujuscemodi religiosus jam ante per sincerissimum et fidelissimum ministerium tanquam egregius pugil præparatus ad orationem. **266** Omnes quidem possunt inter multos cum multis precationi vacare, sed multis opportunius est cum uno solo ejusdem animi et affectus psallere. Paucorum enim est solitaria oratio; si cum multis psallas, non poteris contemplari sine imaginum formis. Sit tibi ad occupandam mentem sacrorum eloquiorum quæ recitantur, meditatio : aut etiam certa precatio, dum exspectas, quoad alter versum finiat (*b*). Non decet ullo modo ut inter preces aliud agatur seu necessarium sit, seu non necessarium.

(*a*) *Stulte, quid est somnus, gelidæ nisi mortis imago?*
(*b*) Alternis enim canebant, ut hodie passim in ecclesiis.

Hoc enim expresse docuit, teste magno Antonio, angelus; ignis explorat aurum, attenta et sincera oratio monachorum studium et charitatem erga Deum.

Hoc laudabile precandi studium qui possidet, Deum ad se invitat, et dæmonas fugat.

Ἔπαινετον ἔργον ὁ κτησάμενος, καὶ Θεῷ πλησιάζει, καὶ δαίμονας δραπετεύει.

SCHOLIA AD GRADUM XIX.

De somno

Scholion 1.

Est somnus, bona bonorum actio; et est laborum remissio, ut illud psalmi testatur : *Cum dederit dilectis suis somnum* [78]. Et : *Dormierunt somnum suum, et nihil invenerunt in manibus suis* [79].

Scholion 2.

Pigritiæ præses dæmon et stupor animi urgent nos ut in psalmorum recitatione properemus.

Scholion 3.

Observandum, nunquam, dum res divina fit, ullum opus manuum omnino attingendum.

Scholion 4.

Studium, inquit, precandi ostendit monachorum diligentiam et charitatem quam habent erga solum Deum, et non ad aliud aliquid, quam laborem corporis sive animi evagationem.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΙΘ'.

Περὶ ὕπνου.

Σχόλιον α'.

Ἔστιν ὁ ὕπνος, καὶ ἀγαθῶν εὐπραξία, καὶ καμάτων ἄνεσις, κατὰ τὸ, *Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον.* Καὶ, *Ὑπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδέν.*

Σχόλιον β'.

Καὶ ὁ δαίμων ὁ τῆς ἀκηδίας, σπεύδειν ἡμᾶς ἐν τῇ στιχολογίᾳ ποιεῖ, καὶ ἡ ἀναισθησία.

Σχόλιον γ'.

Σημειωτέον ὅτι ἐν οὐδεμιᾷ λειτουργίᾳ αὐτοῦ τινὰ χρὴ ἐργόχειρον κρατεῖν τὸ σύνολον.

Σχόλιον δ'.

Ἡ τῆς προσευχῆς, φησὶ, παράστασις, τὴν σπουδὴν καὶ τὴν ἀγάπην τῶν μοναχῶν φανεροῖ, ἣν πρὸς τὸν Θεὸν μόνον ἔχουσι, καὶ οὐ πρὸς ἄλλο τι, ἐργόχειρον, ἢ ῥεμβασμόν.

---

267 GRADUS XX.

De vigiliis corporis, quomodo per eas fiant vigiliæ spiritus, et quomodo hæ sint exercendæ.

Qui terrarum reges stipant, alii inermes et nudi sunt, alii fascibus, alii scutis, alii gladiis armati. Inter quos tamen ipsos magnum est et incomparabile discrimen, cum alii inter ultimos, alii inter primos sint. Hi quippe cognati et domestici familiaresque regis esse solent. Atque hæc in his fieri consueverunt. Enimvero videamus quomodo et nos geramus, quando Deo regi nostro in precibus diurnis, vespertinis et nocturnis assistimus. Sunt enim qui in vespertinis et nocturnis excubiis ab omnibus rerum aspectabilium curis nudi, et expediti puras ad Deum in precibus manus extendunt. Alii per psalmorum cantum in iisdem (excubiis) se Deo repræsentant. Alii in rerum sacrarum lectione pervigilant; alii mente debiliores, opere tamen faciendo generose cum somno colluctantur; alii assidua mortis consideratione sibi compunctionem conciliare student. Ex his omnibus primi et ultimi in Deo gratissimis precum pervigiliis excubant. Secundi monasticam precandi rationem sequuntur. Tertii extremum et infimum exercitationis gradum insistunt; Deus tamen pro ratione piæ voluntatis et facultatis **268** oblata illorum munera acceptat et æstimat. Vigil oculus omnes mentis labes abstersit. Multus somnus obtundit et obcæcat animam. Monachus vigilans hostis est luxuriæ : somnolentus vero illius est conturbernalis. Vigiliæ libidinis faces exstinguunt, insomnia fœda pellunt, oculos lacrymis suffundunt, conscientiam cordis teneram et delicatam reddunt, cogitationes in potestate habent et custodiunt : cibos tanquam fornax absumunt, vitia cupiditatum

[78] Psal. CXXVI, 2. [79] Psal. LXXVI, 6.

ΛΟΓΟΣ Κ'.

Περὶ ἀγρυπνίας σωματικῆς, πῶς διὰ ταύτης γίνεται ἡ τοῦ πνεύματος, καὶ πῶς δεῖ ταύτην μετιέναι.

Τοῖς ἐπὶ γῆς βασιλεῦσιν οἱ μὲν ἄοπλοί τινες καὶ γυμνοὶ, οἱ δὲ ῥάβδους κατέχοντες, οἱ δὲ θυρεοὺς, οἱ δὲ μαχαίρας παρίστανται· πολλὴ δέ τις ἡ διαφορὰ τῶν πρωτευόντων παρὰ τοὺς ἐσχάτους καὶ ἀσύγκριτος. Οὗτοι γὰρ καὶ συγγενεῖς κυρίως, καὶ οἰκεῖοι τοῦ βασιλέως εἶναι πεφύκασι. Καὶ ταῦτα μὲν ἐν τούτοις· φέρε δὴ λοιπὸν καὶ ἡμεῖς ἴδωμεν πῶς τὴν ἡμετέραν παράστασιν πρὸς τὸν Θεὸν καὶ βασιλέα ποιούμεθα, ἔν τε ταῖς ἑσπεριναῖς, καὶ ἡμεριναῖς, καὶ νυκτεριναῖς παραστάσεσι καὶ εὐχαῖς. Τινὲς μὲν γὰρ ἐν τῇ ἑσπερινῇ (1) διανυκτερεύσει ἄϋλοι, καὶ γυμνοὶ πάσης φροντίδος, ἐπὶ προσευχὴν τὰς χεῖρας ἐκτείνουσιν· ἕτεροι δὲ, μετὰ ψαλμῳδίας ἐν ταύταις παρίστανται· ἄλλοι, τῇ ἀναγνώσει μᾶλλον προσκαρτεροῦσι· τινὲς δὲ, διὰ τοῦ ἔργου τῶν χειρῶν ἐξ ἀσθενείας ἀνδρείως τῷ ὕπνῳ μάχονται (2)· ἄλλοι, τῇ τοῦ θανάτου ἐννοίᾳ προσασχολούμενοι, διὰ ταύτης κατάνυξιν προσλαβέσθαι βούλονται. Τούτων πάντων οἱ πρῶτοι καὶ ἔσχατοι θεοφιλεῖ προσκαρτεροῦσι διανυκτερεύσει· οἱ δὲ δεύτεροι, μοναχικῇ· οἱ δὲ τρίτοι ἐσχατωτέραν βαδίζουσιν ὁδόν· πλὴν κατὰ τὸν λογισμὸν καὶ τὴν (3) δύναμιν ὁ Θεὸς τὰ δῶρα δέχεται καὶ λογίζεται· ἄγρυπνον ὄμμα ἥγνισεν νοῦν. Πλῆθος δὲ ὕπνου ἐπώρωσε ψυχήν (4)· ὁ δὲ ὑπνώδης, ταύτης σύζυγος· ἀγρυπνία πυρώσεων θραῦσις· ἐνυπνιασμῶν λύτρωσις· κάθυγρος ὀφθαλμὸς, ἡπαλυμένη καρδία, λογισμῶν φυλακὴ, βρωμάτων χωνευτήριον, πνευμάτων δαμαστήριον, γλώττης κολαστήριον, φαντασιῶν φυγαδευτήριον. Μοναχὸς ἄγρυπνος (5), ἁλιευτὴς λογισμῶν, ἐν γαλήνῃ νυκτὸς εὐχερῶς τούτους κατανοεῖν (6), καὶ ἀγρεύειν δυνάμε-

νος· μοναχὸς φιλόθεος σάλπιγγος προσευχῆς σημαινούσης λέγει· Εὖγε, εὖγε! Ὁ δὲ ῥᾳθυμος λέγει. Οἴμοι, οἴμοι! Τραπέζης ἑτοιμασία ἐδοκίμασε γαστριμάργους· καὶ προσευχῆς ἐργασία ἐδοκίμασε φιλοθέους· ὁ μὲν πρότερος ἰδὼν ἐκείνην, σκιρτᾷ, ὁ δὲ δεύτερος σκυθρωπάζει· λήθης πρόξενος ὕπνος πολύς (7)· ἀγρυπνία δὲ μνήμην ἐκκαθαίρει· πλοῦτος γερωγοῖς ἐν ἄλωνι καὶ ληνῷ συνάγεται· πλοῦτός τε καὶ γνῶσις μοναχοῖς ἐν ἑσπεριναῖς, καὶ νυκτεριναῖς παραστάσεσι, καὶ ἐργασίαις νοός· ὕπνος πολὺς σύμβιος ἄδικος· τὸ ἥμισυ τῆς ζωῆς τῶν ῥᾳθύμων ἁφαρπάζων ἀπ' αὐτῶν, ἢ καὶ πλέον. Ἀδόκιμος μοναχὸς (8) ἐν συντυχίαις ἄγρυπνος, καὶ ὥρας εὐχῆς καταλαβούσης, τοὺς ὀφθαλμοὺς ἐβαρήθη· μοναχὸς χαῦνος ἐν πολυλογίαις δόκιμος, καὶ ἀναγνώσεως ἐνεχθείσης, ἐμβλέπειν ἀπὸ τοῦ ὕπνου οὐ δύναται. Σάλπιγγος γινομένης νεκρῶν ἀνάστασις, καὶ ἀργολογίας καταλαβούσης κοιμωμένων ἀνάνηψις· δόλιος φίλος τοῦ ὕπνου ὁ τύραννος· χορεσθέντων ἡμῶν πολλάκις ὑποχωρεῖ· καὶ ἐν πείνῃ καὶ ἐν δίψῃ ἰσχυρῶς πολεμεῖ· ἔργον χειρῶν ἐν ταῖς εὐχαῖς βαστάζειν ὑποτίθεται· ἄλλως γὰρ τὴν προσευχὴν τῶν ἀγρυπνούντων ἀφανίζειν οὐ δύναται· τοῖς εἰσαγωγικοῖς πρῶτον ἐν τῷ πολέμῳ ὑπεισέρχεται, ἵνα ῥαθυμῆσαι ἐκ προοιμίων ποιήσῃ, ἢ ἵνα τῷ τῆς πορνείας προευτρεπίσῃ δαίμονι. Ἕως οὖ τούτου ἐλευθερωθῶμεν, μετὰ πλήθους ψάλλειν μὴ παραιτησώμεθα· πολλάκις γὰρ αἰδούμενοι, οὐ νυστάζομεν· ἐχθραίνει τοῖς λαγωοῖς ὁ κύων, καὶ τῷ ὕπνῳ ὁ τῆς κενοδοξίας δαίμων. Μετὰ μὲν τὴν ἡμέραν ὁ πράτης (9)· μετὰ δὲ τὴν ψαλμῳδίαν ὁ ἐργάτης καθεσθεὶς τὸ κέρδος ψηφίζει· ἔκδεξαι μετὰ προσευχὴν νηφόντως· καὶ τότε ὄψει ὁρμαθοὺς δαιμόνων ὡς πολεμηθέντας ὑφ' ἡμῶν μετὰ τὴν προσευχὴν ταῖς ἀτόποις ἡμᾶς φαντασίαις περιπείρειν δοκιμάζοντας· καθεσθεὶς τήρει, καὶ ὄψει τοὺς σεσυνηθικότας τὰς ἀπαρχὰς ἁφαρπάζειν τῆς ψυχῆς· ἔστι μὲν μετὰ τοὺς ὕπνους ἐκ συνεχείας μελετᾷν τὰ τῶν ψαλμῶν λόγια· ἔστι δὲ ὅτε οἱ δαίμονες ἡμῖν ταῦτα ὑποτίθενται, ἵνα πρὸς ὑπερηφανίαν ἀνεπάρωσι. Τὸ δὲ τρίτον λέγειν οὐκ ἤθελον, πλήν τίς με λέγειν βεβίακε. Ψυχὴ λόγον Κυρίου ἀδιαλείπτως μεθ' ἡμέραν μελετῶσα (10), καὶ τῷ ὕπνῳ ἐν τούτῳ ἐμφιλοχωρεῖν πέφυκεν. Ἀντιμισθία γὰρ κυρίως τοῦ προτέρου τὸ δεύτερον πρὸς ἀποτροπὴν πνευμάτων καὶ φαντασμάτων.

A et dæmonas edomant. Linguæ petulantiam plectunt, omnium phantasmatum formas delent. Pervigil monachus piscator cogitationum suarum, nullo negotio illas in tranquillitate noctis observat et capit. Monachus Dei amator signo ad comprecandum sonante (lætus et alacer) exclamat: Euge euge. Socors vero et ignavus ingemiscit: Heu mihi, væ mihi! Instructio mensæ ostendit gulosos studium precandi, veros Dei cultores, Deique amantes. Ille instructam mensam intuens exsultat gaudio; hic tristem vultum ostendit. Multus somnus oblivionem parit, vigiliæ repurgant memoriam. Agricolæ suas opes in area et torculario vini lacu colligunt: monachi thesaurum cœlestis cognitionis

B vespertinis et nocturnis precibus mentisque exercitatione et contemplatione sibi comparant. Multus somnus improbus est convictor, qui dimidium vitæ tempus, vel eo amplius ignavis et inertibus subducit et furatur. Illaudatus religiosus in familiari fratrum colloquio vigilat: cum precandi hora adest, somno premitur. Monachus solutus ad fabulas **269** promptus est et alacer: ubi sacra lectio proponitur, sopitus legere non potest. Quemadmodum ad tubam novissimam mortui exsurgent, ita nunc ad otiosas fabulas somnolenti monachi evigilant. Fallax est amicus somni dominus. Bene saginatis nobis sæpe se subducit: in fame vero et siti nos vehementer [acerrime] oppugnat. Suggerit quoque ut inter preces opus faciamus, quan-

C do aliter pervigilantium preces interpolare aut impedire et abolere non potest. Tironibus religiosis primum movet bellum per somnum, ut illos statim ab initio ignavos reddat, aut luxuriæ dæmoni aditum paret. Quoad ergo ab hoc tyranno liberemur, non gravemur cum toto fratrum cœtu psallere: sic enim verecundia præpediti sæpe non dormitabimus. Odit lepores canis, et somnum vanæ gloriæ spiritus. Mercator sub vesperam, religiosus post psalmodiam residens rationes parti lucri init. Post preces sobrius dura, et spectabis magnas dæmonum turmas a nobis opppugnatas post pias meditationes absurdis phantasmatum cogitationibus objectis conari nos infestare et circumvenire. Observa quietus et videbis qui sint qui rapere primitias

D animæ et cogitationum consueverunt. Est cum subinde in somno, propter assiduum precandi usum psalmorum oracula meditamur. Est etiam cum hostes improbi nobis illa suggerunt, ut nos in superbiam extollant. Tertium prudens tacuissem, nisi me quis per vim eloqui rem coegisset. **270** Anima quæ per diem verbum Dei perpetuo secum meditando revolvit, in somno quoque idem versare mente consuevit. Est enim hæc vera prioris exercitationis merces et remuneratio, qua improborum dæmonum phantasmata arcemus.

Βαθμὸς εἰκοστός· ὁ τοῦτον εἰληφὼς, φῶς ἐδέξατο [*al.* ἔλαμψεν] ἐν τῇ καρδίᾳ αὐτοῦ.

Gradus XX, quem qui superavit illius in corde cœleste lumen refulsit [hic in corde suo cœleste lumen recepit].

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Κ'.

Περὶ ἀγρυπνίας.

Σχόλιον α'.

Οὐχὶ ἡ στάσις ἐστὶν ὅλη ἡ ἀγρυπνία· οὐδὲ πάλιν ἡ στιχολογία τῶν ψαλμῶν μόνων· ἀλλ' ἔστιν ὁ ἐν

SCHOLIA AD GRADUM XX.

De vigiliis.

Scholion 1.

Non consistunt totæ vigiliæ in stando, aut . . citatione psalmorum; sed est, qui tota quidem

nocte psallit, et est, qui eamdem in studiis pœnitentiæ et precibus et inclinatione in terram consumit. Est etiam qui in fletu et lacrymis et planctu super admissis peccatis totam ponit. Exiguntur etiam vigiliæ, cum quis sub initium vesperi incipit a psalmorum recitatione, et reliquum noctis consumit in tropariis seu brevibus canticis directis ad Deum et sanctos. Fiunt rursum, cum Deo laudes decantantur, aut prælectioni impenduntur. Instituuntur etiam a quibusdam, qui sibi legem dicunt, ne genu ponant aut flectant ad exemplum illius, qui luxuriæ cogitationibus oppugnabatur.

Scholion 2.

Ex imbecillitate quidem animi, sed constanti patientia qua bellum adversus somnum sustinet.

Scholion 3.

Deus judicat et æstimat opera nostra pro ratione propositi : *Det*, inquit, *tibi Deus, secundum cor tuum* [80].

Scholion 4.

Semper quidem in orationibus et lectionibus vigilare jubemur, sed potissimum festis diebus. Vigilans monachus mentem suam exacuit, et subtiliorem reddit ad contemplationem, utilem animæ : multus somnus eamdem obtundit **271** et crassiorem efficit. Sed cave ne vigilias vanis fabulis aut improbis cogitationibus impendas. Præstat enim dormire quam vanis sermonibus et cogitationibus invigilare.

Scholion 5.

Quando per vigilias enervantur malitiæ spiritus, et bella mitigantur : aut quod per vigilias animæ hominum ad dolorem de peccatis concipiendum permoventur. Vigiliæ enim conterunt animam, et ad humilitatem deducunt.

Scholion 6.

Tuba quæ ad precandum nos excitat, ignavum a sedulo et alacri separat. Nam piæ cogitationes Deum amantium in perturbata mente durare non possunt, sed in animo curis vacuo conquiescunt.

Scholion 7.

Oblivio per se nullam habet vim, sed ab ignavia nostra pro rata portione vires sumit.

Aliud.

Ne dicas : Quid faciam ? Quia nolenti obrepit oblivio. Quia cum memor esses, neglexisti et elusisti officium tuum ?

Aliud.

Quod meministi, facito ; quod oblitus es, non erit tibi fraudi : sed aperietur tibi; interim non tradas temere cogitationes tuas et mentem oblivioni.

Scholion 8.

Melius est in silentio et scientia dormire, quam cum vaniloquiis vigilare.

Scholion 9.

Dies abiit et certamen; quæstus servatur. Mercator

[80] I Reg. I, 17.

ψαλμοῖς ἐκφέρων ὅλην τὴν νύκτα. Καὶ ἔστιν ὁ ἐν μετανοίαις, καὶ εὐχαῖς, καὶ κατακλίσεσιν ἐπὶ τῆς γῆς· καὶ ἔστιν ὁ ἐν κλαυθμῷ, καὶ ἐν δάκρυσι, καὶ θρήνοις ἐπὶ τοῖς παραπτώμασιν αὐτοῦ· καὶ γίνεται πάλιν ἡνίκα ὀλίγον ἐν τῇ ἑσπέρᾳ στιχολογεῖ τις καὶ τὸ ὑπόλοιπον τῆς νυκτὸς εἰς τροπάρια· καὶ γίνεται πάλιν εἰς δοξολογίαν, καὶ γίνεται εἰς ἀνάγνωσιν· καὶ γίνεται πάλιν ὅτι θεὶς ὅρον ἑαυτῷ, μὴ κλῖναι γόνυ, κατ' ἐκεῖνον τὸν πολεμούμενον ὑπὸ τοῦ τῆς πορνείας λογισμοῦ.

Σχόλιον β'.

Ἀσθενείας μὲν τοῦ νοός· ἀνδρείας δὲ τῆς ὑπομονῆς, τοῦ πρὸς τὸν ὕπνον πολέμου.

Σχόλιον γ'.

Ὁ Θεὸς τὰς πράξεις μετὰ τὰς προθέσεις λογίζεται· *Δώῃ γάρ σοι*, φησὶν, *ὁ Κύριος κατὰ τὴν καρδίαν σου.*

Σχόλιον δ'.

Ἀγρυπνεῖν ἐν προσευχαῖς καὶ ἀναγνώσεσι πάντοτε μὲν, ἐν ἑορταῖς δὲ μάλιστα προστετάγμεθα· ἄγρυπνος γὰρ μοναχὸς λεπτύνει διάνοιαν αὐτοῦ, πρὸς θεωρίαν ψυχωφελῆ· ὕπνος δὲ πολὺς νοῦν παχύνει· ἀλλ' ὅρα μὴ δῷς σεαυτὸν ἐν ἀγρυπνίᾳ διηγήμασι κενοῖς, ἢ λογισμοῖς πονηροῖς· κρεῖσσον γὰρ καθεύδειν, ἢ περὶ λόγους τε καὶ λογισμοὺς ἀγρυπνεῖν ματαίους.

Σχόλιον ε'.

Ὅτε διὰ τῆς ἀγρυπνίας ἐκνευροῦνται τὰ τῆς πονηρίας πνεύματα, καὶ οἱ πόλεμοι καταπραΰνονται, ἢ ὅτι διὰ τῆς ἀγρυπνίας εἰς κατάνυξιν ἄγονται αἱ τῶν ἀνθρώπων ψυχαὶ, συντριβούσης καὶ εἰς ταπείνωσιν ἀγούσης αὐτάς.

Σχόλιον ς'.

Σάλπιγξ εἰς προσευχὴν διεγείρουσα, τὸν ῥᾳθυμον ἀπὸ τοῦ προθύμου χωρίζει· καὶ γὰρ αἱ θεοφιλεῖς ἔννοιαι ἐν τεταραγμένῃ διανοίᾳ ἐμμένειν οὐ δύνανται, ἀλλ' ἐν νοῒ φροντίδων ἀπηλλαγμένῳ.

Σχόλιον ζ'.

Λήθη καθ' ἑαυτὴν οὐδεμίαν ἔχει δύναμιν, ἀλλ' ἐκ τῶν ἡμετέρων ἀμελειῶν μετὰ ἀναλογίαν κρᾰτύνεται.

Ἄλλο.

Μὴ λέγε· Τί ποιήσω; ὅτι οὐ θέλω, καὶ ἔρχεται. Διότι μνημονεύων παρελογίσω τὸ ὀφειλόμενον.

Ἄλλο.

Ὃ μνημονεύεις, ποίησον· καὶ ὃ ἀμνημονεῖς, ἀποκαλύπτεταί σοι· καὶ οὐ μὴ παραδῷς ἀκρίτως λήθῃ τὴν διάνοιαν.

Σχόλιον η'.

Ἀγαθὸν ὑπνοῦν ἐν σιωπῇ καὶ γνώσει, ἢ ἀγρυπνεῖν ἐν ματαιολογίᾳ.

Σχόλιον θ'.

Παρῆλθεν ἡ ἡμέρα, καὶ ὁ ἀγών· ἡ ἐμπορία ἐπι-

τηρεῖται· ὁ ἔμπορος ἐρευνᾷ τί ἔπραξεν, εἰ ἐζημιώθη, εἰ ἠττήθη· εἰ κατὰ ἄνθρωπον ἔπραξεν, εἰ κατὰ Θεὸν ἠγωνίσατο· τὸ μὲν γὰρ φιλοθέου· τὸ δὲ φιλοδόξου· καὶ τὸ μὲν κέρδος, τὸ δὲ ζημίαν (a) . . . . .

A quid egerit inquirit, an quæstum fecerit, an damnum acceperit, an victus sit, an quod fecit ad captandam humanam laudem retulerit; an pro gloria Dei decertarit. Hoc enim est hominis Deum vere amantis; illud ambitiosi et vanæ gloriæ studiosi. Et hoc lucrum, illud damnum parit.

Σχόλιον ι'.

Ὁ κατὰ τὸν Δαυῒδ τὸν νόμον τοῦ Κυρίου ὅλην τὴν ἡμέραν μελέτην ποιούμενος, καὶ ἐν τῷ ὑπνώττειν τοῦτο διὰ τῆς φαντασίας ἐμμελετᾷ· ὡς καὶ ἐπ' αὐτῷ πληροῦσθαι τὸ φάσκον λόγιον· καὶ ἐν τῷ νόμῳ Κυρίου μελετήσει ἡμέρας καὶ νυκτός· καὶ τὸ, Ἐγὼ (b) . . . . . .

Scholion 10.

Qui ad exemplum Davidis legem Domini meditatur tota die, etiam dum dormit, idem per formarum imagines [per phantasiam] revolvit, ut in ipso oraculum illud expleatur: *In lege Domini meditabitur die et nocte*[81]; et illud, *Ego* . . . .

ΛΟΓΟΣ ΚΑ'.

Περὶ τῆς ἀνάνδρου δειλίας.

Εἰ μὲν ἐν κοινοβίοις ἢ ἐν συνοδίαις τὴν ἀρετὴν μετέρχῃ, οὐ πάνυ ὑπὸ δειλίας πολεμεῖσθαι πέφυκας. Εἰ δὲ ἐν ἡσυχαστικωτέροις τόποις ἀγωνίζῃ, μή σου κυριεύσῃ τὸ τῆς κενοδοξίας γέννημα, καὶ ἀπιστίας θυγάτηρ· δειλία ἐστὶ νηπιώδες ἦθος ἐν γηραλέᾳ κενοδόξῳ ψυχῇ· δειλία ἐστὶν ἐκτροπὴ πίστεως (1) ἐπὶ προσδοκίᾳ ἀδοκήτων· φόβος ἐστὶ προμελετώμενος κίνδυνος. Ἢ πάλιν· φόβος ἐστὶ σύντρομος αἴσθησις καρδίας περὶ ἀδήλων συμφορῶν κλονουμένη, καὶ ἀσχάλλουσα· φόβος ἐστὶ πληροφορίας στέρησις. Ὑπερήφανος ψυχή (2) ἐστι δειλίας δούλη ἐφ' ἑαυτῇ πεποιθυῖα, καὶ κτύπους κτισμάτων καὶ σκιὰς δεδιῶσα. Οἱ μὲν πενθοῦντες καὶ ἀπηλγηκότες (3), δειλίαν οὐ κέκτηνται· ἔκστασιν δὲ πολλάκις δειλαινόμενοι ὑπομεμενήκασι· καὶ εἰκότως. Δικαίως γὰρ τοὺς ὑπερηφάνους ἐγκαταλιμπάνει Κύριος, ἵνα καὶ οἱ λοιποὶ παιδευθῶμεν μὴ ἐπαίρεσθαι· πάντες μὲν οἱ δειλιῶντες κενόδοξοι (4). Οὐ πάντες δὲ οἱ μὴ δειλιῶντες ταπεινόφρονες, ἐπεὶ καὶ λῃσταὶ καὶ τυμβωρύχοι οὐ δειλιαίνονται ὡς ἔτυχεν. Ἐν οἷς ἐκδειματοῦσθαι εἴωθας τόποις (5), ἀωρίᾳ μὴ ὄχνει παραγίνεσθαι. Εἰ δὲ ὑποχαλάσεις ὀλίγον, συγγηράσει σοι τοῦτο τὸ νηπιῶδες πάθος καὶ γελοῖον. Πορευόμενος (6), προσευχῇ ὁπλίζου· καταλαβὼν, τὰς χεῖρας διαπέτασον, Ἰησοῦ ὀνόματι μάστιζε πολεμίους· οὐ γάρ ἐστιν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ γῆς ἰσχυρότερον ὅπλον· ἀπαλλαγεὶς τῆς νόσου ἀνύμνει τὸν λυτρωσάμενον· εὐχαριστούμενος γὰρ εἰς αἰῶνα σκεπάσει σε· οὐδέποτε δυνήσῃ τὴν γαστέρα ὑφ' ἓν ἐμπλῆσαι· ὥσπερ οὐδὲ δειλίαν νικῆσαι: κατὰ τὸ μέτρον τοῦ πένθους θᾶττον ὑποχωρήσει, καὶ κατὰ τὴν ἐκείνου ἔλλειψιν δειλοὶ διαμένομεν· *Ἔφριξάν μου τρίχες, καὶ σάρκες*, ὁ Ἐλιφὰζ ἔφησε, τὴν τοῦ δαίμονος πανουργίαν διηγούμενος. Ποτὲ μὲν ἡ ψυχὴ, ποτὲ δὲ τὸ σῶμα προεδειλίασε· καὶ τῷ ἑτέρῳ τοῦ πάθους μετέδωκεν. Ὅταν τῆς σαρκὸς δειλανθείσης, ἐν τῇ ψυχῇ ὁ φόβος ὁ ἄκαιρος οὐκ εἰσέδυσε, πλησίον ἡ τῆς νόσου ἀπαλλαγή· ὅταν δὲ ὄντως δειλίας ἠλευθερώθημεν, οὐ τόπων σκοτία καὶ ἐρημία ἐνισχύει καθ' ἡμῶν τοὺς δαίμονας, ἀλλὰ ψυχῆς ἀκαρπία· ἔστι δὲ

272 GRADUS XXI.

De effeminata timiditate.

Qui in cœnobiis aut hominum religiosorum cœtibus virtutem sequitur, ab hoc pavore non multum oppugnatur. Tu vero qui in locis magis solitariis decertas, cave ne in te improba vanæ gloriæ soboles, et infidelitatis proles formido dominetur. Timiditas est pueriliis in senili et vanæ gloriæ obnoxia anima affectus. Timiditas est defectio fidei ex rerum inopinatarum exspectatione nata. Metus est præmeditatum periculum. Aut, metus seu timor est trepidus cordis sensus ex incertis calamitatibus conceptus et afflictus. Timor est confidentiæ perfectæ privatio. Anima superba est serva timiditatis sibi præsidens, et ad sonum adeoque ipsius umbræ pavens et tremens. Qui vere lugent et dolere desierunt, omnem ex animo pavorem abjecerunt. Pavidi vero seu formidolosi sæpe exanimantur, et in mentis stuporem incidunt, nec sane immerito. Sancte enim facit Deus cum superbos sua tutela destituit, uti nos quoque alieno malo sapiamus, et cristas demittamus. Omnes quidem timidi sunt vanæ gloriæ obnoxii; sed non omnes timoris expertes sunt humiles. Nam et latrones et bustirapi seu violatores sepulcrorum aliquando non timent. Quibus in locis terreri soles, hæc intempesta nocte adire nil cuncteris. Si vero his **273** terriculamentis vel medicum cesseris ét indulseris, puerilis hic et ridiculus affectus et metus tecum consenescet. Cum ad horrentia illa loca te confers, vide ut precibus armatus egrediaris. Quando eo perveneris, passis manibus implorato nomine Jesu hostes cæde. Neque enim in cœlo neque in terra sunt potentiora arma. Ubi evaseris ex hoc morbo, gratulare liberatori tuo victoriam, lauda illum, gratum enim tutabitur semper. Quemadmodum non uno momento placabis et saturabis ventrem, ita nec pavorem hunc extemplo pellis, sed pro ratione et modo sancti luctus celerius decedet, et, pro modo defectus illius pavidi manebimus. *Inhorruerunt pili et carnes meæ*, inquit Eliphaz, dum mali dæmonis malas artes ostendit[82]. Est cum prius anima, est cum corpus trepidare incipit,

[81] Psal. I, 2. [82] Job IV, 15.

(a) Desunt tria aut quatuor verba abrasa.

(b) Deest unus versus abrasus.

pavoremque inter se communicant. Quando pavente carne timor animum non percellit, propemodum curatus es. Ubi revera perfecte ab timiditate liberati fuerimus, tum nulla locorum obscuritas, nullæ solitudinis tenebræ hostes in nos armabunt, sed animæ sterilis jejunitas, et quandoque etiam castigatio divinitus immissa. Verus Dei famulus solum et unicum suum formidabit, hunc qui nondum metuit, ab umbra sua territus sæpe refugiet. Imminente nobis maligno et inaspectabili spiritu, pavet corpus; astante vero angelo exsultat humilium anima. Quapropter ubi ex effectu ejus præsentiam senserimus, statim ad preces exsiliamus, **274** venit enim ad nos cœlestis custos noster, ut nobiscum precetur, et nos adjuvet.

A ὅτε καὶ ἡ οἰκονομικὴ παίδευσις. Ὁ δοῦλος Κυρίου γενόμενος τὸν οἰκεῖον Δεσπότην καὶ μόνον φοβηθήσεται· ὁ δὲ τοῦτον οὔπω φοβούμενος, τὴν ἑαυτοῦ σκιὰν πολλάκις πεφόβηται, ἐπιστάντος μὲν ἀοράτου πνεύματος φοβεῖται τὸ σῶμα (7)· ἐπιστάντος δὲ ἀγγέλου ἀγάλλεται ταπεινῶν ἡ ψυχή. Διὸ ἐκ τῆς ἐνεργείας τὴν παρουσίαν νοήσαντες, θᾶττον εἰς προσευχὴν ἀναπηδήσωμεν, συμπροσεύξασθαι γὰρ ἡμῖν ὁ ἀγαθὸς ἡμῶν φύλαξ ἐλήλυθεν.

SCHOLIA AD GRADUM XXI.

B

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΑ'

De effeminata timiditate.

Περὶ δειλίας.

Scholion Isaaci monachi 1.

Homo timidus ostendit se duobus morbis laborare, modica fide, et corporis sui amore.

Σχόλιον Ἰσαὰκ α'.

Δειλὸς ἄνθρωπος σημαίνει, ὅτι δύο νόσους νοσεῖ, ὀλιγοπιστίαν καὶ φιλοσωματίαν.

Scholion 2.

Quando quis a modo et medio prudentiæ exciderit, timidus simul et audax efficitur, anima in morbo cubante et male affecta. Quemadmodum enim corpus quando temperamentum qualitatum perdidit omnibus morbis, propter humorum intemperiem tentatur et capitur : ita, anima postquam magnitudinem et excellentiam cum humilitate perdidit, induit quemdam imbecillum habitum et naturam, et timida simul et audax, adeoque fatua redditur, seipsamque ignorat : qui autem seipsum ignorat, quomodo noscet illa quæ supra ipsum sunt cœlestia ?

Σχόλιον β'.

Ὅταν τις ἐκπέσῃ τοῦ μέτρου τῆς φρονήσεως, καὶ δειλὸς ὁμοῦ καὶ θρασὺς γίνεται, τῆς ψυχῆς ἀσθενούσης γινομένης. Καθάπερ γὰρ τὸ σῶμα, ὅταν τὴν συμμετρον ἀπολέσῃ κρᾶσιν, γενόμενον δύσκρατον, πᾶσιν ἁλίσκεται τοῖς πάθεσιν· οὕτω καὶ ψυχή, ἐπειδὰν τὸ μεγαλοφυὲς ἀπολέσῃ καὶ τὸ ταπεινοφρονεῖν, ἕξιν δεξαμένη τινὰ ἀσθενῆ, καὶ δειλὴ καὶ θρασεῖα καὶ ἀνόητος γίνεται, καὶ ἑαυτὴν ἀγνοεῖ λοιπόν· ὁ δὲ ἑαυτὸν ἀγνοῶν, πῶς τὰ ὑπὲρ αὐτὸν εἴσεται;

Scholion 3.

Qui luctum sine consolatione suscipit, hic vicit timorem.

C

Σχόλιον γ'.

Πένθος ἀπαράκλητον ἐν καρδίᾳ δεξάμενος, οὗτος δειλίας ἀνώτερος γίνεται.

Isaaci 4.

Cordis audacia periculorumque contemptus ex uno de duobus nascitur, aut ex duritie et stupore cordis, aut ex multa erga Deum fide. Et cordis quidem duritiem sequitur superbia; fidem autem cordis humilitas.

Σχόλιον Ἰσαὰκ δ'.

Ἡ εὐτολμία τῆς καρδίας, καὶ ἡ καταφρόνησις τῶν κινδύνων, ἀπὸ ἑνὸς τῶν δύο γίνεται, ἢ ἐκ τῆς σκληροκαρδίας, ἢ ἐκ τῆς πολλῆς πρὸς Θεὸν πίστεως. Καὶ τῇ μὲν σκληροκαρδίᾳ ἀκολουθεῖ ὑπερηφανία, τῇ δὲ πίστει ταπεινοφροσύνη καρδίας.

Scholion 5.

Quemadmodum infantes formidolosæ et horridæ phasmatum larvæ territant, quas viri perfecti [prudentes] rident; ita superbos umbræ. Aut νηπιῶδες seu puerile, dixit, quod infantes in Christo, non perfectos jam, soleant hujusmodi formidines vexare et oppugnare.

Σχόλιον ε'.

Ὡς τοὺς νηπίους ἐκδειματοῦσι τὰ μορμολύκια, ἃ παρὰ τοῖς τελείοις γέλωτός εἰσιν ἄξια, οὕτω καὶ τοὺς ὑπερηφάνους αἱ σκιαί· ἢ νηπιῶδες, ὅτι τοῖς ἔτι νηπίοις ἐν Χριστῷ, οὐ τοῖς τελείοις πολεμεῖν ἤδη πέφυκε.

D

Scholion 6.

Fieri non potest, ut qui vere Deum timet, timiditati sit obnoxius, cum ipse dixerit nullum præter ipsum timendum.

Σχόλιον ς'.

Οὐ δυνατὸν, τὸν ἀληθινῶς φοβούμενον τὸν Θεὸν τὴν δειλίαν ἔχειν εἰρημένου, τοῦ πλὴν αὐτοῦ μὴ φοβεῖσθαι ἄλλον.

275 *Scholion* 7.

Modestia animi, simplicitasque cordis, discretionis gratia illuminata, discrimina spirituum ostendit et secernere facit.

Σχόλιον ζ'.

Μετριότης φρονήματος, καὶ ἁπλότης καρδίας πεφωτισμένη διακρίσεως χάριτι, τὰς διαφορὰς τῶν πνευμάτων διαγινώσκειν ποιεῖ.

GRADUS XXII.

De multiformi vana gloria.

Sunt qui seorsum ab superbia, singulari capite et sermone de vana gloria solent tractare, unde et octo capitalia et primaria vitia affirmant. Sed Gre-

ΛΟΓΟΣ ΚΒ'.

Περὶ τῆς πολυμόρφου κενοδοξίας.

Τινὲς μὲν ἰδιαιρέτῳ τάξει καὶ λόγῳ τὴν κενοδοξίαν παρὰ τὴν ὑπερηφανίαν φιλοῦσιν ὁρίζειν (1)· ὅθεν καὶ ὀκτὼ τοὺς τῆς κακίας λογισμοὺς πρωτεύοντας καὶ

ἐπιτρόπους λέγουσιν εἶναι. Ὁ δὲ θεολόγος Γρηγόριος, καὶ ἕτεροι ἑπτὰ πάλιν τούτους ἐξέδωκαν· οἷς ἔγωγε μάλιστα συντίθεσθαι πείθομαι. Τίς γὰρ κενοδοξίαν νικήσας ὑπερηφανίαν κέκτηται (2); Τοσαύτην δὲ μόνον πρὸς ἀλλήλας τὴν διαφορὰν κέκτηνται, ὅσην ἔχει τῇ φύσει ὁ παῖς παρὰ τὸν ἄνδρα, καὶ ὁ σῖτος παρὰ τὸν ἄρτον· ἀρχὴ μὲν γὰρ τὸ πρότερον, τέλος δὲ τὸ δεύτερον. Οὐκοῦν περὶ ἀρχῆς καὶ πληρώματος παθῶν τῆς ἀνοσίου οἰήτεως καιροῦ καλέσαντος (3), εἴπωμεν συντόμως. Ὁ γὰρ διὰ μήκους περὶ τούτων φιλοσοφεῖν ἐπιχειρῶν, ὅμοιός ἐστι τῷ περὶ ἀνέμων σταθμοῦ πολυπραγμονοῦντι εἰκῇ. Κενοδοξία ἐστὶ κατὰ μὲν τὸ εἶδος φύσεως ἐναλλαγὴ, καὶ ἠθῶν διαστροφὴ, καὶ παρατήρησις μέμψεως· κατὰ δὲ τὴν ποιότητα, καμάτων σκοπιστήριον, ἱδρώτων ἀπώλεια, θησαυροῦ ἐπιβουλὴ, ἀπιστίας ἔκγονος, ὑπερηφανίας πρόδρομος, ἐν λιμένι ναυάγιον, ἐν ἄλωνι μύρμηξ, λεπτὸς μὲν ὑπάρχων, παντὶ δὲ καμάτῳ καὶ καρπῷ ἐπιβουλεύων· ἀναμένει μύρμηξ τελεσθῆναι τὸν σῖτον, καὶ κενοδοξία συναχθῆναι τὸν πλοῦτον. Ὁ μὲν γὰρ χαίρει ἵνα κλέψῃ, ἡ δὲ ἵνα σκορπίσῃ· πνεῦμα ἀπογνώσεως χαίρει θεωροῦν πληθυνομένην κακίαν· πνεῦμα δὲ κενοδοξίας πληθυνομένην ἀρετήν· θύρα γὰρ τοῦ προτέρου τὰ πλήθη τῶν τραυμάτων· τοῦ δὲ δευτέρου, ὁ πλοῦτος τῶν καμάτων. Ἐπιτήρει (4), καὶ μέχρι μνήματος τὴν ἀνοσίαν ἀνθοῦσαν εὑρήσεις, ἐν ἱματίοις, καὶ μύροις, καὶ προπομπῇ, καὶ ἀρώμασι, καὶ ἑτέροις. Πᾶσιν ἀφθόνως λάμπει ὁ ἥλιος, καὶ πᾶσιν ἐπιτηδεύμασιν ἐπιχαίρει κενοδοξία (5)· οἷόν τι λέγω, νηστεύων κενοδοξῶ (6), καὶ καταλύων ἵνα μὴ γνωσθῶ, ὡς φρόνιμος πάλιν κενοδοξῶ. Λαμπρὰ περιβεβλημένος, ἡττῶμαι ταύτῃ, καὶ εὐτελῆ ἐξαλλάσσων, πάλιν κενοδοξῶ· λαλῶν ἡττῶμαι, καὶ σιωπῶν πάλιν ἡττήθην. Ὡς ἂν ῥίψῃς ταύτην τὴν τρίβολον, ὀρθὸν τὸ κέντρον ἵσταται. Κενόδοξός ἐστιν εἰδωλολάτρης πιστὸς, Θεὸν μὲν τῷ δοκεῖν σεβόμενος, ἀνθρώποις δὲ, καὶ οὐ Θεῷ, ἀρέσκειν βουλόμενος. Κενόδοξός ἐστι πᾶς φιλενδείκτης (7)· κενοδόξου νηστεία ἄμισθος, καὶ προσευχὴ ἄκαιρος· δι' ἔπαινον γὰρ ἀνθρώπων ἀμφότερα ἐργάζεται· κενόδοξος ἀσκητὴς ἀδικεῖται διπλῶς· καὶ τὸ σῶμα κατατήκων, καὶ μισθὸν μὴ λαμβάνων· τίς μὴ γελάσῃ τὸν τῆς κενοδοξίας ἐργάτην, ἐν ταῖς ψαλμῳδίαις ἱστάμενον, καὶ ὑπὸ ταύτης κινούμενον; Ποτὲ μὲν γελᾷν, ποτὲ δὲ ἐπὶ πάντων κλαίειν παρασκευάζει. Κρύπτει Κύριος ἐξ ὀφθαλμῶν ἡμῶν πολλάκις, καὶ ἅπερ κεκτήμεθα καλά. Ἀνὴρ δὲ ἐπαινέτης, μᾶλλον δὲ πλανήτης, διὰ τοῦ ἐπαίνου τοὺς ὀφθαλμοὺς ἡμῶν ἀνέῳξε. Τούτων δὲ ἀνοιγέντων ἅπαντος ὁ πλοῦτος ἐγένετο ἀφ' ἡμῶν· κολακευτής ἐστι δαιμόνων διάκονος (8), ὑπερηφανίας χειραγωγὸς, κατανύξεως ἐξολοθρευτὴς, καλῶν ἀφανιστὴς, πλάνος ὁδοῦ· *Οἱ γὰρ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς*, φησὶν ὁ προφήτης.

A gorius Theologus et alii septem duntaxat descripsere, ad quorum sententiam, meam quoque adjungo. Etenim quis vanæ gloriæ victor superbiæ sit obnoxius? Differunt autem inter se tantum, quantum puer a viro, et frumentum a pane. Vana gloriæ cupiditas est initium, superbia finis et absolutum vitium. Itaque de initio et fine hujus impii fastus et tumoris loco jam id exigente paucis dicemus : nam qui omnia de his vitiis persequi volet, perinde faciet atque is qui ventorum pondus nequidquam inquirit. Vana gloria, si formam seu speciem quæras, est naturæ permutatio, morum perversitas, et declinatio reprehensionis; si qualitatem, laborum est dissipatio, sudorum perditio, thesauri insidiatrix, infidelitatis soboles, nuntia superbiæ, in portu naufragium, in arca formica, parva quidem bestiola, sed quæ omnibus laboribus et frugibus **276** insidiatur. Exspectat formica dum messis colligatur, vana gloria dum virtutum opes comparentur : illa ut grana subducat, hæc ut virtutes dissipet. Spiritus desperationis gaudet, cum innumeram vim scelerum commissorum intuetur; spiritus vanæ gloriæ triumphat cum magnum virtutum thesaurum contemplatur; januam desperationi aperit vulnerum multitudo; vanæ gloriæ, collectus ex laboribus virtutum thesaurus. Observa et deprehendes hanc pestem usque ad sepulcrum et cineres flore vestium, unguentorum, aromatum, honore pomparum, et aliarum rerum delectari. Sol affatim omnia luce sua perfundit, et vana gloria omnibus virtutum studiis gaudet : cum, inquam, jejuniis operam do, vana gloria intumesco : cum jejunia latendi causa solvo, ut prudens efferor. Cum splendidus incedo, ab hac victus discedo; cum rursus viliori permuto, iterum vana gloria extollor. Quando loquor, huic succumbo, quando taceo rursum vincor : quomodocunque murices hos abjeceris, jeceris, sparseris, semper erectis mucronibus stabunt. Vanæ gloriæ mancipium est idololatria Christianus, qui in speciem quidem Deum colit, homini autem placere studet : vanæ gloriæ venator omnis est sui ostentator. Jejunium ejus qui vanam gloriam aucupatur, nullam habet mercedem. Preces illius ingratæ et intempestivæ sunt, utrumque enim propter laudem facit religiosus. Vanæ gloriæ auceps duplici incommodo mactatur, quod **277** et corpus affligat, et præmium inde nullum percipiat. Quis non vanæ gloriæ captatorem derideat, quem in precibus versantem vana gloria nunc ad risum, nunc ad lacrymas in omnium conspectu movet et incitat? Bonus Deus subinde virtutes quas possidemus, abscondit a nobis; laudator vero, imo deceptor, dum nos laudat, oculos aperit. His porro apertis, thesaurus virtutum omnium evanescit. Adulator est minister diaboli, et doctor superbiæ, perditor compunctionis, exstinctor virtutum, erroris dux, *Qui enim vos beatos prædicant, decipiunt vos* [83], inquit propheta.

[83] Isa. III, 12.

Excelsi quidem animi est generoso pectore et prompto animo injurias et contumelias sufferre et decoquere; sed nulla capi laudis dulcedine est plane viri religiosi et sancti. Vidi ego lugentes, dum laudarentur, ira accendi, et velut in publica concione affectum affectu commutare. *Nemo novit quid sit in homine nisi spiritus hominis* [84]. Erubescant ergo et obmutescant, qui nos in os audent laudare et beatos prædicare. Quando te quispiam ex proximis vel amicis etiam seu præsentem seu absentem calumniatus fuerit, hunc tu laudando amore te prosequi ostende. Est non exigua laus humanas laudes ab anima prorsus excludere : sed multo laudabilius est laudes dæmonum exsecrari. Non ille suam mihi humilitatem probarit, qui seipsum verbo parvipendit, aut vilem prædicat (quis enim aut quomodo seipsum non ferat), sed ille qui ab alio probris exagitatus, amorem erga exprobrantem **278** non imminuit. Animadverti spiritum vanæ gloriæ cogitationes quasdam fratri cuidam suggessisse, quas alteri quoque revelavit, effecitque ut is priori illi arcana cordis sui panderet, atque ita posteriorem deinceps ut divinum vatem beatum prædicaret. Quin aliquando idem improbus vanæ gloriæ dæmon etiam corporis membra invadere solet, ut palpitent et motibus quibusdam exsiliant. Repelle etiam illum, qui tibi pontificatus et cœnobiorum præfecturas et magisteria proponit. Difficile enim est canem a macello et mensa abigere. Ubi quempiam vel modicum viderit in quieto et tranquillo solitudinis statu profecisse, statim illum ut ex eremo in publicum prodeat, impellit. Abi, inquit, ad salutem pereuntium animarum conservandam. Alia forma est æthiopum, alia statuarum ; alia ratio est vanæ gloriæ apud eos qui in cœnobiis vivunt, et alia eorum qui in solitudine degunt. Sæcularium hominum adventus præcipit animo vana gloria, et leviusculos monachos incitat, ut illis obviam prodeant, et ad pedes eorum se abjiciant : simulatque humilitatem, cum plena turgeat superbia. Ad modestiam mores et vocem componit, et interim oculos in manus hospitum spe aliquid accipiendi, conjicit, dominos suos appellitat et præsides, et secundum Deum vitæ servatores. Vana gloria dum ad mensam accumbitur, suadet abstinentiam, et inferiores se acriter perstringit : inter [illegible]es ex ignavis facit generosos, ex raucis et absonis vocales **279** et sonoros ex somnolentis vigiles. Præfecto cantus adulatur rogatque ut sibi primas in psalmodia partes assignet, eumdemque patrem et magistrum vocitat, quoad hospites discedant. Honoratiores in cœnobio erigit in superbiam, viliores et abjectos injuriarum memores [contentiosos] efficit. Vana gloria sæpenumero pro honore ignominiam conciliat; nam irascentes sibi mutuo discipulos suos magno pudore afficit. Vana gloria iracundos natura, apud alios effingit mansuetos. Naturæ bonis et ornamentis mirifice exsultat, et per hæc ipsa miseros dejicit.

Vidi cum malus dæmon suum ipsius cultorem

Ὑψηλῶν μὲν, τὸ ὑπενεγκεῖν γενναίως καὶ ἀσμένως ὕβριν. Ἁγίων δὲ καὶ ὁσίων, τὸ ἀβλαβῶς παρελθεῖν τὸν ἔπαινον. Εἶδον πενθοῦντας ἐπαινεθέντας, καὶ εἰς ὀργὴν ἐξαφθέντας, καὶ ὡς ἐν πανηγύρει πάθος συναλλάξαντας. *Οὐδεὶς γινώσκει τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου.* Αἰσχυνέσθωσαν οὖν καὶ φιμούσθωσαν οἱ ἐπὶ πρόσωπον μακαρίζειν ἐπιχειροῦντες. Ὅταν ἀκούσῃς ὅτι ὁ πλησίον σου (9) καὶ ὁ φίλος ἐλοιδόρησέ σε ἀπόντα, ἢ παρόντα, τότε τὴν ἀγάπην ἔνδειξαι ἐπαινέσας αὐτόν· μέγα τὸ ἀποσείσασθαι ἐκ τῆς ψυχῆς ἔπαινον ἀνθρώπων· μεῖζον δὲ, ἔπαινον δαιμόνων. Ταπεινοφροσύνην ἔδειξεν (10), οὐχὶ ἑαυτὸν εὐτελίζων (πῶς γὰρ ἑαυτὸν οὐ βαστάσει;) ἀλλ' ὁ παρ' ἑτέρου ὀνειδισθείς, καὶ τὴν ἀγάπην αὐτοῦ μὴ μειώσας. Ἐπεσημεινάμην τὸν τῆς κενοδοξίας δαίμονα λογισμοὺς ἀδελφῷ ὑποβάλλοντα (11), καὶ ἑτέρῳ τούτους ἀποκαλύψαντα, κἀκείνῳ τὰ ἐγκάρδια αὐτοῦ εἰπεῖν παρασκευάσαντα, καὶ ὡς προγνώστην λοιπὸν τοῦτον μακαρίζοντα. Ἔστι δὲ ὅτε καὶ αὐτῶν των τοῦ σώματος μελῶν ἐφαπτόμενος παλμοὺς ποιεῖν ὁ ἀνόσιος πέφυκεν. Μὴ παραδέξῃ αὐτὸν, ἐπισκοπήν σοι, καὶ ἡγουμενείαν, καὶ διδασκαλίαν ὑποβάλλοντα. Κόπος γὰρ κύνα ἀπὸ μακελλικῆς τραπέζης διῶξαι. Ἐπὰν μικρόν τι εἰρηνικὴν ἴδῃ ἔχοντας κατάστασιν, εὐθὺς ἐκ τῆς ἐρήμου εἰς τὸν κόσμον παραγενέσθαι προτρέπεται, Ἄπελθε, λέγων, εἰς σωτηρίαν ἀπολλυμένων ψυχῶν. Ἄλλη μορφὴ Αἰθιόπων, καὶ ἑτέρα ἀνδριάντων· καὶ ἄλλος ὁ τῆς τῶν ἐν κοινοβίῳ διατριβόντων κενοδοξίας τρόπος, παρὰ τὸν τῶν ἐν ἐρήμοις ὄντων (12). Κοσμικῶν ἐπιδημίας προλαμβάνει κενοδοξία (13), καὶ τοὺς κουφοτέρους εἰς ἀπαντὴν τῶν ἐρχομένων μοναχοὺς προτρέπεται ἐξελθεῖν, πρὸ τῶν ποδῶν ἐκείνων παρασκευάζει προσπίπτειν, καὶ ταπείνωσιν ὑποδύεται ἡ ὑπερηφανίας ἀνάπλεως· ἦθος καὶ φωνὴν καταστέλλει, καὶ πρὸς τὰς χεῖρας τῶν ἐπιδημησάντων πρὸς τὸ λαβεῖν ἀποβλέπει, δεσπότας καλεῖ καὶ προστάτας, καὶ μετὰ Θεὸν τὴν ζωὴν χαριζομένους· εἰς τὴν τράπεζαν καθεσθέντας ἐγκρατεύεσθαι προτρέπεται· καὶ τοῖς κατωτέροις ἀνηλεῶς ἐπιπλήττει· ἐν ψαλμῳδίᾳ σταθέντας τοὺς ῥᾳθύμους ἀνδρείους ἐποίησε (14)· τοὺς ἀφώνους καλλιφώνους, καὶ τοὺς νυστακτὰς ἀγρύπνους. Τὸν ἐπὶ τοῦ κανόνος θωπεύει· καὶ τὰ πρωτεῖα αὐτῷ χαρίσασθαι δυσωπεῖ, πατέρα καὶ διδάσκαλον καλεῖ, ἄχρι τῆς τῶν ξένων ἀποδημίας· προτιμωμένους ὑπερηφάνους κατέστησε· καὶ καταφρονουμένους μνησικάκους ἔδειξε. Κενοδοξία ἀντὶ τιμῆς πολλάκις ἀτιμίας ἐγένετο πρόξενος (15)· ὀργισθεῖσι γὰρ τοῖς αὐτῆς μαθηταῖς αἰσχύνην μεγάλην προσήγαγεν. Κενοδοξία τοὺς ὀξεῖς ἐπὶ ἀνθρώπων πραεῖς εἰργάσατο· φυσικοῖς χαρίσμασιν ἐπιπηδᾷ μεγάλως

Εἶδον δαίμονα τὸν ἑαυτοῦ ἀδελφὸν λυπήσαντα καὶ

[84] I Cor. II, 16.

διώξαντα· ὀργιζομένου γάρ ποτέ τινος ἀδελφοῦ ἐν τῷ μεταξὺ κοσμικῶν παρουσία κατέλαβε, καὶ τῇ κενοδοξίᾳ ἐξ ὀργῆς μετεπράθη ὁ ἄθλιος· ὁμοθυμαδὸν γὰρ αὐταῖς δουλεῦσαι οὐκ ἠδύνατο. Ὁ κενοδοξίᾳ ἀπεμποληθεὶς διπλοῦν τὸν βίον κέκτηται· ἐν μοναχοῖς μὲν διατρίβων τῷ σχήματι, ἐν κόσμῳ δὲ τῷ φρονήματι καὶ τῷ ἐνθυμήματι. Ἐὰν πρὸς τὴν ἄνω εὐαρέστησιν τρέχειν ἐπειγώμεθα, τῆς ἄνω δόξης πάντως καὶ γευσόμεθα. Ἐκείνης δὲ ὁ γευσάμενος πάσης τῆς ἐπιγείου καταφρονήσει. Θαυμάζω γὰρ εἰ μὴ τῆς προτέρας τις γευσάμενος, πάσης τῆς δευτέρας κατεφρόνησε. Πολλάκις ὑπὸ κενοδοξίας συληθέντες, στραφέντες ἡμεῖς εὐφυεστέρως αὐτὴν ἐσυλήσαμεν. Εἶδόν τινας ἐργασίας πνευματικῆς ἐκ κενοδοξίας ἀπαρξαμένους, καὶ τῆς ἀρχῆς καταβληθείσης μωμητῆς (17), τὸ τέλος γέγονεν ἐπαινετὸν, διὰ τὸ μετενεχθῆναι τὴν ἔννοιαν. Ὁ ἐπὶ φυσικοῖς πλεονεκτήμασι (18), λέγω δὴ ἀγχινοίᾳ, εὐμαθείᾳ, ἀναγνώσει, προφορᾷ εὐφυΐᾳ, καὶ τοῖς τοιούτοις πᾶσι τοῖς ἀπόνως προσοῦσιν ἡμῖν ἐπαιρόμενος, οὐδέποτε τῶν ὑπὲρ φύσιν ἀγαθῶν ἐντεύξεται· *Ὁ γὰρ ἐν ὀλίγῳ ἄπιστος*, καὶ ἐν πολλῷ ἄπιστος, καὶ κενόδοξος· δι' ἀπάθειαν ἀκροτάτην, καὶ πλοῦτον χαρισμάτων, καὶ θαυμάτων ἐνέργειαν, καὶ προγνώσεως δύναμιν, τινὲς τὰ ἑαυτῶν σώματα εἰκῇ κατατρίβουσι (19)· λαθόντες οἱ τάλανες, ὡς οὐ πόνοι, ἀλλὰ μᾶλλον ταπείνωσις τῶν τοιούτων μήτηρ καθέστηκεν. Ὁ δὲ χρεώστην ἑαυτὸν λογιζόμενος, ἀπροσδόκητον πλοῦτον καὶ αἰφνίδιον λήψεται. Μὴ πείθου τῷ λιχμήτορι τῷ πρὸς ὠφέλειαν τῶν ἀκουόντων τὰς ἀρετὰς θριαμβεύειν ὑποβάλλοντι (20)· *Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν ὅλον τὸν κόσμον κερδήσῃ, ἑαυτὸν δὲ ζημιωθῇ;* Οὐδὲν οὕτως ὡς ταπεινὸν, καὶ ἀνόθευτον ἦθος, καὶ λόγος τοὺς ὁρῶντας οἰκοδομῆσαι δύναται· γίνεται γὰρ καὶ ἑτέροις ἐφόδιον τοῦ μηδέποτε ἐπαίρεσθαι· οὗ τί ἂν ὠφελείας μεῖζον καθέστηκεν;

vexaret et persequeretur; cum enim rixanti cum aliis externus intervenisset, miser ille statim posita ira se vanæ gloriæ addixit, quod simul duobus dominis (iræ et vanæ gloriæ inquam) non posset servire. Vanæ gloriæ mancipium duplicem vitam vivit; nam habitu corporis seu veste versatur cum monachis, animo vero et cogitationibus in sæculo. Studeamus Deo placere, et cœlestem gloriam degustabimus, qua gustata omnem mundi gloriam contemnemus. Demiror vero si quis unquam vanam gloriam contempsit, qui cœlestem non gustavit. Non raro nos a vana gloria virtutum thesauris spoliati et exuti, conversi postea illam multo solertius spoliavimus. Animadverti quosdam virtutis et spiritus sancti studia cum vana gloria **280** cœpisse, sed postmodum abjecto malo exordio, optimo fine ob mutatam mentem opus conclusisse. Quicunque naturæ donis, acumine, inquam, ingenii, docilitate, lectione, commoda pronuntiatione, præclara indole, et hoc genus aliis naturæ ornamentis, non labore partis, sed nobiscum natis extollitur, nunquam cœlestibus quæ naturam superant, bonis potietur. *Qui enim in modico infidelis est* [85], in multo quoque infidelis, et vana gloria intumescet. Sunt qui, ut supremam animi tranquillitatem, et cœlestium donorum thesaurum, et perpetrandorum miraculorum gratiam, et rerum futurarum cognitionem assequantur, sua corpora vexant et affligunt, cum ignorent miseri hujusmodi dorum prærogativas non laboribus, sed humilitate pari et comparari. Quisquis pro conatibus suis dona reposcit, lubricum valde rerum suarum fundamentum ponit. Qui vero debitorem se agnoscit, ille inexspectatis et subitis et cœlo thesauris locupletabitur. Cave fidas ventilatori seu potius præstigiatori cum tibi suggerit, uti studia virtutum tuarum apud alios ad auditorum utilitatem prædices, et publice velut in triumpho spectandas proponas. *Quid enim prodest homini, si universum mundum lucretur, et sibi ipsi noceat* [86]? Nihil ita ad pietatem movet spectatores, quam simplices et humiles sincerique mores et sermo: est enim et aliis documentum et exemplum, ne unquam in superbiam efferantur, quo nescio quis major inde fructus exsistere possit.

Ἐπεσημήνατό τις τῶν ὁρᾶν δυναμένων, καὶ διηγεῖτο βλέπων· Ὅτιπερ, φησὶν, ἐν συνεδρίῳ μου καθημένου ἐληλυθότες οἱ τῆς κενοδοξίας καὶ τῆς ὑπερηφανίας δαίμονες ἐξ ἑκατέρωθέν μου ἐκάθηντο, καὶ ὁ μὲν ἕνυττέ μου τὴν πλευρὰν τῷ δακτύλῳ αὐτοῦ τῷ κενοδόξῳ προτρεπόμενός με λέγειν τινὰ θεωρίαν ἢ ἐργασίαν, ἣν πεποίηκα ἐν τῇ ἐρήμῳ. Ὡς δὲ τοῦτον ἀπεσεισάμην εἰπών· *Ἀποστραφείησαν εἰς τὰ ὀπίσω* (21) *καὶ καταισχυνθείησαν οἱ λογιζόμενοί μοι κακά*· θᾶττον ὁ ἐξ εὐωνύμων πρὸς τὸ ἐμὸν οὖς ἔλεγεν· *Εὖγε, εὖγε πεποίηκας* (22)· καὶ μέγας γέγονας, τὴν ἐμὴν ἀναιδεστάτην μητέρα νενικηκώς. Πρὸς ὃν ἐγὼ εὐθυβόλως τὸ ἐξῆς τοῦ στίχου ἀναλαβὼν εἶρηκα· *Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι· Εὖγε, εὖγε πεποίηκας.* Ἐρωτήσαντί μοι τὸν αὐτὸν πῶς ἡ κενοδοξία μήτηρ ὑπερηφανίας (23), ἀπεκρίνατο· Οἱ μὲν ἔπαινοι ὑψοῦσι

auditorum utilitatem prædices, et publice velut in triumpho spectandas proponas. *Quid enim prodest homini, si universum mundum lucretur, et sibi ipsi noceat* [86]? Nihil ita ad pietatem movet spectatores, quam simplices et humiles sincerique mores et sermo: est enim et aliis documentum et exemplum, ne unquam in superbiam efferantur, quo nescio quis major inde fructus exsistere possit.

Observavit quispiam ex iis qui acutius hujusmodi pervidere soliti sunt, et quod vidit exposuit. Cum, inquit, **281** in cœtu fratrum sederem, venerunt duo improbi dæmones, alter vanæ gloriæ, alter superbiæ, qui utrinque latera mea stipabant, et alter ille digito vanæ gloriæ pupugit latus meum, hortatus ut publice enarrarem visum aliquod aut opus quod in solitudine perpetrassem. Cum vero genium hunc improbum a me repulissem illud precatus: *Avertantur retrorsum et erubescant, qui cogitant mihi mala* [87]: tum statim qui ab sinistris mihi assedit, in aurem insusurravit: *Euge euge*, præclare fecisti, et magnus evasisti, qui impudentissimam genitricem meam devicisti. Cui ego recte quod sequitur in versu, *Avertantur statim erubescentes, qui dicunt mihi: Euge, euge*, præclare fecisti. Quærenti mihi ex eodem patre, quomodo vana gloria superbiæ

[85] Luc. xvi, 10. [86] Matth. xvi, 26. [87] Psal. xxxix, 15.

parens esset, laudes, inquit, extollunt et inflant animam : elatam autem superbia arripit, et in cœlum usque evehit, et mox ad tartara detrudit. Est gloria quæ a Deo proficiscitur : *Ego*, inquit, *glorificantes me glorificabo* [88]; et est quæ artibus diaboli concinnatur. *Væ*, inquit, *cum vos beatos prædicaverint omnes homines* [89]. Priorem illam (vanam gloriam, inquam) manifeste deprehendes, ubi illam velut noxiam tibi ratus, omnibus modis fueris aversatus, et quacunque iter feceris, tuam vivendi rationem celaveris. Alteram vero (superbiam nempe) deprehendes, ubi, si quidquid tandem feceris, *ut ab hominibus videare* [90], suggesserit illa impura nobis, ut fingamus **282** eam nos virtutem possidere qua caremus : *Sic enim luceat*, inquit, *lux vestra coram hominibus, ut videant* (subjicit) *opera vestra bona* [91].

Sæpenumero Deus vanæ gloriæ cupidos per inexspectatam aliquam ignominiam in contemptum vanæ gloriæ adducit. Initium de vana gloria victoriæ, est custodia linguæ, et desiderium ignominiæ. Medium attigit, qui cogitationes omnes ad vanæ gloriæ studia trahentes præcidit. Ad finem et perfectionem pervenit (si tamen in hac immensa profunditatis voragine finis ullus deprehendi potest) qui exercere omnia publice, sine ullo doloris sensu, quæ ad nostram ignominiam pertinent, non erubescit. Non est quod celes, quæ tibi ruborem exprimunt, propter offensæ alienæ metum. Cæterum pro ratione et varia culpæ conditione varia sunt, ut videtur, pharmaca adhibenda. Quandocunque gloriam captamus, aut quando non captata ab aliis tamen submissa venit, aut quando vanæ gloriæ studio aliquid aggredi molimur : tum in memoriam salutaris luctus nostri regrediemur, et habitum in secreto orationis coram Deo cum timore et pavore astantium in memoriam brevi revocabimus, et haud dubie impudentem illam vanam gloriam retundemus, si tamen studium precandi sincere nobis curæ est. Quod si hoc nos non juvat, tum statim ad memoriam mortis et exitum vitæ recurramus. Quod si nec tum cedat, saltem ignominiam quæ vanam gloriam sequitur, metuamus : *Qui enim se exaltat, omnino humiliabitur* [92], **283** etiam in hac præsenti vita ante futurum sæculum. Quando laudatores aut potius deceptores nos laudare cœperint, tum innumeram peccatorum nostrorum multitudinem nobis ob oculos proponemus, et nos prorsus indignos iis quæ de nobis dicuntur aut fiunt, reperiemus. Sunt quidam ex gloriæ captatoribus a Deo prorsus exaudiendi in quibusdam postulationibus, quorum etiam preces et vota Deus solet antevertere, ne, si per preces, quot petunt, impetrent, inde magis intumescant et superbiant. Simplicioris ingenii religiosi, non admodum hoc veneno lædi solent; est enim vana gloria hostis simplicitatis, magistra simulationis : vermis dum magis ac magis crescit, alis tandem natis in sublime tollitur, et vana gloria ubi ad supremum gradum pervenit, superbiam parit omnium malorum effectricem et perfectricem.

A καὶ φυσιοῦσιν· ὑψωθείσης δὲ τῆς ψυχῆς, τότε αὐτὴν ἡ ὑπερηφανία λαβοῦσα ἀναφέρει ἕως τῶν οὐρανῶν, καὶ καταφέρει ἕως τῶν ἀβύσσων. Ἔστι δόξα ἐκ Κυρίου προ[σ]γινομένη· *Τοὺς γὰρ δοξάζοντάς με δοξάσω*, φησίν· καὶ ἔστιν ἐκ διαβολικῆς παρασκευῆς ἐπακολουθοῦσα. *Οὐαὶ* γάρ, φησὶν, *ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι*. Ἐπιγνώσῃ σαφῶς τὴν προτέραν, ὁπόταν αὐτὴν ὡς βλάβην λογιζόμενος πάσῃ μηχανῇ ταύτην ἀποστρέφῃ. Καὶ ὅπου δ' ἂν πορεύῃ τὴν σεαυτοῦ πολιτείαν ἀποκρύπτῃς· τὴν δὲ δευτέραν, ὁπόταν κἂν τὸ τυχὸν πρὸς τὸν *θεαθῆναι τοῖς ἀνθρώποις* ἐργάζῃ (25) σχηματίζεσθαι ἡμᾶς τὴν οὐ προσοῦσαν ἡμῖν ἀρετὴν ἢ μιαρὰ ὑποτίθεται. *Οὕτως γάρ*, φησὶν, *λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα*, ὑποβαλλουσα.

B Πολλάκις ὁ Κύριος τοὺς κενοδόξους δι' ἀτιμίας ἐπισυμβαινούσης εἰς ἀκενοδοξίαν κατέστησεν (26). Ἀρχὴ ἀκενοδοξίας φυλακὴ στόματος, καὶ ἀτιμίας ἀγάπη· μεσότης δὲ ἀνακοπὴ πάντων τῶν νοουμένων τῆς κενοδοξίας ἐπιτηδευμάτων· τέλος δὲ (εἴπερ ἄρα καὶ ἔστι τῇ ἀβύσσῳ τέλος) τὸ τὰ πρὸς ἀτιμίαν συντελοῦντα ἐπὶ πλήθους ἐπιτηδεύειν ἀνεπαισχύντως. Μὴ κρύπτε σὴν αἰσχύνην διὰ τὸ δοκεῖν μὴ διδόναι πρόσκομμα· λοιπὸν δὲ καὶ πρὸς τὸ εἶδος τοῦ σφάλματος, οὐ τῇ αὐτῇ ἐμπλάστρῳ ἴσως χρήσασθαι χρή. Ὁπόταν ἡμεῖς τὴν δόξαν προσκαλούμεθα (27), καὶ ὅταν ἀκλήτως ὑφ' ἑτέρων προπεμπομένη πρὸς ἡμᾶς παραγίνηται. Ὅταν πρὸς κενοδοξίαν ἐπιτηδεύματά τινα C ποιεῖν ἐπιχειρήσωμεν, τοῦ ἑαυτῶν πένθους [μνημονεύσωμεν], καὶ τῆς ἐν τῇ ἰδιαζούσῃ ἡμῶν προσευχῇ ἐμφόβου παραστάσεως ἐννοηθῶμεν συντόμως, καὶ πάντως ἐντρέψωμεν τὴν ἀναιδῆ, εἴπερ ἄρα καὶ προσευχῆς ἀληθινῆς ἐπιμελούμεθα· εἰ δὲ οὔ, τῆς ἑαυτῶν ἐξόδου συντόμως ἔννοιαν λάβωμεν. Εἰ δὲ μή, κἂν τὴν ἐπακολουθοῦσαν αἰσχύνην τῇ κενοδοξίᾳ φοβηθῶμεν· *Ὁ γὰρ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται πάντως*, καὶ ἐνταῦθα [καὶ] πρὸ τοῦ μέλλοντος αἰῶνος· ὅταν οἱ ἐπαινέται, μᾶλλον δὲ πλανῆται, ἐπαινεῖν ἡμᾶς ἄρξωνται, τοῦ πλήθους τῶν ἀνομιῶν ἡμῶν κατὰ νοῦν συντόμως μνημονεύσωμεν, καὶ εὑρήσομεν ἑαυτοὺς ἀναξίους τῶν λεγομένων ἢ πραττομένων. Εἰσὶ πάντως καὶ κενόδοξοι ἔν τισιν αἰτήμασιν αὐτῶν εἰσακουσθῆναι παρὰ τοῦ Θεοῦ ὀφείλοντες, ὧν ὁ Κύριος D προκαταλαμβάνειν τὰς εὐχὰς καὶ τὰς δεήσεις πέφυκεν· ἵνα μὴ δι' εὐχῆς εἰληφότες τῇ ἑαυτῶν οἰήσει προσθήσουσιν· οὐ πάνυ οἱ ἁπλούστεροι τῷ ἰῷ τούτῳ περιπίπτειν πεφύκασι. Κενοδοξία γάρ ἐστιν ἁπλότητος ἀποβολή, καὶ ἐπίπλαστος διαγωγή· σκώληξ πολλάκις αὐξηθεὶς πτεροφυήσας ἀνηνέχθη εἰς ὕψος, καὶ κενοδοξία τελεσθεῖσα ὑπερηφανίαν ἔτεκε, τὴν πάντων τῶν κακῶν ἀρχηγὸν καὶ τελειωτήν.

[88] I Reg. II, 30. [89] Luc. VI, 26. [90] Matth. XXIII, 39. [91] Matth. V, 16. [92] Matth. XXIII, 12.

Ὁ τῆς νόσου ταύτης ἐκτὸς, ἔγγιστα τῆς σωτηρίας· ὁ δ' οὔ, πόῤῥω φανήσεται τῆς ἁγίων δόξης.

Qui liber ab hoc morbo est, proxime ab salute abest; qui vero adhuc illo detinetur, procul ab sanctorum gloria abesse deprehenditur.

Βαθμὸς κβ'. Ὁ ταύτῃ μὴ ἁλοὺς, οὐ μὴ περιπέσῃ τῇ ἐχθραινούσῃ Θεῷ ἀκεφάλῳ ὑπερηφανίᾳ.

Gradus XXII. Qui vanæ gloriæ expers est, non incidet in invisam Deo superbiam.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΒ'.

SCHOLIA AD GRADUM XXII.

Περὶ κενοδοξίας.

De vana gloria.

Σχόλιον α'.

Scholion 1.

Κενοδοξίας κρατῶν, ἀπὸ πορνειῶν πρόσεχε, μή ποτε τὰς τιμὰς φεύγων ἀτιμίᾳ περιπέσῃς

Qui vanam gloriam vicisti, cave tibi a luxuria, ne, dum fugis honores, in ignominiam incidas.

Εὐαγρίου β'.

284 *Evagrii 2.*

Ὁ τῆς ὑπερηφανίας δαίμων χαλεπωτάτης πτώσεως τῇ ψυχῇ πρόξενος γίνεται· ἀναπείθει γὰρ αὐτὴν Θεὸν μὲν μὴ ὁμολογεῖν βοηθὸν, ἑαυτὴν δὲ τῶν κατορθουμένων αἰτίαν εἶναι νομίζειν· καὶ φυσιοῦσθαι κατὰ τῶν ἀδελφῶν ὡς ἀνοήτων, διότι μὴ τοῦτο περὶ αὐτοῦ πάντες ἐπίστανται. Παρακολουθεῖ δὲ ταύτῃ ὀργὴ, καὶ λύπη, καὶ τὸ τελευταῖον κακὸν ἔκστασις φρενῶν, καὶ μανία, καὶ δαιμόνων ἐν ἀέρι πλῆθος ὁρώμενον.

Spiritus superbiæ gravissimos animæ casus parit. Persuadet enim illi ut neget Deum esse adjutorem, sed seipsam putet recte factorum et virtutum auctorem, atque ita adversus fratres se extollat et inflatur superbia, illosque pro stultis habeat, eo quod non omnes hoc de ipso sentiant et sciant. Comitantur autem hanc, ira et tristitia, et quod est ultimum malorum, mentis alienatio et excessus, furorque seu insania, et visa dæmonum plurima in aere spectra.

Σχόλιον γ'.

Scholion 3.

Κινούμενα τὰ πάθη ἀπελαύνουσι κενοδοξίαν, ἀναιρούμενα δὲ ὑποστρέφουσι.

Vitiosi affectus commoti fugant vanam gloriam (*a*), sublati omnino evertunt.

Ἄλλο.

Aliud.

Οὐ μικρὸς ἀγὼν κενοδοξίας ἀπαλλαγῆναι· ἀπαλλάττεται δέ τις κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ συχνοτέρας προσευχῆς· σημεῖον δὲ τῆς ἀπαλλαγῆς, τὸ μηκέτι μνησικακεῖν τῷ κακολογήσαντι, ἢ μακρολογοῦντι.

Non est leve certamen a vana gloria missionem accipere: liberatur autem is qui virtutes clam exercet et preces frequentat. Argumentum liberationis est non meminisse sive statim oblivisci si quis tibi maledicat aut nimium garriat.

Σχόλιον δ'.

Scholion 4.

Οὐ τὸν ἐστερημένον αἰσθήσεως κενοδοξεῖν ὁ πατήρ φησι· ἀλλ' ὅτι ἥδει κενοδοξία καὶ ταῦτα, οἷον, λαμπραὶ κηδεῖαι, καὶ πομπαί.

Non sensu privatum et vita pater dicit captare vanam gloriam, sed quod vana gloria hæc quoque non ignoret, qualia sunt, splendida funera et pomparum apparatus.

Μάρκου ε'.

Marci scholion 5.

Ῥίζα αἰσχρᾶς ἐπιθυμίας ἀνθρώπινος ἔπαινος, οὐχ ὅταν αὐτὰ ἀκούωμεν· ἀλλ' ὅταν αὐτὰ καταδεχόμεθα.

Radix turpis desiderii est laus humana, non quando hanc audimus, sed quando admittimus.

Σχόλιον ς'.

Scholion 6.

Ὅταν τινὰ νικήσῃς τῶν ἀτιμοτέρων παθῶν, ἢ γαστριμαργίας, ἢ πορνείας, ἢ ὀργῆς, ἢ πλεονεξίας, εὐθὺς ἐφίπταται ἐπὶ σὲ ὁ τῆς κενοδοξίας λογισμός· ἐὰν δὲ καὶ τοῦτον νικήσῃς, ὁ τῆς ὑπερηφανίας διαδέχεται.

Quando viceris nonnulla ex ignominiosioribus vitiis, gulæ nempe, aut luxuriæ, aut iræ, aut avaritiæ, statim advolat ad te spiritus seu cogitatio vanæ gloriæ, et hac quoque victa, sequitur superbiæ

Σχόλιον τοῦ μεγάλου Βασιλείου ζ'.

Basilii Magni 7.

Τὸ μὴ διὰ τὴν πρὸς Θεὸν ἀγάπην, ἀλλὰ διὰ τὸν παρὰ ἀνθρώπων ἔπαινον γινόμενον, οἷον ἂν ᾖ, οὐ θεοσεβείας ἔπαινον εὑρίσκει, ἀλλ' ἀνθρωπαρεσκίας, ἢ φιλονεικίας, ἢ φθόνου, ἢ τοιαύτης αἰτίας ἔχει τὸ κρῖμα· διὸ καὶ *ἀδικίας ἔργον* ὁ Κύριος ὀνομάζει, λέγων πρὸς τοὺς εἰπόντας τὸ, *Ἐφάγομεν ἐνώπιόν σου*, καὶ τὰ ἑξῆς. *Ἀπόστητε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀδικίας*. Πῶς γὰρ οὐκ ἀδικίας ἐργάται, οἱ τὰς τοῦ Θεοῦ δωρεὰς

Quod non ex charitate erga Deum, sed propter humanam laudem fit, qualecunque sit, non habet laudem pietatis, sed humanæ complacentiæ, aut contentionis, aut invidiæ, aut hujusmodi causæ, judicium Dei sustinebit. Quapropter *opus iniquitatis* Dominus vocat, quando ad eos, qui dicturi sunt illud: *Manducavimus coram te*, et quæ sequuntur, dicet. *Discedite a me, operarii iniquitatis* [93]. Quomodo enim

[93] Matth. VII, 23.

(*a*) Quia ira vel gula et hoc genus alia, cum foras prorumpunt, imperfectum ostendunt hominem, qui ipse sibi ob eam causam irascitur et ita fugat vanam gloriam, quod videatur aliis imperfectus.

non operarii iniquitatis, qui dono Dei ad voluptatum suarum studium et rationes abusi sunt?

285 *Aliud.*

Stultus est qui laudem humanam aucupatur, et aliam non sperat.

Scholion 8.

Caveamus ne mutuo alter ab altero in os beatus prædicetur et prædicet: hoc enim est adulatorum et ab malis geniis submissorum; illud levium, et qui bona opera sua prædæ exponunt. Primus est corruptor bonorum, nuntius quodammodo diaboli; alter hæres inconsideratus, qui ultro labores suos abalienat, uterque vero exitii mutui conscius.

Scholion 9.

Humilitatis perfectio in eo consistit, ut cum gaudio sustineas falsas accusationes.

Aliud Isaaci.

Humilis reipsa injuria affectus non perturbatur, neque factum suum defendit aut excusat cum læsus est; sed calumniam tanquam veritatem suscipit, neque sollicitus est ut persuadeat aliis, quod calumniam sit passus, sed veniam precatur.

Scholion 10.

Tu quidem putas te humilitatem possidere, sed neque teipsum accusatum ferre potes. Quando ergo nosse desideras an vere de te submisse sentias, in jam dictis te ipsum explora et proba.

Scholion 11.

Vana gloria est instrumentum et machina diaboli; quem tali modo et miracula edere nostis.

Aliud Photii.

Quod quis desiderat, hoc et absens tanquam adesset, imaginatur, et voluntatem habet quasi opificem seu præsidem naturæ.

Aliud ejusdem.

Ille qui ex alienis calamitatibus occasionem opes rapiendi accipit, etsi videatur quibusdam inde benigne facere, non ostendit ex iis quæ præbet humanitatem, sed ex iis quæ rapuit, odium et tyrannicam mentem.

Scholion 12.

Illi quidem (eremitæ) gloriantur sua cibi parcimonia et frugalitate, cœnobitæ vero bonis operibus.

Scholion 13.

Avarus quidem res pauperum possidet: tu vero cum hæc ab illo accipis, **286** et rem tuam facis, es iniquo illo iniquior, et avaro avarior.

Aliud. Quæstio.

Unde ergo fit ut multi ex avaris non male habeant?

Responsum.

Maxime vero patientur, pessimeque habebunt, etsi non statim patiantur, et in præsens pœnas effugerint; tu tamen hoc magis time, quia majori supplicio reservantur. Etsi ipsi omnino impune hic tulerint, posteri tamen eorum sive hæredes postea luent nec effugiunt vindictam.

εἰς πραγματείαν τῶν ἡδονῶν τῶν ἰδίων καταχρώμενοι;

Σχόλιον ἄλλο.

Ματαιόφρων ὁ τὸν ἐξ ἀνθρώπων θηρώμενος ἔπαινον, καὶ ἕτερον μὴ ἐλπίζων.

Σχόλιον η'.

Φεύγωμεν καὶ τὸ μακαρίζεσθαι, καὶ τὸ μακαρίζειν ἀλλήλους εἰς πρόσωπον· τὸ μὲν γὰρ κολακευτικῶν, καὶ ἐκ δαιμόνων κινουμένων· τὸ δὲ κούφων, καὶ εὐσυλήτων τὰ κατορθώματα. Ὁ πρῶτος τοίνυν φθορεὺς τῶν ἀγαθῶν, τοῦ διαβόλου ἐστί πως ἄγγελος· ὁ δεύτερος κληρονόμος ἀλόγιστος ἑτοίμως τὰ πονήματα ἀποκτώμενος· ἀμφότεροι δὲ τῆς ἀλλήλων ἀπωλείας συνίστορες.

Σχόλιον θ'.

Τῆς ταπεινώσεως ἡ τελειότης ἐστὶ τὸ φέρειν μετὰ χαρᾶς τὰς ψευδεῖς κατηγορίας.

Σχόλιον Ἰσαάκ.

Ὁ ταπεινόφρων ἐν ἀληθείᾳ ἀδικούμενος, οὐ ταράσσεται, οὐδὲ ἀπολογίας ποιεῖ ὑπὲρ τοῦ πράγματος οὗ ἠδικήθη· ἀλλὰ δέχεται τὴν συκοφαντίαν ὡς ἀλήθειαν καὶ οὐ μεριμνᾷ πεῖσαι τοὺς ἀνθρώπους, ὅτι ἐσυκοφαντήθη· ἀλλὰ συγχώρησιν αἰτεῖται.

Σχόλιον ι'.

Σὺ μὲν ταπείνωσιν νομίζεις ἔχειν· ἀλλ' οὐδὲ σεαυτὸν κατηγορούμενον φέρεις. Εἰ οὖν βούλει γνῶναι, ὅτι ταπεινόφρων εἶ, δοκίμασον σεαυτὸν ἐν τοῖς εἰρημένοις.

Σχόλιον ια'.

Μηχανὴ δαίμονος κενοδοξία· ἴστε δὲ, ὅτι τούτῳ τῷ τρόπῳ καὶ θαυματουργεῖ.

Φωτίου ἄλλο.

Οὗ τις ἐφίεται, τοῦτο καὶ ἀπὸν παρεῖναι φαντάζεται, θέλημα ἔχων δημιουργὸν τῆς φύσεως.

Φωτίου ἄλλο.

Ὅταν ἀλλοτρίας συμφορᾶς ἅρπαγμα ποιησάμενος πλούτου, εἰ καὶ δόξει τινὰς ἐκεῖθεν εὐποιεῖν, οὐκ ἐξ ὧν παρέχει τὸ φιλάνθρωπον, ἀλλ' ἐξ ὧν ἥρπασε, τὸ μισάνθρωπον καὶ τυραννικὸν στηλιτεύει τῆς γνώμης.

Σχόλιον ιβ'.

Οἱ μὲν αὐχοῦσι ταῖς εὐτελείαις, οἱ δὲ ταῖς εὐπραγίαις.

Σχόλιον ιγ'.

Ὁ μὲν πλεονέκτης ἔχει τὰ τοῦ πένητος· σὺ δὲ ταῦτα λαβὼν καὶ μέρος ποιησάμενος τῆς σῆς περιουσίας, ἀδίκου ἀδικώτερος ἐφάνης, καὶ πλεονέκτου πλεονεκτικώτερος.

Ἄλλο. Ἐρωτησις.

Τί οὖν, ὅτι πολλοὶ πλεονεκτοῦντες οὐ πάσχουσι κακῶς;

Ἀπόκρισις.

Μάλιστα μὲν πείσονται, κἂν μὴ παραυτὰ πάθωσι. Ἂν δὲ νῦν ἐκφύγωσι, τότε φοβήθητι μᾶλλον, ὅτι μείζονι κολάσει τηροῦνται, κἂν αὐτοὶ διαφύγωσιν· ἀλλ' οἱ κληρονομήσαντες τὰ αὐτῶν, οὐ διαφεύξονται.

Ἄλλο. Ἐρώτησις.

Καὶ πῶς τὸ δίκαιόν φησι;

Ἀπόκρισις.

Καὶ σφόδρα δίκαιον· ὁ γὰρ διαδεξάμενος κλῆρον ἀδικίας γενόμενον, εἰ καὶ αὐτὸς μὴ ἥρπασας, ἀλλὰ σὺ ἀπολαύεις· ἐκεῖνος ἁμαρτίαν ἐθησαύρισεν, ὀργήν τε ἡμέρᾳ ὀργῆς, καὶ σὺ τὴν ἁμαρτίαν, καὶ τὴν ὀργὴν ἐκληρονόμησας, καὶ ἀπαιτηθήσῃ περὶ αὐτῶν πάντων. Ταῦτα δὲ καὶ οἱ τῶν ἔξωθεν ἴσασιν νόμοι· οὐχὶ τοὺς ἁρπάσαντας, καὶ ὑφελομένους ἐκείνους κελεύουσι ἀπαιτεῖν· ἀλλὰ. . . . . .

Σχόλιον Μαξίμου ιδ'.

Εἰσί τινα φύσει καλὰ παρὰ τῶν ἀνθρώπων γινόμενα· ἀλλ' οὐ καλὰ πάλιν διὰ αἰτίας· οἷον νηστεία, καὶ ἀγρυπνία, καὶ προσευχὴ, καὶ ψαλμῳδία, ἐλεημοσύνη, καὶ φιλοξενία, καὶ ξενοδοχία, φύσει καλὰ ἔργα εἰσὶν, ἀλλ' ὅταν διὰ κενοδοξίαν γίνωνται, οὐκ ἔστι καλά.

Σχόλιον ιε'.

Ὑποκρίνεται κενόδοξος ἀοργησίαν· ὁπόταν οὖν ταύτῃ ληφθῇ, ἀντὶ τιμῆς, ἀτιμίαν ὑφίσταται.

Σχόλιον ις'.

Φρόντισον τοῦ πάθους τούτου τοῦ κατηραμένου τοῦ μίσγοντος ἑαυτὸ μετὰ τῶν ἀρετῶν, ἕως οὗ ἀπολέσῃ αὐτάς. Ἐὰν γὰρ μὴ ὁ ἄνθρωπος ἐκκόψῃ τὸ ἄτιμον τοῦ πάθους, οὐ δύναται προκόψαι κατὰ Θεόν· αὐτῷ γὰρ ἐξακολουθοῦσι πάντα τὰ κακά.

Ἄλλο, τοῦ ἁγίου Μαξίμου.

Μὴ τῶν ἀνθρώπων τοῖς ἀσθενεστέροις σεαυτὸν παραμέτρει, ἀλλὰ τοῖς ἐμβλήτοις τῆς ἀγάπης μᾶλλον παραμετρῶν· τοῖς μὲν γὰρ παραμετρῶν, εἰς τὸν βόθρον τῆς οἰήσεως ἐμπίπτεις· τῇ δὲ παρατείνων, ὡς τὸ ὕψος τῆς ταπεινώσεως προκόπτεις.

Σχόλιον ιζ'.

Μωμητῆς, ἤγουν ψεκτῆς. Μωμητὴ ἡ τοῦ Ναβουχοδονόσορ μεγαλαυχία, ἀλλ' ἐπαινετὴ ἡ κατὰ γνῶσιν Θεοῦ ἐπ' ἐσχάτων μετριότης, ἤγουν ταπεινοφροσύνη.

Μαξίμου ιη'.

Εἰ θέλεις γενέσθαι ἐπιγνώμων καὶ μέτριος, καὶ τῷ πάθει τῆς οἰήσεως μὴ δουλεύειν, ἀεὶ ζήτει ἐν τοῖς οὖσι τί ἐστι τὸ κρυπτόμενον τῇ σῇ γνώσει· καὶ εὑρίσκων πάμπολλα καὶ διάφορα λανθάνοντά σε, θαυμάσεις τε ἐπὶ τῇ σῇ γνώσει, καὶ συστελεῖς τὸ φρόνημα, καὶ σεαυτὸν ἐπιγνοὺς, συνήσεις πολλὰ καὶ μεγάλα πράγματα, ἐπεὶ τὸ νομίζειν εἰδέναι, οὐκ ἐᾷ προκόπτειν εἰς τὸ εἰδέναι.

Σχόλιον τοῦ Ἰσαάκ ιθ'.

Ἑκάστη ἀρετὴ μήτηρ ἐστὶ τῆς δευτέρας· ἐὰν οὖν ἀφήσεις τὴν μητέρα τὴν γεννῶσαν τὰς ἀρετὰς, καὶ ἀπέλθῃς ζητῆσαι τὰς θυγατέρας πρὸ τοῦ κτήσασθαι τὴν μητέρα αὐτῶν, ἔχιδναι εὑρίσκονται ἐνεῖναι τῇ ψυχῇ, ἐὰν μὴ ῥίψῃς αὐτὰς ἀπὸ σοῦ.

(*a*) Inclusa parenthesi in Græco sunt abrasa.

Aliud. Quæstio.

Et quomodo hoc æquum est quod dicit?

Responsum.

Et quidem valde æquum: nam hæres bonorum iniquorum factus, etsi ipse non rapuisti, rapta tamen possides. Ille peccatum et iram in die iræ sibi thesaurizavit, tu peccati et iræ hæreditatem adiisti; abs te omnia exigentur. Id quod et civiles leges non ignorant, quæ præcipiunt, ut aliena et rapta bona non ab iis exigantur qui rapuerunt (*a*) (sed qui possederunt et possident).

S. Maximi 14.

Sunt quædam natura bona quæ ab hominibus fieri solent, sed quæ per malas causas vitiantur et mala fiunt: exempli causa, jejunium, vigiliæ, precatio, psalmorum cantus, eleemosyna, hospitalitas, peregrinorum invitatio seu susceptio, natura bona sunt opera, sed quando laudis humanæ captandæ gratia fiunt, non sunt bona.

Scholion 15.

Vanæ gloriæ auceps simulat mansuetudinem seu ræ vacuitatem: quando ergo excandescit, pro gloria ignominiam recipit.

Scholion 16.

Diligenter advertere ad hoc exsecratum vitium, quod se ipsum virtutibus immiscet, quoad illas perdat. Nisi enim hoc infame vitium exstirparit, non potest in divinis virtutibus proficere; ipsum enim omnia mala consequuntur.

Aliud sancti Maximi.

Noli te cum imperfectioribus hominibus comparare, sed cum illis qui **287** eximia charitate eminuerunt. Si enim te cum illis prioribus comparaveris, in scrobem superbiæ et æstimationis tui ipsius incides; si autem cum horum charitate te contuleris, ad sublimem humilitatis statum proficies.

Scholion 17.

Correcto) sive reprehenso: reprehendenda fuit Nabuchodonosoris insolens jactantia, sed laudanda ad extremum nata ex Dei cognitione mediocritas seu modestia, adeoque humilitas

Sancti Maximi 18.

Si vis teipsum nosse et modestus fieri, neque vitio tumoris et existimationis servire, in omnibus rebus quære, quid sit quod tuam cognitionem effugiat, et cum multa et varia quæ te lateant, inveneris, miraberis tuam scientiam (seu potius inscitiam) et fastum tuum retundes: et cum te ipsum cognoveris, multas et magnas res intelliges. Nam eo ipso quod scire nos existimamus, ad scientiam venire non possumus.

Isaaci 19.

Unaquæque virtus est alterius virtutis procreatrix. Si ergo relicta procreatrice virtutum matre, abieris ad investigandas filias priusquam parentem illarum possideas, viperæ in anima tua reperientur, si illas abs te non rejeceris.

Scholion sancti Athanasii, ex epistola quam scripsit ad virginem. 20.

Si tuam vitam exposueris aliis, exsistet in te vana gloria, et damnum inde capies. Si autem inveneris animam aliquam ejusdem tecum sensus, quæ Deo operatur quemadmodum et tu, cum hac sola communica occulta tua in arcano; ibi enim nullum est vanæ gloriæ periculum. Locuta es enim ut illa anima salva fiat. Qui ergo desiderant audire, cum his loquere utilia. Quod si preceris, aut psallas, aut legas, seorsum sede, nec ullus te audiat nisi tu sola, et, si unam aut alteram ejusdem instituti socias virgines habes.

Aliud.

Si volueris tua delicta a Domino tegi, tuas virtutes aliis hominibus ne aperias : quod enim in his nos facimus, hoc facit Deus in illis.

288 *Aliud.*

Quemadmodum thesaurus proditus rarescit, ita virtus in publicum prolata et publicata evanescit.

S. Maximi 21.

Qui animas nostras assidue quærunt (ut perdant), quærunt per implicitas animo affectiones malas et cogitationes, ut illas vel per cogitationes vel opera in peccatum præcipitent. Quando ergo senserint ab animo illas rejici, tunc pudore affecti erubescent; quando autem in spirituali contemplatione occupatum viderint, omnino avertentur et pudefient.

Scholion 22.

Vana gloria sublata parit sui existimationem seu tumorem animi. manens arrogantiam

Scholion 23

Ubi videris duos improbos inter se amare, scias quod alter alteri subserviat in voluntate mala exsequenda.

Quæstio 24.

Quando se vanæ gloriæ cogitatio ingerit, quod virtutem exercueris et benececeris, nonne cogitationi cogitatione repugnandum est?

Responsum.

Quacunque hora incipias contendere cum illa cogitatione, illa fortior et impetuosior efficitur. Plura enim invenit, quam tu, quibus te oppugnet, nec Spiritus sanctus tantopere tibi succurrit. Videt enim quod quasi jactabundus videar mihi ipsi sufficere ad debellandas animi vitiositates. Quemadmodum enim qui patrem habet spiritualem, patri omnia committit, et ipse deinceps sine omni cura est, nec judicium Dei sustinet : ita qui seipsum Deo tradit, non est quod ullam cogitationum suarum curam gerat, aut repugnet, aut penitus illi det aditum ad se. Si autem intraverit, tolle illam sursum ad patrem tuum, et dic illi : Ego nihil habeo negotii, ecce pater meus novit ipsam. Dum ergo retuleris ad patrem spiritualem tuam cogitationem inter eundum deseret te . . . .

Σχόλιον ἐκ τῆς πρὸς τὴν παρθένον τοῦ ἁγίου Ἀθανασίου ἐπισκόπου κ'.

Ἐὰν φανερώσῃς σου τὸν βίον, κενοδοξία σοι τίκτεται, καὶ ζημιοῖ. Ἐὰν δὲ εὕρῃς ψυχὴν συμφωνοῦσάν σοι ποιῆσαι τὰ τοῦ Θεοῦ, ὡς καὶ σὺ, πρὸς ταύτην μόνην ἀποκάλυψον τὸ μυστήριον [ὁμοσύμφωνον ποιοῦσαν τῷ Θεῷ ὡς καὶ σὺ, ταύτῃ μόνῃ ἀποκάλυψον ἐν μυστηρίῳ]· ἐκεῖ οὐκ ἔστι κενοδοξία. Ἐλάλησας γὰρ, ἵνα σωθῇ ψυχή· τοῖς οὖν ἔχουσι πόθον ἀκούειν, λάλει τὰ συμφέροντα· ἐὰν δὲ προσεύχῃ, ἢ ψάλλῃς, ἢ ἀναγινώσκῃς, κατ' ἰδίαν κάθου· καὶ μηδεὶς ἀκουέτω, εἰ μὴ σὺ μόνη· καὶ ἐὰν ἔχῃς καὶ ὁμοψύχους σοι μίαν ἢ δύο παρθένους.

Ἄλλο.

Ἐὰν θέλῃς παρὰ Κυρίου ἐπικαλυφθῆναι τὰς ἁμαρτίας σου, μὴ φανεροποιήσῃς ἀνθρώποις τὰς ἑαυτοῦ ἀρετάς· ὃ γὰρ ἂν ποιῶμεν ἐπὶ ταύταις, τοῦτο καὶ ὁ Θεὸς ἐπ' ἐκείναις ἐργάζεται.

Ἄλλο.

Ὥσπερ θησαυρὸς φανερωθεὶς σπανίζεται, οὕτως ἀρετὴ γνωριζομένη καὶ δημοσιευομένη ἀφανίζεται.

Σχόλιον τοῦ ἁγίου Μαξίμου κα'.

Οἱ τὴν ψυχὴν ἡμῶν ἀεὶ ζητοῦντες, διὰ τῶν ἐμπαθῶν λογισμῶν ἀεὶ ζητοῦσι, ἵνα αὐτὴν κατὰ διάνοιαν, ἢ κατ' ἐνέργειαν, ἁμαρτίαν ἐμβάλωσιν· ὅταν οὖν εὕρωσι τὸν νοῦν μὴ παραδεχόμενον, τότε ἐντραπήσονται καὶ αἰσχυνθήσονται· ὅταν δὲ τῇ πνευματικῇ θεωρίᾳ ἀνασχολούμενον, τότε ἀποστραφήσονται, καὶ καταισχυνθήσονται.

Σχόλιον κβ'.

Ἡ κενοδοξία ἀναιρουμένη μὲν, οἴησιν ἐμποιεῖ· μένουσα δὲ, ἀλαζονείαν.

Σχόλιον κγ'.

Ὅταν ἴδῃς δύο κακοὺς, πρὸς ἀλλήλους ἔχοντας ἀγάπην, γίνωσκε ὅτι ἕτερος τῷ ἑτέρῳ συνεργεῖ πρὸς τὸ θέλημα.

Ἐρώτ. κδ'.

Ἐὰν κενοδοξίας λογισμὸς ἐπέλθῃ, ὅτι κατώρθωσας τὴν ἀρετὴν, οὐκ ὀφείλει ἀντιλέξαι ὁ λογισμός;

Ἀπόκρ.

Οἴᾳ δήποτε ὥρᾳ ἀντιλέγει τις, ἐκεῖνος ἰσχυρότερος καὶ ῥαγδαιότερος γίνεται· πλείω γάρ σου ἐκεῖνος εὑρίσκει ἀντιλέγειν, καὶ οὐ τοσοῦτον τὸ πνεῦμα τὸ ἅγιον ἀντιλαμβάνεταί σου. Εὑρίσκει γὰρ ὡς μεγαλαυχῶν, ὅτι ἐμαυτῷ ἀρκούμενος, μαχέσασθαι πρὸς τὰ πάθη· ὥσπερ γὰρ ὁ πατέρα ἔχων πνευματικὸν τῷ πατρὶ παραχωρεῖ, καὶ ἀμέριμνός ἐστι κατὰ πάντα, καὶ κρῖμα οὐκ ἔχει παρὰ τοῦ Θεοῦ· οὕτω καὶ τῷ Θεῷ ἑαυτὸν ἐπιδοὺς οὐκ ὀφείλει ὅλως φροντίδα ποιεῖσθαι λογισμοῦ, καὶ ἀντιλέξαι, ἢ ὅλως ἐᾶσαι αὐτὸν εἰσελθεῖν· ἐὰν δὲ καὶ εἰσέλθῃ, ἄνω πρὸς τὸν πατέρα σου ἆρον αὐτὸν, καὶ εἰπὲ αὐτῷ, ὅτι Ἐγὼ οὐκ ἔχω πρᾶγμα, ἰδοὺ ὁ πατήρ μου αὐτὸ οἶδε, καὶ ἔστι ἀναφέρων αὐτὸν μέσον τῆς ὁδοῦ καταλείψας σε . . . . . .

Σχόλιον κε'.

A "Οτε μὴ πρὸς τὸ θεαθῆναί τις τὸ ἔργον τοῦ Θεοῦ ἐργάζεται, οἱ θεώμενοι δὲ δοξάζουσιν, οὐδὲν ἐργαζομένῳ ἐκ τοῦ ἐπαίνου ἐπιβλαβὲς γενήσεται.

Σχόλιον κς'.

Τὸ φροντίσαι τῆς γλώσσης, δῆλον ποιεῖ τὸν ἄνθρωπον, ὅτι πρακτικός ἐστιν· ἡ δὲ ἀπαιδευσία τῆς γλώσσης, σημαίνει, ὅτι οὐκ ἔχει ἔνδοθεν αὐτοῦ ἀρετήν.

Σχόλιον κζ'.

Δοξάζεται κατ' ἀξίαν Δαυΐδ, παρ' ἀξίαν Σαοὺλ, μὴ ἕλκοντες τὴν δόξαν πρὸς ἑαυτούς· ὁ δὲ Ἀβεσαλὼν βιασάμενος ἑλκύσαι τὴν δόξαν, πλείω τῆς δόξης τὴν ἀδοξίαν ἐπεσπάσατο.

Σχόλιον ἄλλο.

B "Οταν ἴδῃς λογισμὸν ἀνθρωπίνην δόξαν ὑπαγορεύοντα, γίνωσκε σαφῶς ὅτι αἰσχύνην σοι κατασκευάζει.

Scholion 25.

Quando quis, non ut videatur ab hominibus, bonum operatur, quamvis ab iis, qui vident opera ejus bona, laudetur, nihil tamen ex laude illa detrimenti capiet.

289 *Scholion 26.*

Custodia linguæ ostendit hominem exercitatum esse in virtutibus. Petulantia vero linguæ redarguit eumdem carere intus virtute.

Scholion 27.

Laudatur pro dignitate David, præter dignitatem Saul, dum non attrahunt et arrogant sibi ipsis gloriam. Absalom autem per vim sibi gloriam rapiendo, majorem gloria ignominiam contraxit.

Scholion aliud.

Quando animadverteris tibi abs tua cogitatione laudem humanam suggeri, certo scias tibi dedecus et ignominiam conciliari.

ΛΟΓΟΣ ΚΓ'.

Περὶ τῆς ἀκεφάλου ὑπερηφανίας, ἐν ᾧ καὶ περὶ ἀκαθάρτων λογισμῶν τῆς βλασφημίας.

Ὑπερηφανία ἐστὶ Θεοῦ ἄρνησις (1), δαιμόνων εὕρημα, ἐξουδένωσις ἀνθρώπων (2), κατακρίσεως μήτηρ, ἐπαίνων ἀπόγονος, ἀκαρπίας τεκμήριον, βοηθείας Θεοῦ φυγαδευτήριον, ἐκστάσεως πρόδρομος, πτωμάτων πρόξενος, ἐπιληψίας (*a*) ὑπόθεσις, θυμοῦ πηγή, ὑποκρίσεως θύρα, δαιμόνων στήριγμα, ἁμαρτημάτων φύλαξ, ἀσπλαγχνίας πρόξενος, συμπαθείας ἄγνοια, λογοθέτης πικρὸς, δικαστὴς ἀπάνθρωπος, Θεοῦ ἀντίπαλος, βλασφημίας ῥίζα, ἀρχὴ ὑπερηφανίας (3), τέλος κενοδοξίας· μεσότης δὲ ἐξουδένωσις τοῦ πλησίον, πόνων ἰδίων ἀναιδὴς ἐκπόμπευσις, ἔπαινος ἐν καρδίᾳ, ἐλέγχου μῖσος· τέλος ἄρνησις Θεοῦ βοηθείας, καὶ οἰκείας σπουδῆς ἔπαρσις. δαιμονιῶδες ἦθος. Ἀκούσωμεν πάντες οἱ τὸν βόθρον ἐκφυγεῖν βουλόμενοι, ἐξ εὐχαριστίας πολλάκις τὸ πάθος τὴν νομὴν φιλεῖ προσλαμβάνεσθαι· ἀναιδῶν γὰρ ἐκ προοιμίων Θεὸν ἀρνεῖσθαι οὐχ ὑποτίθεται. Εἶδον εὐχαριστοῦντας τῷ Θεῷ στόματι (4), καὶ μεγαλαυχοῦντας τῷ φρονήματι· καὶ μαρτυρεῖ τοῦτο σοφῶς ὁ Φαρισαῖος ἐκεῖνος εἰρηκώς· *Ὁ Θεός, εὐχαριστῶ σοι.* Ὅπου πτῶμα κατέλαβεν, ἐκεῖ ὑπερηφανία προεσκήνωσε· μηνυτὴς γὰρ τοῦ προτέρου τὸ δεύτερον. Ὑπόθου μοι εἶναι δώδεκα πάθη τῆς ἀτιμίας. Τινὸς τετιμημένου ἀκήκοα φήσαντος· Ἐὰν ἓν τούτων (λέγω δὴ τὴν οἴησιν) ἀγαπήσῃς θελήματι, ἐκεῖνο ἀναπληρώσει τὸν τόπον τῶν ἕνδεκα. Ὑψηλόφρων μοναχὸς ἀντιλέγει σφοδρῶς. Ὁ δὲ ταπεινόφρων οὐδαμῶς ἀντιλέγειν ἐπίσταται. Οὐχ ὑποκλίνει κυπάρισσος εἰς γῆν περιπατεῖν· οὐδὲ μοναχὸς ὑψηλοκάρδιος ὑπακοὴν κτήσασθαι. Ἀνὴρ ὑψηλοκάρδιος τοῦ ἄρχειν ὀρέγεται (5)· ἄλλως γὰρ, ὡς ἔτυχεν, ἀπολέσθαι εἰς τέλος οὐ δύναται· μᾶλλον δὲ οὐ βούλεται. *Ὑπερηφάνοις Κύριος ἀντιτάσσεται.* Τίς λοιπὸν τούτους ἐλεῆσαι δύναται; Ἀκάθαρτος παρὰ

GRADUS XXIII.

De acephala seu stulta superbia : in quo gradu simul de impuris blasphemiæ cogitationibus tractatur.

Superbia est negatio Dei, inventum diaboli, despectus hominum, parens temerarii judicii seu condemnationis alienæ, mala progenies laudum, sterilitatis argumentum, auxilii divini obstaculum, stuporis prænuntia, lapsuum procuratrix, epilepsiæ seu morbi caduci (spiritualis) fomes seu materia, fons furoris, simulationis seu hypocrisis janua, propugnaculum dæmonum, custos peccatorum, inhumanitatis seu immisericordiæ causa, commiserationis ignoratio, acerba legum auctrix, judex immitis, hostis Dei, blasphemiæ radix, origo superbiæ, finis vanæ gloriæ, medium contemptus alterius. Laborum propriorum impudens jactatio, amor laudis [affectus laudis in corde profectæ], odium reprehensionis. Finis, divini auxilii negatio, virtutis propriæ elatio seu prædicatio, **290** diabolicus affectus. Advertamus omnes qui scrobem hanc altam evadere [transilire] cupimus; hoc vitium sæpe ab initio vires sumere et augeri ex gratiarum actione solet; nam statim a principio tam impudenter Deum negandum non audet suggerere. Vidi ego qui Deo ore grates dicerent, et mente superbe gloriarentur, quod aperte Pharisæus ille testatur, qui Deo gratias egit, cum dixit : *Deus, gratias tibi ago* [94]. Ubicumque lapsus contigit, ibi jam ante superbia nidificarat : index enim prioris sequens casus est. Cogita tu mihi duodecim esse vitia ignominiæ. Audivi ego a viro valde honorato qui dixit : Si unum ex his (elationem animi dico) voluntate tua complexus fueris, illud unum vicem undecim reliquorum supplebit. Monachus superbus vehementer contradicit aliis. Humilis contradicere prorsus nescit. Cupressus nunquam ramos in terram demittit ut humi repat, nec superbus monachus obedientiæ se submittit.

[94] Luc. XVIII, 11.

(*a*) Ἐπιληψία, morbus sacer, comitialis, caducus, philosophorum quispiam οἴησιν, seu fastum et superbiam, morbum sacrum appellavit.

Vir elati animi regnare cupit, neque enim alio modo, ut casus fert, funditus perire potest, aut aliter non vult interire. *Superbis Deus resistit* [98]. Quis porro hosce miserari possit, impurus est omnis apud Deum, quisquis superbo est corde. Ecquis vero hujuscemodi purum reddere queat? Institutio (*a*) superbo ruinæ occasio est, stimulus superbi seu palus, dæmon est, destitutio (*b*) stuporem inducit. Et priora quidem hominum vitia sæpe ab hominibus curata sunt. Extremum vero seu stupor ab nullo mortalium curari potest. **291** Qui reprehensionem aversatur et repellit, vitium suum prodit : qui vero quærit objurgationem, expeditus est a vinculo superbiæ. Si quis absque cæteris vitiis per hoc solum et unicum (Lucifer) e cœlo decidit, quærendum est an forsan quispiam absque aliis virtutibus per solam humilitatem cœlum conscendere possit? Superbia omnium laborum et sudorum opes perdit : clamaverunt, nec erat qui salvos faceret, haud dubie propterea quod cum superbia clamarent. Clamaverunt ad Dominum, nec exaudivit eos, idcirco nempe, quod causas adversus quas clamaverunt non sustulerint prius.

A Κυρίῳ πᾶς ὑψηλοκάρδιος (6). Καὶ τίς λοιπὸν τὸν τοιοῦτον ἀποκαθᾶραι δύναται; Παίδευσις μὲν ὑπερηφάνῳ πτῶμα· σκόλοψ δὲ δαίμων· ἐγκατάλειψις δὲ ἔκτασις. Καὶ τὰ μὲν πρότερα πολλάκις καὶ ἄνθρωποι ὑπὸ τῶν ἀνθρώπων ἐθεραπεύθησαν· τὸ δὲ ἔσχατον παρ' ἀνθρώποις ἀνίατον. Ὁ ἀποσειόμενος ἔλεγχον, τὸ πάθος ἐσήμανεν· ὁ δὲ προσδραμὼν, τοῦ δεσμοῦ λέλυται· εἰ χωρὶς ἑτέρου πάθους τις διὰ τούτου καὶ μόνου τῶν οὐρανῶν κατέπεσε (7), ζητητέον μήπως καὶ δίχα ἀρετῆς ἑτέρας ἐκ ταπεινώσεως εἰς οὐρανοὺς ἀναβαίνειν ἐνδέχεται. Ὑπερηφανία ἐστὶ πλούτου καὶ ἰδρώτων ἀπώλεια· ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πάντως, ὅτι μετ' ὑπερηφανίας· ἐκέκραξαν πρὸς Κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, πάντως, ὅτι τὰς αἰτίας καθ' ὧν ἠύχοντο, οὐκ ἀπ-

B ἔκοπτον.

Superbum quemdam fratrem senior quidam rerum spiritualium scientissimus ad humilitatem hortatus est : sed ille cæcutiens, Ignosce, inquit, pater, non sum superbus ; et sapientissimus ille senex : Ecquod, inquit, fili, majus superbiæ signum et argumentum edere nobis potes, quam dicendo : Non sum superbus. Admodum potest hujusmodi ingeniis subjectio, et agrestior viliorque vivendi ratio et disciplina ; recte item factorum sanctorum Patrum quæ naturæ gradum superare videntur, lectio, fortasse enim et hinc aliqua spes salutis male affectis hisce affulgebit. Turpe est alienis plumis superbire, sed extremæ dementiæ ob cœlestia dona extolli eaque sibi arrogare. De solis recte factis efferri potes, quæ, antequam natus esses, possedisti. Nam quas natus accepisti, Deus donavit, uti et hoc ipsum quod nascerere. Quascunque virtutes sine anima exercuisti, illæ solæ tuæ sunt, Deus enim animum ipsum tibi impertivit. **292** Et quæcunque virtutum certamina extra corpus subiisti, illa tuo studio sola ascribere potes : nam corpus, tuum non est, sed opus Dei. Cave tibi fidas ante pronuntiatam de te ultimam sententiam, cum videas illum, qui in thalamo jam discubuerat, ligatis manibus et pedibus in tenebras exteriores ejectum. Noli elatis cervicibus incedendo cœlum tangere, cum sis e cœno terræ factus. Multi enim e cœlo sancti et corporis expertes deturbati sunt. Ubi malus dæmon in suis ministris sedem fixit, tunc vel in somno vel in vigilantibus per visum habitu formaque vel beati alicujus angeli, vel martyris apparet, et arcana quædam aperit, vel quibusdam gratiarum donis ornat, ut ita delusi infelices mente demum penitus excidant. Quod si vel infinitas pro Christo mortes toleramus, nullo tamen modo vel sic pro debito satisfaceremus. Aliud enim est sanguis Dei, aliud servorum Dei sanguis, si di-

Ἀδελφὸν ὑπερηφανεύομενον γέρων γνωστικώτατος πνευματικῶς ἐνουθέτησεν (8), ὁ δὲ τυφλώττων φησί· Συγχώρησον, πάτερ, οὐκ εἰμὶ ὑπερήφανος. Ὁ δὲ πάνσοφος γέρων πρὸς αὐτόν· Καὶ ποίαν, φησὶ, τέκνον, ἀπόδειξιν σαφεστέραν ταύτης παρέχεις ἡμῖν τοῦ πάθους, ἀλλ' ἢ τὸ εἰπεῖν· Οὐκ εἰμὶ ὑπερήφανος; Πάνυ τοῖς τοιούτοις συνέρχεται ἡ ὑποταγὴ, καὶ παχυτέρα καὶ ἀτιμοτέρα διαγωγή· καὶ ἡ τῶν ὑπὲρ φύσιν τῶν πατέρων κατορθωμάτων ἀνάγνωσις· ἴσως κἂν οὕτως ἔσται τοῖς νοσοῦσι μικρὰ σωτηρίας ἐλπίς. Αἰσχύνη ἐπ' ἀλλοτρίῳ κόσμῳ ἐπαίρεσθαι (9)· ἄνοια δὲ ἐσχάτη, ἐπὶ χαρίσμασι Θεοῦ φαντάζεσθαι. Ὅσα σοι κατορθώματα πρὸ τῆς σῆς γεννήσεως γεγόνασιν, ἐπὶ τούτοις μόνοις ἐπαίρου· τὰ γὰρ μετὰ γέννησιν ὁ Θεὸς ἐδωρήσατο, ὥσπερ καὶ τὴν γέννησιν· ὅσας ἐκτὸς τοῦ νοὸς ἀρετὰς κατώρθωκας, αὗται καὶ μόναι σοῦ τυγχάνουσι· τὸν γὰρ νοῦν Θεὸς ὁ δωρησάμενος. Ὅσα ἐκτὸς τοῦ σώματος ἐπεδείξω ἔπαθλα, ἐκ σῆς σπουδῆς καὶ μόνον γεγόνασι· τὸ γὰρ σῶμα, οὐ σὸν, ἀλλὰ τοῦ Θεοῦ ποίημα· μὴ θάρσει ἕως τὴν ἀπόφασιν δέξῃ (10), ὁρῶν ἐκεῖνον καὶ μετὰ τὴν ἐν τῷ νυμφῶνι κατάκλισιν χεῖρας καὶ πόδας δεσμούμενον, καὶ εἰς τὸ σκότος τὸ ἐξώτερον ἐξοριζόμενον· μὴ ὑψαυχένει, γῆϊνος ὤν· πολλοὶ γὰρ καὶ ἐξ οὐρανῶν ἐρρίφησαν ἅγιοι καὶ ἄϋλοι τυγχάνοντες. Ὅταν χώραν ἐν τοῖς ἑαυτοῦ ἐργάταις ὁ δαίμων λήψεται· τότε ἂν τοῖς κατὰ τοὺς ὕπνους, ἢ καὶ καθ' ὕπαρ ὡς ἐν σχήματι δῆθεν ἁγίου ἀγγέλου, ἢ καὶ μάρτυρός τινος ἐπιφαινόμενος, μυστηρίων αὐτοῖς ἀποκάλυψιν, ἢ χαρισμάτων δωρεὰν ἐπιδίδωσιν, ἵνα ἀπατηθέντες οἱ τάλανες τελείως τῶν φρενῶν ἐκπέσωσιν. Εἰ καὶ μυρίους θανάτους ὑπὲρ Χριστοῦ ὑπομείνωμεν (11), οὐδὲ οὕτως τὸ δέον ἀνεπληρώσαμεν· ἄλλο γὰρ αἷμα Θεοῦ, καὶ ἕτερον αἷμα δούλων, κατὰ τὸ ἀξίωμα, καὶ οὐ κατὰ τὴν οὐσίαν· συζητοῦντες ἑαυτοὺς ἀεὶ, καὶ ἀνακρίνοντες πρὸς

C

D

[98] Jac. IV, 6.

(*a*) Eruditio, correctio, reprehensio.

(*b*) *Subtractio internæ* (*divinæ nempe gratiæ*).

τοὺς πρὸ ἡμῶν πατέρας καὶ φωστῆρας, μὴ παυ- A
σώμεθα, καὶ τότε εὑρήσομεν ἑαυτοὺς μηδὲ ὅλως ἴχνος ἀκριβοῦς πολιτείας πατήσαντας· μηδὲ τὸ ἐπάγγελμα ὁσίως τηρήσαντας· ἀλλ' ἔτι ἐν τῇ κοσμικῇ καταστάσει διατρίβοντας.

gnitalem, non naturam respiciamus. Ubi diligenter in nos ipsos inquisiverimus, nostramque vitam ad exempla sanctorum Patrum, qui ante nos vixerunt et velut vera mundi lumina resplenduerunt, exigere non cessaverimus; tum vero nos nullum penitus vestigium in nobis quod teramus religiosæ et seriæ vitæ deprehendemus, nec quod professioni nostræ satisfaciamus, sed potius adhuc in statu vitæ sæcularis et profanæ versemur.

Μοναχὸς κυρίως ἐστὶν ἀμετεώριστον ὄμμα ψυχῆς (12), καὶ ἀκίνητος σώματος αἴσθησις. Μοναχός ἐστιν ὁ τοὺς πολεμίους, δίκην θηρῶν, προσκαλούμενος, καὶ ἐρεθίζων ἐν τῷ φεύγειν ἀπ' αὐτοῦ. Μοναχός ἐστιν ἀδιάστατος ἔκστασις, καὶ λύπη ζωῆς. Μοναχός ἐστιν ὁ ποιωθεὶς ταῖς ἀρεταῖς, ὡς ἄλλος ταῖς ἡδοναῖς. Μοναχός ἐστιν ἄληκτον φῶς ἐν ὀφθαλμῷ καρδίας. Μοναχός ἐστιν ἄβυσσος ταπεινώσεως, ἐν αὐτῇ πᾶν πνεῦμα χρημνίσας καὶ ἀποπνίξας. Λήθην πταισμάτων τύφος ἐργάζεται (13)· ἐκείνων γὰρ μνήμη ταπεινοφροσύνης πρόξενος. Ὑπερηφανία ἐστὶν ἐσχάτη πενία ψυχῆς (14)· πλοῦτον ἐν σκοτείᾳ οἰομένη οὐ μόνον προβαίνειν οὐκ ἐᾷ ἡ μιαρὰ, ἀλλὰ καὶ τοῦ ὕψους ἀποῤῥίπτει. Ὑπερηφανία ἐστὶ ῥοιὰ ἔσωθεν σεσηπυῖα, ἔξωθεν δὲ τῇ ὥρᾳ ἀποστίλβουσα. Μοναχὸς ὑπερήφανος οὐ δεηθήσεται δαίμονος· αὐτὸς γὰρ λοιπὸν ἑαυτῷ δαίμων καὶ πολέμιος γέγονεν· ἀλλότριον μὲν τοῦ φωτὸς τὸ σκότος· ἀλλότριος δὲ καὶ ὑπερήφανος παντοίας ἀρετῆς. Ἐν ὑπερηφάνων καρδίαις γεννηθήσονται βλασφημίας ῥήματα (15)· ἐν ταπεινῶν δὲ ψυχαῖς, οὐράνια θεωρήματα. Βδελύττεται ἥλιον κλέπτης (16), ὑπερήφανος δὲ πραεῖς ἐξουδενώσει. Ἔλαθον, πῶς οὐκ οἶδα, ἑαυτοὺς ὑπερηφάνων πλεῖστοι· καὶ δόξαντες ἀπαθεῖς εἶναι, τὴν οἰκείαν πενίαν ἐν ἐξόδῳ ἑωράκασιν. Ὁ ταύτῃ ἀλοὺς Κυρίου δεηθήσεται· ματαία γὰρ παρ' ἐκείνῳ σωτηρία ἀνθρώπων. Κατελιψά που τὴν ἀκέφαλον πλανῆτιν πέλουσαν ἐν τῇ ἐμῇ καρδίᾳ, καὶ ἐπὶ τῶν ὤμων τῆς οἰκείας μητρὸς ὀχουμένην· ἃς παγιδεύσας δεσμῷ ὑπακοῆς (17), καὶ μάστιγι εὐτελείας μαστιγώσας, τὴν ἐν ἐμοὶ αὐτῶν εἴσοδον ἐξήταζον λέγειν· διὸ καὶ μαστιζόμεναι ἔλεγον· Ἡμεῖς ἀρχὴν οὐκ ἔχομεν, οὐδὲ γέννησιν· ἄρχουσαι γὰρ καὶ γεννήτριαι πάντων τῶν παθῶν καθεστήκαμεν· πολεμεῖ δὲ ἡμᾶς οὐ μετρίως συντριμμὸς καρδίας ἐν ὑποταγῇ τικτόμενος· ἄρχεσθαι γὰρ ὑπ' οὐδενὸς σεσυνηθίκαμεν. Διὸ καὶ ἐν οὐρανοῖς ἄρχουσαι γεγονυῖαι, ἐκεῖθεν ἀπεστατήσαμεν· διὸ καὶ πάντων συλλήβδην εἰπεῖν, τῶν ἀντιπραττόντων τῇ ταπεινοφροσύνῃ, ἡμεῖς γεννήτριαι· πάντα γὰρ τὰ ἐκείνῃ συνεργοῦντα, ἡμῖν ἀντίκεινται. Πλὴν ἐν οὐρανῷ ἰσχύσαμεν, καὶ ποῦ ἀπὸ προσώπου ἡμῶν φεύξῃ; Ἡμεῖς πολλάκις ἐπ' ἀτιμίαις, καὶ ὑπακοῇ, καὶ ὀργησίᾳ, καὶ ἀμνησικακίᾳ, καὶ διακονίᾳ ἑπακολουθεῖν πεφύκαμεν· ἡμῶν ἔκγονα πτώματα πνευματικῶν· ὀργὴ, καταλαλιὰ, πικρία, θυμὸς, κραυγὴ, βλασφημία, ὑπόκρισις, μῖσος, φθόνος, ἀντιλογία, ἰδιορυθμία, ἀπείθεια. Ἔν ἐστι καὶ μόνον ἐν ᾧ ἐπιχειρεῖν οὐκ ἔχομεν δύναμιν· καὶ τοῦτο σοι μαστιζόμεναι λέγομεν· Ἐὰν ἑαυτὸν ἐνώπιον Κυρίου εἰλικρινῶς καταμέμψῃ, ἡμᾶς ὡς ἀράχνην λελογίσῃ (18). Ἵππος μὲν γὰρ, ὡς ὁρᾷς, ὑπερηφανίας κενοδοξία, ἐφ' ἣν ἐπιβέβηκα· ἡ δὲ ὁσία ταπείνωσις, καὶ αὐτομεμ-

Monachus proprie vereque ille est, qui mentis oculum nunquam extollit, et corporis sensum immotum custodit. Monachus est qui hostes, ferarum ritu **293** ad pugnam provocat et irritat, dum ille profugiunt ab eo. Monachus est perpetuus mentis excessus et vitæ luctus. Monachus ita virtutibus est affectus et temperatus, ut alius voluptatibus corruptus et perditus. Monachus est inexstinctum in B oculo cordis lumen. Monachus est infinitum humilitatis profundum, quo omnis improbus spiritus præceps hauritur et suffocatur. Inflatus superbia animus peccatorum memoriam delet, quorum recordatio parit humilitatem. Superbia est extrema animæ inopia, quæ sibi divitias in tenebris fingit, adeoque exsecrata illa pestis, non solum progredi non sinit ascendentem, sed ex alto etiam deturbat. Superbia malum est intus putre, foris nitens et florens. Monachus superbus non indiget alio dæmone, ipse enim sibi est jam dæmon et hostis factus: ut tenebræ alienæ sunt ab luce, ita superbus ab omni virtute est alienus. [illegible] superborum nascuntur blasphemiæ verba, in corde humilium, cœlestes illustrationes, uti solem C fur aversatur, ita superbus mansuetos contemnit. Plerique superborum nescio quo pacto se ipsos, dum vivunt, nesciant, dum sibi videntur in summa animi tranquillitate constituti, qui in excessu vitæ suam demum inopiam agnoscunt. Qui ab superbia occupatus est et captus, auxilio divino indiget, vana enim apud hujusmodi salus hominum. Comprehendi ego olim hanc capite diminutam præstigiatricem (quæ in corde meo nidulata fuerat, et humeris matris suæ vehebatur) et ambas vinculo obedientiæ constrictas, **294**, et utilitatis meæ flagro cæsas exprimere coegi, quo pacto se in cor meum insinuassent. Nos ergo, diverberatæ aiebant, principio caremus, neque nasci D solemus, sed ipsæmet sumus principes et omnium vitiorum procreatrices. Vehementer autem oppugnat et adversatur nobis contritio cordis ex obedientia nata. Consuevimus enim nulli parere. Idcirco in cœlo quoque principes factæ defectionem molitæ sumus. Itaque ut omnia verbo complectamur, omnium vitiorum quæ humilitati repugnant, nos auctrices et genitrices sumus. Omnia enim quæ humilitati suffragantur, nobis adversantur. Enimvero nos in cœlo præpotuimus, et quo a facie nostra fugies? Nos non raro post toleratas ignominias, obedientiam exercitam, iracundiam repressam, deletam injuriarum memoriam, officia et ministeria insequi religiosos solemus: a nobis porro hæc vitiosa progenies propagatur. Lapsus

religiosorum, ira, obtrectatio, animorum acerbitas, furor, clamor, maledicta, virtutum simulatio, odium, invidia, oblocutio, suo modo et volle vivere, non consiliis, non imperiis parere. Unum quiddam et solum est in quo aggrediendo et efficiendo omnes vires nostræ elanguescunt, et hoc tibi flagro objurgatæ et coactæ enuntiamus. Si te ipsum in conspectu Dei sincere accusaveris et culpaveris, tum vero nos velut aranearum telas contemnes et enodes. Nam ut vides, equus superbiæ est vana gloria, quam ego superbia conscendi; sancta vero humilitas et sui ipsius reprehensio ridebunt *equum et ascensorem ejus*, **295** carmen triumphale suavissime decantaturæ. *Cantemus Domino, gloriose enim magnificatus est : equum et ascensorem dejecit in mare* [96], et profundum humilitatis.

A ψία καταγελάσονται ἵππου καὶ τοῦ ἐπιβάτου αὐτοῦ (19) · τὴν ἐπινίκιον ᾠδὴν ἐνηδόνως ᾄδουσαι · Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται · ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν, καὶ ἄβυσσον ταπεινώσεως.

Qui tertium et vicesimum gradum conscendit, vir est, si tamen quisquam conscendere poterit.

B Εἰκοστὸς τρίτος βαθμός · ὁ ἀναβεβηκὼς ἴσχυσεν, εἴπερ ἄρα καὶ ἀναβεβηκέναι δεδύνηται.

SCHOLIA AD GRADUM XXIII.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΓ'.

De superbia.

Περὶ ὑπερηφανίας.

Scholion 1.

Qui non cœlesti auxilio, sed sua se virtute recte quidpiam facere arbitratur, negat Deum, qui in omnibus ejus est adjutor. Quapropter cadit destitutus a gratia Dei quam contempsit.

Σχόλιον α'.

Ὁ μὴ ἐκ τῆς ἄνωθεν βοηθείας, ἀλλ' ἐξ ἑαυτοῦ δοκῶν τι κατορθοῦν, ἀρνεῖται τὸν Θεὸν, τὸν ἐπὶ πᾶσιν ἀντιλήπτορα αὐτοῦ. Διὸ καὶ πίπτει, καταλειφθεὶς ὑπὸ τῆς χάριτος, ἣν ἠθέτησεν.

Scholion 2.

Proprium est superbiæ alios contemnere, et animo excandescere.

Σχόλιον β'.

Ἴδιον ὑπερηφανίας τὸ ἐξουδενεῖν, καὶ θυμοῦσθαι.

Scholion sancti Nili 3.

Ne pulchrum existima habere virtutem, sed habere, ut oportet. Qui sua virtute putat se hostes vincere, Deum quasi exauctorat et rejicit. Unde et cadit, quantumvis cadat invitus, cœlesti auxilio destitutus.

Σχόλιον ἁγίου Νείλου γ'

C Μὴ τὸ ἔχειν ἀρετὴν, καλὸν εἶναι νόμιζε, ἀλλὰ τὸ ὡς δεῖ. Ὁ τῇ ἰδίᾳ δυνάμει δοκῶν νικᾷν πολεμίους, τὸν Θεὸν ὥσπερ ἀθετεῖ · διὸ καὶ πίπτει πτῶμα ἀκούσιον, ἀμοιρῶν ἐπικουρίας τῆς ἄνωθεν.

Scholion 4.

Si vis tua præclare facta ostendere, non altum sapias, neque existima esse magna. Nihil tam gratum Deo, quam seipsum inter postremos numerare.

Σχόλιον δ'.

Εἰ βούλει μεγάλα σου δεῖξαι τὰ κατορθώματα, μὴ μέγα φρόνει, μηδὲ νόμιζε εἶναι αὐτὰ μεγάλα, (ἐστὶ μεγάλων [a]) οὐδὲν οὕτως Θεῷ φίλον, ὡς μετὰ τῶν ἐσχάτων ἑαυτὸν ἀριθμεῖν.

Aliud.

Philosophus quispiam animi tumorem sive sui existimationem dixit esse morbum sacrum.

Ἄλλο.

Φιλόσοφός τις τὴν οἴησιν ἱερὰν νόσον ἔλεγεν εἶναι.

Aliud.

Vidi gravem morbum, divitias servatas sibi in suum exitium et malum. Et Dominus : *Væ*, inquit, *qui divites estis et abundatis, quia esurietis, quia recipitis mercedem vestram* [97], et consolationem.

Ἄλλο.

D Εἶδον ἀῤῥωστίαν δεινὴν, πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ εἰς κακίαν αὐτῷ · καὶ ὁ Κύριος · *Οὐαὶ οἱ πλουτοῦντες, ὅτι πεινάσετε ; ὅτι ἀπέχετε τὸν μισθὸν ὑμῶν, καὶ τὴν παράκλησιν.*

Scholion 5.

Ne properes ut præsis fratrum sodalitati, ne aliena onera peccatorum imponas cervici tuæ.

Σχόλιον ε'.

Μὴ σπεύσῃς κεφαλεῦσαι ἀδελφότητος, ἵνα μὴ ἐπιθήσῃς ἀλλοτρίους φόρτους τῶν ἁμαρτημάτων ἐπὶ σῷ τραχήλῳ.

Scholion 6.

296 Non credere placere Deo studium suum, conciliat divinum auxilium, ut te custodiat, et convertat retro ingruentes tentationes.

Σχόλιον ς'.

Τὸ μὴ πιστεύειν ἀρέσκειν τῷ Θεῷ τὸν σκοπόν σου, παρασκευάζει τὴν βοήθειαν τοῦ Θεοῦ φυλάσσειν σε, καὶ ἐπιστρέφει εἰς τὰ ὀπίσω τοὺς ἐπερχομένους.

Scholion 7.

Salvator quoque noster in beatitudinibus, pau-

Σχόλιον ζ'.

Καὶ ὁ Σωτὴρ δὲ ἐν τοῖς μακαρισμοῖς [τοῖς πτω-

[96] Exod. xv, 1. [97] Luc. vi, 25.

(a) Clausa parenthesi videntur redundare.

χοῖς τῷ πνεύματι μόνοις ἀποκεῖσθαι ἔφησε τὴν βασιλείαν τῶν οὐρανῶν.

Σχόλιον η'.

Ὡς τῷ μετανοοῦντι τὸ ὑψηλοφρονεῖν ἀλλότριον· οὕτως τὸν ἑκουσίως ἁμαρτάνοντα τὸ ταπεινοφρονεῖν ἀδύνατον.

Ἄλλο.

Ὁ νεκρώμενος ὑπὸ παθῶν, συμβουλῆς οὐκ αἰσθάνεται, καὶ παιδεύσεως πνευματικῆς τὸ σύνοδον οὐκ ἀνέχεται.

Σχόλιον θ'.

Ἀπόδειξις δεικνύουσα ἐπὶ μηδενὶ γαυριᾶν καὶ ἐξυφοῦσθαι ὡς οἰκείᾳ φρονήσει, ἢ ἰσχύϊ κατορθοῦντι, ἄνευ τῆς τοῦ Θεοῦ ἀνεικάστου μεγαλοδωρεᾶς.

Ἄλλο.

Ὁ ἐγκρατὴς ἀπέχεται γαστριμαργίας· ὁ ἀκτήμων πλεονεξίας· ὁ ἥσυχος πολυλαλιᾶς· ὁ ἁγνὸς φιληδονίας· ὁ σεμνὸς πορνείας· ὁ αὐτάρκης φιλαργυρίας· ὁ πρᾶος ταραχῆς· ὁ ταπεινόφρων κενοδοξίας· ὁ ὑποτακτικὸς φιλονεικίας· ὁ ἐλεγκτικὸς ὑποκρίσεως· ὁ προσευχόμενος ἀνελπιστίας· ὁ πτωχὸς πολυχρηματίας· ὁ ὁμολογητὴς ἀρνήσεως· ὁ μάρτυς εἰδωλολατρίας. Βλέπεις πῶς πᾶσα ἡ ἕως θανάτου ἐπιτελουμένη ἀρετή, οὐδὲν ἕτερον, πλὴν ἁμαρτίας ἐστὶν ἀποχή· ἁμαρτίας δὲ ἀποχὴ φύσεώς ἐστιν ἔργον· οὐ βασιλείας ἀνταλλαγή.

Ἰωάννου Καρπαθίου ι'.

Τὸ τοῦ γάμου ἔνδυμα, περὶ οὗ τὰ θεῖα Χριστοῦ διαλαμβάνει λόγια, τὴν τοῦ ἁγίου Πνεύματος εἶναι χάριν ἡγοῦ· ἣν ὁ μὴ ἐνδυθῆναι γεγονὼς ἄξιος, τοῦ ἐπουρανίου γάμου, καὶ τοῦ δείπνου τοῦ πνευματικοῦ κοινωνὸς οὐκ ἔσται.

Σχόλιον Μάρκου ια'.

Τινὲς μὴ ποιοῦντες τὰς ἐντολὰς πιστεύειν ὀρθῶς νομίζουσι· τινὲς δὲ ποιοῦντες, ὡς μισθὸν ὀφειλόμενον τῆς βασιλείας ἐκδέχονται· ἀμφότεροι δὲ τῆς ἀληθείας ἀπεσφάλησαν.

Σχόλιον ιβ'.

Ὅταν τὸν νοῦν, ἢ δι' ἀργολογίας, ἢ εὐτραπελίας, ἢ ἄλλου τινὸς τοιούτου ἐκ Θεοῦ ἀφιστῶμεν, καὶ μετεωριζόμεθα, οὐ μοναχοί ἐσμεν.

Σχόλιον ιγ'.

Λήθη πταισμάτων ποτὲ μὲν οἴησιν τεχνουργεῖ, ποτὲ δὲ ἀναισθησίαν.

Εὐαγρίου ιδ'.

Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχὺ πένης γένῃ.

Σχόλιον ιε'

Ὁ ὑπερηφανευόμενος παραχωρεῖται πεσεῖν εἰς βλασφημίας, καὶ ὁ ἐν τῇ ἀρετῇ τῆς πράξεως ἐπαιρόμενος, ἐν τῇ πορνείᾳ παραχωρεῖται πεσεῖν· καὶ ὁ ἐν τῇ σοφίᾳ αὐτοῦ ἐπαιρόμενος, ἐν ταῖς σκοτειναῖς παγίσι τῆς ἀγνοίας ἐμπεσεῖν παραχωρεῖται.

Σχόλιον ις'.

Μέγα νομίζω καὶ τίμιον, τὸ τὴν κενοδοξίαν νικῆσαι, καὶ προκόψαι εἰς γνῶσιν Θεοῦ· ὁ γὰρ ἐμπεσὼν εἰς τὴν αἰσχρότητα τοῦ πονηροῦ τούτου πάθους τῆς κενοδοξίας, τῆς εἰρήνης ἀλλοτριοῦται, καὶ σκληρύ-

A peribus spiritu solis repositum esse regnum cœlorum dixit.

Marci monachi 8.

Sicut altum sapere pœnitentiam agenti repugnat, ita fieri non potest ut humiliter et demisse de se sentiat, qui sponte peccat.

Aliud.

Victus a malis cupiditatibus et in mortem datus, omne consilium sanum repudiat, nec ullam disciplinam religiosam sustinet.

Scholion 9.

Demonstratio est quæ ostendit de nulla re gloriandum aut superbiendum, tanquam propria prudentia et viribus nixus sine incomparabili Dei gratia et dono aliquid recte gesseris.

B

Aliud.

Abstinens guiam coercet; opum contemptor, habendi cupiditatem; solitudinis cultor, loquacitatem; castus, voluptatem; pudicus, luxuriam; contentus suo, pecuniæ studium; mitis tumultus, humilis, vanam gloriam; subjectus, contentiones; reprehensus, simulationem; precabundus, desperationem; mendicus divitias recusat; confessor, negationem; martyr, idololatriam. Vides omnem, quæ ad mortem usque exercetur virtutem, nihil aliud esse quam continentiam seu abstinentiam a peccato. Abstinentia autem est naturæ opus, non regni compensatio * * *.

Joannis Carpathii 10.

C Vestem nuptialem de qua divina Christi oracula loquuntur, sancti Spiritus gratiam interpretare, quam qui ut indueret, dignus habitus non est, cœlestium nuptiarum et cœnæ cœlestis particeps non erit.

Marci monachi 11.

Quidam qui Dei mandata negligunt, recte se credere existimant. Quidam qui præcepta Dei sequuntur, regnum Dei tanquam pro debito stipendio exspectant; ambo procul a vero aberrant.

Scholion 12.

Quando mentem aut per otiosum sermonem **297** aut scurrilitatem, aut hujusmodi aliquid a Deo avertimus, et superbimus, monachi non sumus.

Scholion 13.

D Oblivio delictorum nunc creat animi tumorem, nunc stuporem.

Scholion 14.

Noli statim velle ditescere, ne subito pauper fias.

Scholion 15.

Qui superbia tumet, permittitur in blasphemias cadere; qui virtutis exercitatione tollitur, in luxuriam; qui sapientia sua tumet, in ignorantiæ tenebras et laqueos incidit.

Scholion 16.

Rem ingentem et magnificam existimo vincere vanam gloriam et proficisse in cognitione Dei. Qui enim in dedecus hujus improbi vitii vanæ gloriæ incidit, exsors est pacis, et non obtinet erga

sanctos, et postquam ad finem et extremum malorum suorum pervenit, in improbam incidit superbiam et libidinem mentiendi.

Scholion 17.

Observa quod voluntatem suam cum scientia seu prudentia committere proximo, hæc vera sit humilitas.

Scholion 18.

Si non vis occupari et subigi a malignis spiritibus [cogitationibus] contemptum animi, et corporis afflictationem suspice, et hoc non subinde et sigillatim, sed in omni loco et occasione et re.

Scholion 19.

Fieri non potest ut, qui non erga omnes pro extrema sua facultate metum [venerationem] quemdam suscipit, vel convicio, vel contumelia appetitus, iram vincat; aut afflictus æquo animo tentationem superet.

298 *De inexplicabilibus blasphemiæ cogitationibus*

Perniciosæ stirpis et parentis perniciosissimam sobolem esse supra demonstratum est, exsecratæ, inquam, superbiæ infandam blasphemiæ prolem. Proinde necesse est ut eam in medio ponamus, neque enim ex obviis et vulgaribus est adversariis, sed omnium qui sunt, longe infestissimus inimicus et hostis, et quod gravius est, explicatu difficilis, quique ægre per confessionem religioso animi medico sistatur et aperiatur. Unde sæpenumero non paucis usuvenit, ut in ultimam desperationem, omni salutis spe sublata, inciderent. Non secus enim ac teredo lignum, ita spem omnem impia absumit. Ista ergo ista, exsecranda blasphemia inter ipsas sacras synaxes, et sub ipsam horam qua tremenda mysteria Eucharistiæ peraguntur, solet Dominum impiis cogitationibus incessere, adeoque sacrificium ipsum impiare. Unde plane intelligimus illa, infanda, incomprehensa et impia cogitationum maledicta in Deum non ab anima nostra, sed ab hoste Dei dæmone e cœlo profugo, ubi quoque Deum diris exsecrationibus visus est incessisse, proficisci. Si enim fœda et indecora mentis verba mea sunt, quomodo, dum cœleste illud donum sumo, supplex adoro? quomodo simul possum eidem et male et benedicere? Multos ille **299** veterator et animarum perditor sæpe de statu mentis dejecit. Nulla enim alia cogitatio tam ægre quam hæc blasphemiæ aperitur. Itaque sæpe cum multis clausa intus consenuit. Nihil enim adeo dæmonum et cogitationum impiarum adversus nos vim auget, atque has in corde tacitas nutrire et celare. Nemo se propter hujuscemodi blasphemiæ cogitationes reum fieri aut peccare existimet, novit enim cordium cognitor Deus non nostras, sed hostium nostrorum esse ejusmodi cogitationes. Ut ebrietas est causa cur offendas, ita superbia impiarum cogitationum. Et quamvis offendendo non pecces, puniens tamen propter ebrietatem. Dum

νεται τὴν καρδίαν πρὸς τοὺς ἁγίους· καὶ ἐν τῷ τέλει τῶν κακῶν αὐτοῦ, εἰς ὑψηλοφροσύνην περιπίπτει πονηρὰν καὶ φροντίδα τοῦ ψεύδεσθαι.

Σχόλιον ιζ'.

Ὅρα, ὅτι τὸ ἀπολῦσαι τὸ θέλημά σου τῷ πλησίον ἐν γνώσει, αὕτη ἐστὶν ἡ ταπείνωσις.

Μαξίμου ιη'.

Εἰ βούλει μὴ ἐνεργεῖσθαι ὑπὸ τῶν πονηρῶν, ἐξουδένωσιν ψυχῆς καὶ θλῖψιν σαρκὸς καταδέχου, καὶ τοῦτο οὐ μερικῶς, ἀλλ' ἐπὶ παντὶ τόπῳ, καὶ καιρῷ, καὶ πράγματι.

Σχόλιον ιθ'.

Ἀμήχανον τὸν μὴ καταδεξάμενον τὸ πρὸς πάντας ὑποδεὲς καὶ ἔσχατον δυνηθῆναί ποτε, ἢ λοιδορούμενον, θυμοῦ κρατῆσαι, ἢ θλιβόμενον μετὰ μακροθυμίας περιγενέσθαι τῶν πειρασμῶν.

Περὶ τῶν ἀνεκφράστων λογισμῶν τῆς βλασφημίας (a).

Χαλεπῆς ῥίζης καὶ μητρὸς χαλεπώτατον ἀπόγονον εἶναι ἐν τοῖς φθάσασιν ἀκηκόαμεν, λέγω δὴ τῆς μιαρᾶς ὑπερηφανίας ἄῤῥητον τῆς βλασφημίας ἀπόγονον· διὸ ἀναγκαῖον αὐτὸν εἰς μέσον ἀχθῆναι· οὐ γὰρ τῶν τυχόντων, ἀλλά γε καὶ πολὺ πάντων χαλεπώτερος ἐχθρὸς καὶ πολέμιος καθέστηκε, καὶ τὸ δὴ χαλεπώτερον οὐδὲ εὐχερῶς ἐκφρασθῆναι καὶ ἐξομολογηθῆναι, ἢ στηλιτευθῆναι πνευματικῷ ἰατρῷ δυνάμενος. Διὸ καὶ πολλοῖς πολλάκις ἀπόγνωσιν καὶ ἀνελπιστίαν ἐγέννησεν· ὥσπερ σκώληξ ἐν ξύλῳ, πᾶσαν αὐτῶν τὴν ἐλπίδα ἐξαναλώσας ὁ ἀνόσιος. Οὗτος τοίνυν, οὗτος ὁ παμμίαρος φιλεῖ πολλάκις παρ' αὐτὰς τὰς ἁγίας συνάξεις, καὶ κατ' αὐτὴν τὴν φρικτὴν τῶν μυστηρίων ὥραν δυσφημεῖν τὸν Κύριον, καὶ τὰ τελούμενα ἅγια. Ὅθεν μάλιστα καὶ μανθάνομεν σαφῶς μὴ οὖσαν τὴν ἡμετέραν ψυχὴν τὴν τὰ ἄθεσμα, καὶ ἀκατάληπτα ἐκεῖνα, καὶ ἄῤῥητα λόγια ἔνδοθεν φθεγξαμένην· ἀλλὰ τὸν μισόθεον δαίμονα τὸν ἐκ τῶν οὐρανῶν δραπετεύσαντα· διὰ τὸ κἀκεῖ τὸν Κύριον βλασφημίας τῷ δοκεῖν βαλεῖν. Εἰ γὰρ ἐμοὶ οἱ ἄσμενοι ἐκεῖνοι καὶ ἀπρεπεῖς λόγοι, πῶς τὸ δῶρον δεξάμενος προσκυνῶ; Πῶς λοιδορεῖν καὶ εὐλογεῖν δύναμαι; Πολλοὺς ὁ ἀπατεὼν οὗτος καὶ ψυχοφθόρος εἰς ἔκστασιν φρενῶν ἦγαγε πολλάκις· οὐδεὶς γὰρ ἕτερος λογισμὸς οὕτως δυσεξαγόρευτος, ὡς αὐτὸς καθέστηκε· διὸ πολλάκις τοῖς πολλοῖς καὶ συνεγήρασεν [*al.* συγγεγήρακεν]. Οὐδὲν γὰρ οὕτως τοῖς δαίμοσι καὶ τοῖς λογισμοῖς, ἰσχὺν καθ' ἡμῶν δίδωσιν, ὡς τὸ τούτους ἀνεξαγορεύτους ἐν τῇ καρδίᾳ σιτίζεσθαι καὶ ἀποκρύπτεσθαι· μηδεὶς ἐπὶ λογισμοῖς βλασφημίας αὐτὸν αἴτιον εἶναι λογίσοιτο· καρδιογνώστης γάρ ἐστιν ὁ Κύριος, καὶ ἐπίσταται, οὐχ ἡμῶν, ἀλλὰ τῶν ἐχθρῶν ἡμῶν εἶναι τὰ τοιαῦτα ῥήματα. Τὸ μεθύειν αἴτιον τοῦ προσκόπτειν· καὶ τὸ ὑπερηφανεύεσθαι, αἴτιον τῶν ἀπρεπῶν λογισμῶν, καὶ ἐκ μὲν τοῦ προσκόπτειν ἀναίτιος ὁ προσκόψας, ἐκ δὲ τοῦ μεθύειν πάντως τιμωρηθήσεται. Ἐν προσευχῇ σταθέντων ἡμῶν οἱ ἀκάθαρτοι καὶ ἄῤῥητοι

(a) Sub eodem gradu.

λογισμοὶ ἐκεῖνοι ἐπανέστησαν· καὶ τὴν προσευχὴν πληρωσάντων, εὐθέως ὑπεχώρησαν· τοῖς γὰρ μὴ μαχομένοις αὐτοῖς οὐ φιλοῦσι μάχεσθαι. Οὐ μόνον τὸ Θεῖον, καὶ τὰ θεῖα πάντα ὁ ἄθεος βλασφημεῖ, ἀλλὰ αἰσχροτάτους τινὰς καὶ ἀπρεπεῖς λόγους ἐν ἡμῖν φθέγγεται· ἵνα ἢ τὴν προσευχὴν καταλείψωμεν, ἢ ἑαυτῶν ἀπογνῶμεν· πολλοὺς μὲν τῆς προσευχῆς ἀνέκοψε, πολλοὺς δὲ τῶν μυστηρίων ἀπεχώρησε· τινῶν μὲν τὰ σώματα τῇ λύπῃ κατέτηξεν· ἄλλους δὲ διὰ νηστείας δεδάμακεν ὁ πονηρὸς οὗτος καὶ ἀπάνθρωπος τύραννος· καὶ οὐδεμίαν αὐτῆς τὴν ἄνεσιν δέδωκεν· οὐ μόνον τοῖς κατὰ κόσμον, ἀλλὰ καὶ τοῖς τὸν μοναδικὸν βίον μετερχομένοις τοῦτο ἀπεργασάμενος, μηδεμίαν αὐτοῖς λοιπὸν σωτηρίαν ἔχειν ὑποτιθέμενος, ἀλλὰ καὶ ἀπίστων καὶ Ἑλλήνων πάντων ἐλεεινοτέρους εἶναι ἀποφαινόμενος.

Ὁ πνεύματι βλασφημιας ὀχλούμενος, καὶ τούτου ἀπαλλαγῆναι βουλόμενος ἐπιγνώτω ἀκριβῶς, μὴ τὴν ψυχὴν τὴν ἑαυτοῦ αἴτιον εἶναι τῶν τοιούτων λογισμῶν, ἀλλὰ αὐτὸν ἀκάθαρτον δαίμονα, τόν ποτε πρὸς Κύριον λέγοντα· *Ταῦτα πάντα σοι δώσω, εἰ* [ἐὰν] *ἂν πεσὼν προσκυνήσῃς μοι.* Διὸ καὶ ἡμεῖς ἐξουθενοῦντες αὐτὸν, καὶ μηδόλως τὰ παρ' αὐτοῦ λογιζόμενα εἰς μέτρον ἔχοντες, εἴπωμεν· *Ὕπαγε ὀπίσω μου, Σατανᾶ, Κύριον τὸν Θεόν μου προσκυνήσω, καὶ αὐτῷ μόνῳ λατρεύσω.* Σοῦ δὲ ἐπιστρέψει ὁ πόνος καὶ ὁ λόγος ἐπὶ τὴν κεφαλήν σου, καὶ ἐπὶ τὴν κορυφήν σου, ἡ βλασφημία σου καταβήσεται ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι· ὁ ἐκτὸς τοῦ προειρημένου τρόπου τὸν τῆς βλασφημίας δαίμονα παλαῖσαι βουλόμενος, ὅμοιός ἐστι τῷ ἐν ταῖς αὐτοῦ χερσὶν ἀστραπὴν κατασχεῖν δοκιμάζοντι· πῶς γὰρ καὶ καταλήψεται, ἢ ἀντείπῃ, ἢ παλαίσῃ τῷ ἐξαίφνης ἐν τῇ καρδίᾳ δίκην ἀνέμου παρερχομένῳ καὶ ῥοπῆς, τάχιστα τὸν λόγον λέγοντι, καὶ εὐθέως ἀφαντουμένῳ; Πάντες γὰρ οἱ πολέμιοι καὶ ἵστανται, καὶ προσπολαίουσι, καὶ χρονίζουσι, καὶ καιρὸν παρέχουσι τῷ κατ' αὐτῶν παλαίειν βουλομένῳ· οὗτος δὲ οὔ, ἀλλὰ ἅμα τοῦ φανῆναι ἀπέστη, καὶ ἅμα τοῦ προσλαλῆσαι παρῆλθε.

Πολλάκις ἐν τῇ τῶν ἁπλουστέρων ἀκεραιοτέρων διανοίᾳ ὁ τοιοῦτος δαίμων φιλοχωρεῖν εἴωθε, οἵτινες καὶ μάλιστα σφοδροτέρως τῶν ἄλλων θορυβοῦνται καὶ ταράττονται (1). Ἐν οἷς καὶ λέγομεν κυρίως, οὐκ ἐξ οἰήσεως, ἀλλ' ἐκ φθόνου τῶν δαιμόνων τὸ πᾶν γίνεσθαι. Τοῦ κρίνειν καὶ τοῦ κατακρίνειν τὸν πλησίον παυσώμεθα, καὶ λογισμοὺς βλασφημίας οὐ φοβηθησόμεθα· ἀφορμὴ γὰρ καὶ ῥίζα τοῦ δευτέρου τὸ πρότερον. Ὥσπερ ὁ ἐν οἴκῳ κατακεκλεισμένος ὑπάρχων τῶν ἔξω παριόντων τοὺς λόγους ἀκούει, αὐτὸς τούτους μὴ φθεγγόμενος· οὕτω καὶ ἡ ψυχὴ ἐν ἑαυτῇ διάγουσα, τὰς τοῦ δαίμονος βλασφημίας ἀκροωμένη ταράττεται, ἅπερ φθέγγεται δι' αὐτῆς παρερχόμενος. Ὁ ἐξουθενώσας τοῦτον, τοῦ πάθους ἠλευθέρωται· ὁ δὲ ἄλλως αὐτῷ παλαίειν σοφιζόμενος, εἰς τέλος ὑπόκειται· ὁ γὰρ λόγοις πνεύ-

A precibus operam damus, impuræ illæ et infandæ cogitationes nos infestant. Precibus absolutis statim evanescunt. Neque enim iis molestæ sunt qui adversus eas non decertant. Non solum numen divinum et omnia divina impius ille blasphemat : sed et obscenissimas et spurcissimas cogitationes in nobis excitat, ut aut a precibus desistamus, aut de salute nostra desperemus. Multorum sane preces interpellavit aut præpedivit, multos a sacris mysteriis sacramentorum absterruit, quorumdam etiam corpora per tristitiam emaciavit et corrupit. Alios etiam improbus hic et crudelis tyrannus inedia confecit, nullamque quietis partem concessit, atque hoc non solum apud sæculares, sed religiosos etiam et solitarios **300** effecit, uti spem de cætero omnem B salutis abjicerent, sed iidem se etiam infidelibus et dæmonum cultoribus miserabiliores existimarent.

Qui hujuscemodi spiritu blasphemiæ exagitatur, et ab eo liberari cupit, sciat certo non ab anima ipsius hujusmodi cogitationes proficisci, sed ab eodem impuro dæmone qui olim ad Dominum dixit : *Hæc omnia dabo tibi, si cadens adoraveris me* [98]. Proinde et nos contempto illo nihil penitus illius phantasmata curemus, aut pensi habeamus, sed dicamus : *Vade post me, Satana, Dominum Deum meum adorabo, et illi soli serviam* [99]. Sermo autem laborque tuus in caput tuum convertetur, et blasphemia tua in verticem tuum et nunc in hoc præsenti, et post in futuro sæculo descendet. Qui C præter hunc a nobis demonstratum modum cum spiritu blasphemiæ volet pugnare, perinde faciet atque is, qui fulgetrum manu complecti conatur : quomodo enim complectetur, aut quomodo contraveniet, aut pugnabit adversus eum, qui puncto temporis repente per cor, venti instar, transvolat, et momento velocius sparso verbo statim evanescit? Reliqui namque hostes omnes, et consistunt, reluctantur et decertant, morantur, et adversario spatium pugnandi præbent. Ille autem nequaquam, sed simul atque apparuit, se subducit, et mox post allocutionem transit.

Consuevit sæpe hujusmodi blasphemiæ spiritus simpliciorum et incorruptorum **301** animos occupare, qui plus aliis solent ex hujusmodi cogitationibus perturbari et vexari. In hoc genere hominum vere testamur, non solere blasphemias ex animi tumore aut superbia nasci, sed omnes ex mera dæmonum invidia excitari. Desistamus alios judicare et damnare, et blasphemiarum cogitationes non formidabimus. Causa enim et radix blasphemiarum est temerarium de altero judicium. Quemadmodum domi clausus prætereuntium verba audit, quæ ipse tamen non pronuntiat : ita anima secum habitans, dum impias dæmonum blasphemias audit, terretur, quas tamen non ipsa, sed dæmon per ipsam transiens spargit, quas qui contemnit, ab omni perturbatione hujus tentationis

[98] Matth. IV, 9. [99] Ibid. 10

liberator. Qui autem aliter agere et multum luctari cum hoste volet, demum succumbet. Qui enim dæmones verbis superare contendit, ventos incassum includere conatur.

Monachus quidam, admodum religiosus ab hoc spiritu per annos viginti vexatus corpus suum inedia et vigiliis afflixit : sed cum se frustra laborasse sentiret, perscripta in charta tentationis forma, ad virum quemdam sanctum abiit chartamque porrexit, et in faciem se pronus abjecit, præ verecundia non ausus illum intueri. Pater, ut chartam legit, subrisit, et levato fratris corpore, Fili, inquit, pone manum super cervicem meam ; quod cum ille fecisset : Super me et collum meum (inquit magnus ille) sit, frater, peccatum tuum, quotquot annis te vel vexavit ante, vel deinceps **302** affliget, tu tantum posthac neglige, et nullam prorsus illius curam habe. Affirmavit ille postea, sed antequam ex senioris illius cella egrederetur, penitus ab illa tentatione fuisse liberatum, omnesque cogitationes impias in fumum evanuisse. Hoc mihi ipse qui rem totam expertus est, gratiis Christo actis enarravit.

Qui de hoc vitio victoriam retulit, superbiam superavit et exclusit.

SCHOLION AD GRADUM XXIII.

De blasphemia.

Ex incredulitate [infidelitate vel diffidentia] nascitur inobedientia ; ex inobedientia, sui complacentia ; ex hac, vana gloria, ex vana gloria, superbia ; ex superbia, blasphemia aut stupor animi. In simplicioribus blasphemia exsistit ex invidia dæmonum.

ματα κρατῆσαι [*al.* λόγοις πνευμάτων πιᾶσαι] βουλόμενος, ὁμοιός ἐστι τῷ ἀνέμους ἐγκλείοντι.

Μοναχὸς σπουδαῖος ὑπὸ τούτου ὀχλούμενος τοῦ δαίμονος ἐπὶ εἰκοστὸν ἔτος τὰς ἑαυτοῦ σάρκας νηστείαις καὶ ἀγρυπνίαις κατέτηξε. Καὶ ὡς οὐδεμιᾶς ὠφελείας ἤσθετο ἀπελθὼν καὶ τὸ πάθος ἐν χάρτῃ γεγραφὼς, ἁγίῳ τινὶ ἀνδρὶ ἐπέδωκεν, ἐπὶ πρόσωπον κείμενος καὶ πρὸς αὐτὸν ἀνανεύειν μὴ δυνάμενος. Ὡς δὲ ἀνέγνω ὁ γέρων, ἐμειδίασε, καὶ ἀναστήσας τὸν ἀδελφὸν λέγει αὐτῷ· Ἐπίθες, τέκνον, τὴν σὴν χεῖρα ἐπὶ τὸν ἐμὸν αὐχένα. Καὶ ὡς τοῦτο ὁ ἀδελφὸς πεποίηκε, λέγει ὁ μέγας· Ἐπὶ τὸν ἐμὸν τράχηλον, ἀδελφὲ, ἡ ἁμαρτία αὕτη, ὅσα ἔτη καὶ πεποίηκε, καὶ ποιήσει ἐν σοὶ, μόνον σὺ αὐτὴν εἰς μέτρον μηκέτι ἔχε. Καὶ διεβεβαιοῦτο ὁ τοιοῦτος, ὡς οὐ πρώην τῆς κέλλης τοῦ γέροντος ἐξεληλύθει, ἕως οὗ τὸ πάθος θᾶττον ἄφαντον γέγονεν· τούτου ἐν πείρᾳ γενόμενος ἐμοὶ διηγήσατο εὐχαριστῶν τῷ Χριστῷ.

Νίκην τοῦ πάθους ὁ εἰληφὼς ἀπώσατο ὑπερηφανίαν.

ΣΧΟΛΙΟΝ ΕΙΣ ΛΟΓΟΝ ΚΓ'.

Περὶ βλασφημίας.

Ἐξ ἀπιστίας παρακοή· ἐκ παρακοῆς αὐταρέσκεια· ἐκ ταύτης κενοδοξία· ἐκ κενοδοξίας ὑπερηφανία· ἐξ ὑπερηφανίας βλασφημία, ἢ ἔκτασις νοός· ἐν δὲ τοῖς ἁπλουστέροις ἐκ φθόνου δαιμόνων γίνεται ἡ βλασφημία.

GRADUS XXIV.

De lenitate seu mansuetudine, simplicitate, innocentia et malitia non ab natura insitis, sed virtute vel vitio partis.

Solem matutina lux auroræ præcurrit, humilitatem mansuetudo præcedit. Itaque lucem (Christum) prius audiamus, quæ eas ita per gradum disponit : *Discite*, inquit, *a me, quia mitis sum, et humilis corde* [1]. Par est ergo, ut prius, quam de sole agamus, hac luce illustremur, ac tum demum oculos in solem clarius **303** intendamus. Fieri non potest, non potest, inquam, fieri ut solem is intueatur, qui hanc lucem ante non cognovit. Sicut vera docendi ratio et ordo dicendi nos monet. Mansuetudo est immutabilis animi status, qui in omni fortuna honorum et contumeliarum æquabilem animi habitum conservat. Mansuetudo est pro aliis te perturbantibus sine perturbatione sincere et ex animo precari. Mansuetudo est prominens adversus iram maris rupes, quæ omnes illisos fluctus dissolvit ac frangit, nec ipsa interim movetur aut frangitur. Mansuetudo est stabilimentum pa-

ΛΟΓΟΣ ΚΔ'.

Περὶ πραότητος, καὶ ἁπλότητος, καὶ ἀκακίας, καὶ πονηρίας σεσοφισμένων, καὶ οὐ φυσικῶν.

Προτρέχει μὲν τοῦ ἡλίου τὸ πρωϊνὸν φῶς, πάσης δὲ ταπεινοφροσύνης πραΰτης (*a*) πρόδρομος· διὸ καὶ τοῦ φωτὸς ἀκούσωμεν, οὕτως αὐτὰς τῷ βαθμῷ καταττόντος· *Μάθετε γὰρ ἀπ' ἐμοῦ*, φησὶ, *ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ* (1). Οὐκοῦν θέμις πρὸ ἡλίου περὶ φωτὸς φωτισθῆναι· εἶθ' οὕτως τῷ ἡλίῳ ἐναντενίσαι τρανῶς. Οὐκ ἔστι γὰρ, οὐκ ἔστι τὸν μὴ τοῦτο προγνόντα, ἐκεῖνον θεάσασθαι, ὡς ἡ τῶν λεγομένων [*al.* γεγονότων] διδάσκει ἀληθὴς κατάστασις. Πραΰτης ἐστὶν ἀμετάθετος νοὸς κατάστασις, ἐν τιμαῖς καὶ ἀτιμίαις ὡσαύτως ἔχουσα (2). Πραΰτης ἐστὶν ἐν ταραχαῖς τοῦ πλησίον ἀνεπαισθήτως καὶ εἰλικρινῶς ὑπὲρ αὐτοῦ προσεύχεσθαι. Πραΰτης ἐστὶν ὑπερκειμένη τῆς τοῦ θυμοῦ θαλάττης πέτρα, πάντα τὰ προσρήσσοντα κύματα διαλύουσα, καὶ οὐδαμῶς κλόνον ὑπομένουσα. Πραΰτης ἐστὶν ὑπομονῆς στήριγμα, ἀγάπης θύρα, μᾶλλον δὲ μήτηρ, διακρίσεως ὑπόθεσις· Διδάξει γὰρ, φησὶ, *Κύριος πραεῖς ὁδοὺς*

[1] Matth. xi, 29.

(*a*) πραΰτης. Ita sæpius membranæ ubi alii codices πραότης, sed idem valet utrumque πρᾶος et πραΰς.

αὐτου· ἀφέσεως πρόξενος· παῤῥησία ἐν προσευχῇ· Πνεύματος ἁγίου χωρίον· Ἐπὶ τίνας γὰρ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον; Πραΰτης ὑπακοῆς συνεργὸς, ἀδελφότητος ὁδηγὸς, μαινομένων χαλινὸς, θυμουμένων ἐκκοπὴ, καὶ χαρᾶς χορηγὸς, Χριστοῦ μίμημα, ἀγγέλων ἰδίωμα, δαιμόνων δεσμὸς, καὶ πικρίας θυρεός. Ἐν καρδίαις πραέων ἐπαναπαύσεται Κύριος· ψυχὴ δὲ ταραχώδης διαβόλου καθέδρα. *Οἱ πραεῖς κληρονομήσουσι γῆν*· μᾶλλον δὲ καταχυριεύσουσι γῆς· μεμηνότες δὲ ἄνδρες ἐκπορθοῦνται ἀπὸ γῆς αὐτῶν. Ψυχὴ πραεῖα θρόνος ἁπλότητος· νοῦς δὲ ὀργίλος δημιουργὸς πονηρίας. Ψυχὴ ἡπία χωρήσει λόγους σοφίας, Ὁδηγήσει γὰρ Κύριος *πραεῖς ἐν κρίσει*, μᾶλλον δὲ ἐν διακρίσει. Ψυχὴ εὐθὴς σύμβιος ταπεινώσεως· ἡ δὲ πονηρὰ ὑπερηφανίας νεανίς. Ψυχαὶ πραέων πλησθήσονται γνώσεως· θυμώδης δὲ νοῦς σκότους καὶ ἀγνωσίας σύνοικος. Θυμώδης καὶ εἴρων ἀλλήλοις ὑπήντησαν (3)· καὶ οὐκ ἦν εὑρεῖν λόγον εὐθῆ ἐν διαλέξει αὐτῶν. Ἀνάπτυξας τὴν καρδίαν τοῦ προτέρου, εὑρήσεις μανίαν, τὴν δὲ τοῦ δευτέρου ψυχὴν ἐρευνήσας, θεωρήσεις πονηρίαν. Ἁπλότης ἐστὶν ἕξις ψυχῆς ἀποίκιλος (4), πρὸς κακόνοιαν γενομένη ἀκίνητος. Πονηρία ἐστὶν ἐπιστήμη, μᾶλλον δὲ ἀσχημοσύνη δαιμονιώδης, ἀληθείας ἀποστερηθεῖσα, καὶ τοὺς πολλοὺς λανθάνειν δοκοῦσα. Ὑπόκρισίς ἐστι σώματος καὶ ψυχῆς ἐναντία κατάστασις ἐπινοίαις ἁπάσαις ἐμπεπλεγμένη· ἀκακία ἐστὶν ἱλαρὰ ψυχῆς κατάστασις ἐπινοίας πάσης ἀπηλλαγμένη. Εὐθύτης ἐστὶν ἀπερίεργος ἔννοια, ἀνόθευτον ἦθος (a), ἄπλαστος καὶ ἀπροκατασκεύαστος λόγος· ἀπόνηρός ἐστι καθαρὰ φύσις ψυχῆς, ὡς πέφυκε κτισθεῖσα τὰς ἐντεύξεις πρὸς πάντας ποιουμένη. Πονηρία ἐστὶν εὐθύτητος ἐναλλαγὴ, πεπλανημένη ἔννοια· οἰκονομίας ψεῦδομένη· κεκολασμένοι (b) ὅρκοι, συμπεπλεγμένοι λόγοι· βυθὸς καρδίας, ἄβυσσος δόλου, πεποιωμένον ψεῦδος, φυσικὴ λοιπὸν οἴησις, ταπεινώσεως ἀντίπαλος, μετανοίας ὑπόκρισις, πένθους μικρυσμὸς, ἐξομολογήσεως ἔχθρα, ἰδιογνωμόρυθμος, πτωμάτων πρόξενος, ἀναστάσεως ἀντίθετος (5), ὕβρεων μειδιασμὸς, μεμωραμμένη κατήφεια, ἐπίπλαστος εὐλάβεια, δαιμονιώδης βίος.

Πονηρός ἐστι διαβόλου συνώνυμος καὶ συνόμιλος. Διὸ καὶ Κύριος οὕτως αὐτὸν ἡμᾶς ὀνομάζειν ἐδίδαξε λέγοντας· *Ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ*. Φύγωμεν ἀπὸ χρημνοῦ ὑποκρίσεως, καὶ ἀπὸ λάκκου ὑπουλότητος, ἀκούοντες τοῦ λέγοντος *ὅτι οἱ πονηρευό-*

A tientiæ, charitatis janua, imo vero parens, prudentiæ argumentum : *Docebit* enim, inquit Dominus, *mites vias suas* [2] : procuratrix veniæ peccatorum, fiducia in precibus, Spiritus sancti domicilium : *Super quos enim respiciam, nisi super mansuetum et quietum* [3] ? Mansuetudo est adjutrix obedientiæ, dux religiosæ societatis, furentium frenum, irascentium [iracundorum] expultrix, magistra gaudii, imitatrix Christi, cœlitum proprietas, vinculum et nodus dæmonum, scutum adversus amaritudinem seu animi acerbitatem. In cordibus mansuetorum requiescet Dominus. Anima autem turbulenta nidus est diaboli : *Mites hæreditabunt terram* [4], vel potius dominabuntur terris, furiosi autem exterminabuntur a terris suis. Anima mansueta est thalamus simplicitatis : animus autem iracundus est architectus improbitatis. Mitis anima capiet verba sapientiæ, **304** *Diriget* enim *Dominus mansuetos in judicio* [5], imo in discretione seu prudentia. Anima sincera et recta est contubernalis humilitatis ; improba vero est superbiæ ancilla. Animæ mansuetorum implebuntur scientia, iracundus vero animus socius et domesticus est noctis [caliginis] et ignorantiæ. Cum iracundus et dissimulator sibi mutuo occurrissent, nulla sincera sermocinatio poterat inter illos fieri. Si cor iracundi explicaveris, deprehendes insaniam : si dissimulatoris animum perscruteris, videbis malitiam. Simplicitas est habitus animæ minime varius, omnis perversæ cogitationis expers. Malitia est scientia, vel potius (ut ita loquar) diabolica indecentia seu turpitudo veritate destituta, quæ sibi videtur alios nequitiam suam celare posse. Hypocrisis est contrarius corporis et animæ status omni genere commentorum perplexus. Innocentia est serena animæ tranquillitas ab omni perversa cogitatione remota. Rectitudo seu rectus animus est, qui supervacanea et curiosa cogitatione vacat, indoles sincera [sinceri mores] et non adulterata, sermo non fictus, nec in fraudem præmeditatus aut fucatus. Non malitiosus est, qui prout natura animæ pure condita est, cum omnibus sincere et aperte agit et versatur. Malitia est a vero et recto animo seu rectitudine detorta perversitas, fraudulenta mens, ementita et victa vivendi ratio, juramenta pœnis obnoxia seu falsa, verba perplexa et dubia, cor tectum et profundum, dolus **305** altus et incomprehensus, mendacium jam modificatum et usurpatum, tumor inde jam animi naturalis, hostis-humilitatis, simulatio pœnitentiæ, fuga luctus, inimica confessionis, pertinax suæ sententiæ propugnatio, spiritualium ruinarum ministra, adversaria emendationis seu religiosæ resurrectionis, contumeliarum (virtutis causa toleratarum) irrisio seu cavillatio, stulta et affectata tristitia [gravitas], ficta religio, diabolica vita.

D Malus est cognominis dæmonis et familiaris. Ita enim Christus appellandum docuit in Dominica Oratione, cum dicimus [6] : *Libera nos a malo* (c). Caveamus ab hypocrisis præcipitio, et subdolæ versutæque calliditatis lacu, attenti ad dictum illius,

[1] Psal. xxiv, 9. [2] Isa lxvi, 2. [3] Matth. v, 4; Psal. xxxvi, 11. [4] Psal. xxiv, 9. [5] Matth. vi, 6.

(a) Vide Quintil. l. vi, c. 2, qui negat ἦθος Latine exprimi posse.

(b) Κεκολασμένοι ὅρκοι habent chartæ et membranæ, non κεκολλημένοι, ut alii interpretes, qui *annexa juramenta* transtulerunt.

(c) Observa, πονηρὸς in Oratione Dominica significare diabolum qui per antonomasiam vocatur malus.

quoniam qui malignantur, exterminabuntur, et quemadmodum olera herbarum cito decident [7]: hujusmodi enim sunt pabulum dæmonum. Sicut charitas Dei nomen accepit, ita et rectus animus. Quapropter in Canticis Sapiens puram animam compellans dicit: *Rectitudo dilexit te* [8]. Et rursum Sapientis hujus pater (David) *Bonus et rectus Dominus* [9]. Et cognomines ipsius salvari dicit, *Qui*, inquit, *salvos facit rectos corde* [10]. Et iterum: *Rectitudines, æquitates* (animarum nempe) *vidit et visitavit vultus ejus* [11]. Prima virtus seu proprietas puerorum crescentium est sincera et infucata simplicitas, quam ille Adamus quandiu retinuit, nuditatem animæ suæ, et corporis sui turpitudinem non vidit. Bona quidem et beata est etiam naturalis simplicitas, quæ in quibusdam reperitur, **306** sed melior et beatior est, quæ ex malitia multo labore traducta est. Nam illa ab omni fuco et fraude vitiisque animi defenditur. Hæc vero, altissimæ humilitatis et mansuetudinis est conciliatrix. Illi exiguum præmium, huic inexplicabile est destinatum. Quicunque devincire sibi Dominum cupiunt, ad eum tanquam discipuli ad magistrum ad capiendas disciplinas simpliciter et candide, non ficto animo, sine fuco et fraude, sine malitia et curiositate accedant. Cum enim ipse simplex natura et ab omni concretione segregatus sit, simplices etiam quasdam, et puras sinceraque animas ad se vult accedere. Nunquid sane simplicitatem ab humilitate videas sejunctam. Malignus est mendax conjector, qui ex verbis cogitationes et ex habitu et gestibus corporis arcana cordis se deprehendere posse existimat. Vidi innocentes ab improbis improbitatem hausisse, demiratus quomodo tam cito simplicitatem naturæ suæ, et innocentiæ prærogativam potuerint amittere. Quam facile innocentes pervertuntur, tam difficulter malitiosi emendari et corrigi possunt. Vera sæculi fuga et subjectio, et linguæ continentia, multa sæpe præter omnem spem et opinionem immedicabilia mala potuerunt curare et persanare. Si complures scientia inflat, fortasse imperitia et inscitia aliquo modo solet humiles reddere. Exemplum et documentum, veraque et aperta definitio, adeoque forma beatæ simplicitatis, beatissimus Paulus cognomento simplex nobis factus est. **307** Nemo enim unquam usquam, nemo, inquam, tam brevi tempore in ullo alio tantum profectum vel vidit, vel audivit, vel videre potest. Simplex monachus est veluti jumentum rationis compos et obediens, quod totum onus suum penitus in ductorem suum rejicit. Animal non contradicit vincienti ipsum, neque animus rectus suo præsidi, sequitur quocunque ducentem, nec obluctari vel obloqui usque ad mortis sacrificium novit: *Egre divites ingrediuntur regnum cœlorum* [12], nec sibi stulte sapientes ad simplicitatem. Sæpe-

μερει ἐξολοθρευθήσονται (6), καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Οἱ γὰρ τοιοῦτοι βοσκὴ (a) δαιμόνων. Ὥσπερ ἀγάπη ὁ Θεὸς ὀνομάζεται, οὕτως καὶ εὐθύτης. Διὸ ὁ σοφὸς ἐν τοῖς Ἄσμασί φησι πρὸς τὴν καθαρὰν καρδίαν· *Εὐθύτης ἠγάπησέ σε* (b). Καὶ πάλιν ὁ τούτου πατήρ· *Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος*. Καὶ τοὺς συνωνύμους αὐτοῦ σώζεσθαι λέγει· φησὶ γάρ· *Τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ*. Καὶ πάλιν· *Εὐθύτητας ψυχῶν εἶδε, καὶ ἐπεσκέψατο τὸ πρόσωπον αὐτοῦ*. Πρῶτον ἰδίωμα τῆς τῶν παίδων| αὐξήσεως, ἁπλότης ἀποίκιλος, ἣν ἕως εἶχεν Ἀδὰμ ἐκεῖνος, οὐκ εἶδε γύμνωσιν ψυχῆς αὐτοῦ· οὐδὲ ἀσχημοσύνην σαρκὸς αὐτοῦ. Καλὴ μὲν καὶ ἡ φύσει τισὶν ἐνυπάρχουσα ἁπλότης (7), καὶ μακαρία· οὐχ οὕτως δὲ, ὡς ἡ ἐκ πονηρίας δι' ἱδρώτων κατεγκεντρισθεῖσα· ἡ μὲν γὰρ ἀπὸ πολλῆς ποικιλίας καὶ παθῶν σκέπεται· ἡ δὲ ὑψηλοτάτης ταπεινοφροσύνης καὶ πραότητος γίνεται πρόξενος· καὶ τῇ μὲν οὐ πολὺς ὁ μισθός, τῇ δὲ ὑπερύμνητος. Πάντες οἱ τὸν Κύριον ἑαυτοῖς ἐπισπάσασθαι βουλόμενοι, ἁπλῶς καὶ ἀπλάστως, καὶ ἀποικίλως, καὶ ἀπονήρως ὡς διδασκάλῳ ἐν τοῖς μαθήμασιν ἀπεριέργως προσέλθωμεν. Ἁπλοῦς γὰρ ὢν, καὶ ἀσύνθετος, ἁπλᾶς τινας καὶ ἀκεραίους τὰς ἑαυτῷ προσερχομένας ψυχὰς εἶναι βούλεται. Οὐκ ἔστι γὰρ ἁπλότητα ἀπηλλαγμένην ταπεινώσεως θεάσασθαί ποτε (8). Πονηρός ἐστι προβλέπτης, ψευδὴς ἐκ λόγων τοὺς λογισμοὺς, καὶ ἐκ σχημάτων τὰ ἐγκάρδια λαμβάνειν φανταζόμενος· εἶδον εὐθεῖς ἐκ πονηρῶν πονηρεύεσθαι μεμαθηκότας (9), καὶ πεφάνταμαι πῶς καὶ φύσεως ἰδίωμα καὶ προτέρημα οὕτως ταχέως ἀπολέσαι ἴσχυσαν. Ὅσα οἱ εὐθεῖς εὐχερῶς μεταπίπτουσι, τοσούτῳ δυσχερῶς οἱ ἐναντίοι μεταποιηθῆναι δύνανται. Ξενιτεία ἀληθὴς καὶ ὑποταγὴ (10), καὶ φυλακὴ χειλέων πολλὰ πολλάκις ἴσχυσαν καὶ μετεποίησαν παραδόξως ἀνίατα. Εἰ ἡ γνῶσις φυσιοῖ τοὺς πλείονας· μή πως ἡ ἰδιωτεία, καὶ ἡ ἀμαθία ταπεινοῦν συμμέτρως πέφυκεν. Ἀπόδειξις καὶ ὅρος ἐναργὴς καὶ τύπος ἡμῖν τῆς μακαρίας ἁπλότητος ὁ τρισμακάριος Παῦλος γέγονεν ὁ ἁπλοῦς. Οὐδεὶς γὰρ, οὐδεὶς οὐδαμοῦ τοιαύτην προκοπὴν ἐν ὀλίγῳ οὐδὲ εἶδεν, οὐδὲ ἤκουεν, οὐδὲ ἰδεῖν δύναται πώποτε. Ἁπλοῦς μοναχὸς, ἄλογον λογικὸν, ὑπήκοον, τὸ οἰκεῖον φορτίον τελείως τῷ ἄγοντι ἀποθέμενος. Οὐκ ἀντείπει ζῶον τῷ δεσμοῦντι· οὐδὲ ψυχὴ εὐθὴς τῷ ἐπιστατοῦντι· ἕπεται τῷ ἕλκοντι ὡς βούλεται, καὶ μέχρι θύσεως ἀντιλέγειν οὐκ ἐπίσταται. *Δυσκόλως πλούσιοι εἰς βασιλείαν*, καὶ φρόνιμοι ἄφρονες εἰς ἁπλότητα *εἰσελεύσονται* (11). Πτῶμα πολλάκις δεινοὺς ἐσωφρόνισεν, ἀκούσιον αὐτοῖς σωτηρίαν καὶ ἀκακίαν κεχαρισμένον. Πάλαι πλανᾷν σου τὴν φρόνησιν (12), καὶ οὕτως ποιῶν εὑρήσεις σωτηρίαν, καὶ εὐθύτητα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀμήν.

[7] Psal. xxxvi, 9 et 2. [8] Cant. i 3. [9] Psal. xxiv, 8. [10] Psal. vii, 11. [11] Psal x, 8. [12] Matth. xix, 23.

(a) Βοσκὴ membranæ, *pascuum*; βοσκοὶ, *pastores*.
(b) Ita Septuaginta, εὐθύτης ἠγάπησέ σε. Vulgaris: *Recti diligunt te*.

numero gravis peccati lapsus improbos correxit, et modestiam docuit, ita ut nolentibus salutem et innocentiam afferret. Pugna et stude tuam ipsius prudentiam eludere : quod si feceris, invenies salutem et rectam mentem in Christo Jesu Domino nostro.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΔ'

Περὶ πραότητος.

Σχόλιον α'.

Ἡ μὲν πραότης ἀτάραχον τὸν θυμὸν διαφυλάττει· ἡ δὲ ταπείνωσις τυφου καὶ κενοδοξίας τὸν νοῦν ἐλευθεροῖ.

Σχόλιον β'.

Τὸ βαστάσαι ἐστὶν ἡ πραότης.

Σχόλιον γ'.

Εἴρων λέγεται ὁ κόλαξ, ὁ ἀπατεὼν, ὁ ψευδολόγος, ἐκ τοῦ συμπλέκειν λόγους πρὸς χάριν, οὐ πρὸς ἀλήθειαν.

Σχόλιον Εὐαγρίου δ'.

Φύσις θυμοῦ τὸ τοῖς δαίμοσι μάχεσθαι, καὶ ὑπὲρ ἥστινος οὖν ἡδονῆς ἀγωνίζεσθαι· διόπερ οἱ μὲν ἄγγελοι τὴν πνευματικὴν ἡμῖν ἡδονὴν ὑποβάλλονται· καὶ τὴν ἐκ ταύτης μακαριότητα πρὸς τοὺς δαίμονας τὸν θυμὸν τρέψαι παρακαλοῦσιν· ἐκεῖνοι δ' αὖ πάλιν πρὸς τὰς κοσμικὰς ἐπιθυμίας ἕλκοντα ἡμᾶς, τὸν θυμὸν τοῖς ἀνθρώποις παρὰ φύσιν βιάζονται μάχεσθαι, ἵνα σκοτισθεὶς ὁ νοῦς καὶ τῆς γνώσεως ἐκπεσὼν, προδότης τῶν ἀρετῶν γένηται.

Ἄλλο Γρηγορίου Θεολόγου.

Θυμὸν χαλινοῦ, μὴ φρενῶν ἔξω πέσῃς· κόλαζε τὸν θυμὸν, μανίας γὰρ ἐστι πατὴρ τὸ μέτρον ἐξερχόμενος.

Σχόλιον ε'.

Ἡ γὰρ πονηρία οὐ συγχωρεῖ διὰ μετανοίας ἀναστῆναι τοῦ πτώματος.

Σχόλιον ς'.

Ὕπουλος ἀνὴρ, δικτύον κεκρυμμένον.

Σχόλιον ζ'.

Ἡ φυσικὴ ἁπλότης, φησὶ, πολλῶν παθῶν τηρεῖται ἀμέτοχος.

Σχόλιον η'.

Ἡ ἁπλότης καὶ τὸ μὴ μετρεῖν ἑαυτὸν ἁγνίζει τὴν καρδίαν ἀπὸ τοῦ πονηροῦ.

Σχόλιον θ'.

Φευκτέον, παρακαλῶ, τοὺς κακοὺς συνδιαιτητὰς, ὅση δύναμις, ἵνα μὴ συναλῶμεν τῇ κακίᾳ αὐτῶν.

Σχόλιον ι'.

Τὸν τρόπον λέγει, πῶς ἂν οἱ πονηροὶ καὶ ὕπουλοι μεταβληθεῖέν ποτε.

Σχόλιον ια'.

Τινὲς φρονίμους λέγουσι τοὺς διακριτικοὺς τῶν αἰσθητῶν πραγμάτων· φρόνιμοι δέ εἰσιν οἱ ἐπικρατοῦντες τῶν οἰκείων θελημάτων.

Σχόλιον ἄλλο.

Ἄφρονες ἀληθῶς οἱ παρὰ ἑαυτοῖς φρόνιμοι· καὶ τοῦ προφητικοῦ *οὐαὶ* κληρονόμοι ἐπάξιοι.

SCHOLIA AD GRADUM XXIV.

De mansuetudine.

Scholion 1.

Mansuetudo imperturbatum conservat animum : humilitas a tumore superbiæ et vana gloria liberat mentem.

Scholion 2.

Sustinere est mansuetudo.

Scholion 3.

Dissimulator dicitur adulator, impostor, mendax, quod verba sua referat ad gratiam, non ad veritatem.

Evagrii 4.

Natura (indignantis) animi, sive iræ, est adversus dæmonas pugnare, et pro qualicunque delectatione decertare. Itaque angeli spiritualem nobis voluptatem suggerunt, et hortantur **308** nos, ut pro nata inde beatitate iram adversus dæmones alamus : contra, diaboli ad sæculares et profanas cupiditates trahunt nos, iramque commovent ut adversus homines repugnante natura depugnemus, uti mens offusis tenebris amissaque scientia virtutum proditrix fiat.

Aliud Greg. Theologi.

Coerce iram ne mente excidas ; castiga et retunde excandescentem animum, est enim insaniæ parens qui modum omnem excedit.

Scholion 5.

Malitia enim non sinit hominem per pœnitentiam resurgere.

Scholion 6.

Homo subdolus et fallax est rete absconditum.

Scholion 7.

Naturalis simplicitas, inquit, a multis vitiis est immunis.

Scholion 8.

Simplicitas et seipsum non æstimare, a malo animum repurgat.

Scholion 9.

Fugiendos improbos convictores quantum fieri potest, moneo, hortorque ne illorum vitiis capiamur.

Scholion 10.

De moribus loquitur, quomodo improbi et subdoli subinde mutentur et emendentur.

Scholion 11.

Quidam, prudentes existimant illos, qui negotia externa sensuum commode et prudenter administrant. Sed revera prudentes sunt, qui voluntatem propriam in officio continent.

Scholion aliud.

Stulti vere sunt illi qui sibi sapere videntur, et illius prophetici oraculi (væ) merito hæredes fiunt.

Aliud.

Non illos qui vere in Christo sapiunt, damnat, sed quos mundus videtur dicere prudentes, et ex malitiæ stultitia noti facti sunt.

Scholion 12.

Contende, inquit, ne facias quod tuæ prudentiæ occurrit sine majorum consilio seu approbatione.

A

Ἄλλο.

Οὐ τοὺς ἀληθινοὺς ἐν Χριστῷ φρονίμους ἐκβάλλει, ἀλλ' οὓς ὁ κόσμος δοκεῖ λέγειν φρονίμους, τῇ τῆς πονηρίας ἀφροσύνῃ γνωριζομένους.

Σχόλιον ιβ'.

Ἀγωνίζου, φησὶ, μὴ ποιεῖν τὰ τῇ φρονήσει σου παριστάμενα ἄνευ τῆς τῶν μειζόνων δοκιμασίας.

---

309 GRADUS XXV.

De perditrice omnium vitiositatum [interfectrice omnium vitiorum] altissima humilitate, incorporeo sensui insita, quem gradum qui superavit, fidat, Christum enim imitatus, salvus factus est.

Qui sensum et effectum charitatis divinæ prolixæ, et humilitatis decenter [uti decet]; et beatæ castitatis vere; et divinæ illustrationis clare et aperte; et timoris ejus non ficte; et certæ cordis fiduciæ sincere verbis, quæ sub sensum cadunt, explicare conatur, eorumque animos, qui hunc sensum et effectum nunquam degustarunt, de his et hujuscemodi virtutibus illustrare et erudire se per explanationem orationis posse existimat, perinde facit ac qui verbis et similitudinibus vult mellis dulcedinem iis declarare, qui illam nunquam gustarunt: sed hic quidem frustra disserendo laborat, ne dicam nugatur et operam perdit. Sed ille prior, aut nescit, quid doceat, aut per vanæ gloriæ cupiditatem subtiliter deluditur. Proposuit hic sermo thesaurum ad explorandas reliquas virtutes in vasis fictilibus, seu potius in corporibus humanis reconditum et custoditum, sed cujus vim et qualitatem nullis verbis assequaris, qui tantum cœlestem inscriptionem habet adjectam, sed quæ nullo humano sensu capi possit, quæque infinitam investigationem et laborem exhibeat, iis qui illam **310** verbis conantur explicare. Sunt autem inscriptionis verba isthæc: *Sancta humilitas.* Quicunque Dei spiritu aguntur, hi nobiscum in concilium spirituale et plenum sapientiæ conveniant, secumque tabulas cognitionis divinitus scriptas, et utraque manu spirituali ferant. Coacti ergo in senatum convenimus, et vim venerandæ inscriptionis ac tituli ad examen vocavimus. Et hic quidem aiebat humilitatem esse perpetuam seu continuam omnium recte factorum oblivionem. Alius vero (dicebat) eamdem esse, inter postremissimos se, et peccatis magis quam cæteros obnoxium existimare. Alius, suæ imbecillitatis et fragilitatis cognitionem habere. Alius, antevertere alterum in altercationis reconciliatione, ita ut prior ipse iram missam faciat et dissolvat. Alius rursum, divinæ gratiæ et commiserationis seu misericordiæ agnitionem. Alius item contritæ animæ sensum et voluntatis propriæ abdicationem. Quæ ego cum omnia audivissem, et considerate sobrieque mecum perpendissem, beatum illum humilitatis sensum per auditionem assequi non potui. Itaque velut ultimus omnium et vilissimus tanquam catellus de micis e mensa et ore sapientum illorum et beatorum Patrum cadentibus collegi, et de humilitate disserturus dixi:

ΛΟΓΟΣ ΚΕ'.

Περὶ τῆς τῶν παθῶν ἀπωλείας τῆς ὑψίστου ταπεινοφροσύνης, ἀοράτῳ αἰσθήσει ἐγγινομένης· ὃς ἀνάπαυσιν ἴσχυσεν, θαρσείτω, τὸν διδάσκαλον γὰρ Χριστὸν μιμησάμενος σέσωσται.

Ὁ ἀγάπης Κυρίου κυρίως, καὶ ταπεινοφροσύνης πρέποντως, καὶ μακαρίας ἁγνείας ἀληθῶς, καὶ ἐλ- B λάμψεως Θεοῦ ἐναργῶς (a), καὶ φόβου αὐτοῦ ἀψευδῶς, καὶ πληροφορίας καρδίας εἰλικρινῶς αἴσθησιν καὶ ἐνέργειαν διὰ λόγου ὁρατοῦ διηγεῖσθαι βουλόμενος (1), καὶ τοὺς ταύτης ἀγεύστους ἐν ἐξηγήσεσι περὶ τῶν τοιούτων φωτίζειν δοκῶν, ὅμοιόν τι ποιεῖ ἀνδρὶ, τῷ τοὺς μὴ γευσαμένους μέλιτος πώποτε τὴν τούτου γλυκύτητα διὰ λόγων, καὶ ὑποδειγμάτων διδάσκειν θέλοντι. Ἀλλ' ὁ μὲν δεύτερος εἰς μάτην φιλολογεῖ, ἵνα μὴ εἴπω βαττολογεῖ· ὁ δὲ πρότερος, ἢ ἄπειρος τῆς ἑαυτοῦ διηγήσεως κατέστηκεν, ἢ ὑπὸ κενοδοξίας ὀξέως ἐμπαίζεται. Προέθηκεν ὁ λόγος θησαυρὸν εἰς βάσανον ἐν ὀστρακίνοις σκεύεσι, μᾶλλον δὲ σώμασι, κατησφαλισμένον ὑπάρχοντα, παντὶ λόγῳ τῇ ποιότητι ἀγνώριστον διαμένοντα, μόνην δὲ τὴν ἄνωθεν ἐπιγραφὴν ἀκατάληπτον περικείμενον C πολλὴν καὶ ἀπέραντον τοῖς λόγῳ ζητοῦσι τὴν ἔρευναν, καὶ τὸν μόχθον [κόπον] παρέχουσαν. Εἶχε δὲ ἡ λέξις οὕτως· *Ἡ ἁγία ταπείνωσις.* Ὅσοι Πνεύματι Θεοῦ ἄγονται (2), οὗτοι ἡμῖν εἰς τὸ νοερὸν τοῦτο καὶ πάνσοφον συνεισιέτωσαν συνέδριον, πλάκας γνώσεως θεογράφους σὺν αὐτοῖς μετὰ χεῖρας νοερὰς ἐπιφερόμενοι· καὶ συνεληλύθαμεν καὶ συνεζητήκαμεν, καὶ βεβασανίκαμεν τῆς τιμίας ἐπιγραφῆς τὴν δυναμιν. Καὶ ὁ μὲν ἔλεγε λήθην τῶν κατορθουμένων προσεχῆ· ἕτερος δὲ τὸ πάντων ἐσχατώτερον καὶ ἁμαρτωλότερον ἑαυτὸν λογίζεσθαι· ἄλλος ἐπίγνωσιν νοὸς τῆς οἰκείας ἀσθενείας καὶ ἀδυναμίας· ἕτερος, τὸ προκαταλαμβάνειν τὸν πλησίον ἐν παροργισμοῖς καὶ λύειν πρῶτον τὴν μῆνιν· ἕτερος πάλιν χάριτος Θεοῦ καὶ συμπαθείας ἐπίγνωσιν· ἄλλος συντετριμμένης ψυχῆς αἴσθησιν, καὶ θελήματος οἰκείου ἄρνησιν. Ἐγὼ δὲ πάντων ἀκηκοὼς, καὶ ἐν ἑαυτῷ ταῦτα ἐπεσκεμμένως τε καὶ νηφάντως βεβασανικὼς, τὴν μακαρίαν ἐκείνης αἴσθησιν δι' ἀκοῆς μανθάνειν οὐ δεδύνημαι. Διόπερ καὶ ἔσχατος πάντων ὡς κύων ἐκ ψιχίων τραπέζης τῶν γνωστικῶν καὶ μακαρίων ἐκπιπτόντων αὐτῶν τοῦ στόματος συλλελεχὼς περὶ ταύτης ὁριζόμενος εἶπον·

D

abdicationem. Quæ ego cum omnia audivissem, et considerate sobrieque mecum perpendissem, beatum illum humilitatis sensum per auditionem assequi non potui. Itaque velut ultimus omnium et vilissimus tanquam catellus de micis e mensa et ore sapientum illorum et beatorum Patrum cadentibus collegi, et de humilitate disserturus dixi:

(a) ἐναργῶς habent omnes codices, non ἐνεργῶς, ut Camaldulensis videtur legisse, qui *firmiter* exponit.

nes sponte se subducunt, ut nos securos reddant, et repente miseram animam invadant, vitiisque adeo atrociter corrumpant, ut ipsa sibi deinceps insidietur et hostis fiat. Novi et aliam harum belluarum se subducendi artem, posteaquam anima vitiis penitus assuevit. Documento dicti nostri sunto infantes, qui post longam sugendi consuetudinem et jam repulsi ab ubere matris, suos adhuc digitos sugunt. Non ignoro quintam quoque in animo a perturbationibus quietem, quæ ex multa simplicitate laudataque integritate atque innocentia constat : *Justum enim adjutorium his a Domino, qui salvos facit rectos corde* [37], et non sentientes liberat a **346** malis : quandoquidem et infantes exuti vestibus se nudos esse parum sentiunt. Malitia et vitia naturaliter in natura non sunt, neque Deus vitiorum auctor est. Virtutes autem natura multæ nobis ab illo inditæ sunt, ex quibus istæ manifeste sunt : Misericordia, quando illa et paganæ gentes tanguntur : charitas, si quidem non raro et brutæ animantes quod orbatæ essent [a se invicem divulsæ], lacrymatæ sunt. Fides, omnes enim hanc ex nobis ipsis progignimus. Spes, nam cum mutuum accipimus aut damus, et navigamus, et serimus, speramus futurum ut ditescamus.

A ἀπάθειαν, ἔτι ἐξ ἁπλότητος πολλῆς καὶ ἀκεραιότητος ἐπαινουμένους συνισταμένη. *Δικαία γὰρ ἡ βοήθεια τοῖς τοιούτοις παρὰ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ*, καὶ ἀνεπαισθήτως αὐτοὺς τῶν κακῶν ἀπαλλάττοντες· εἴπερ καὶ τὰ νήπια ἐκδυθέντα οὐ πάνυ γινώσκουσι. Κακία μὲν (54), ἢ πάθος φυσικῶς ἐν τῇ φύσει οὐ πέφυκεν· οὐκ ἔστι γὰρ κτιστὴς παθῶν ὁ Θεός· ἀρεταὶ δὲ φύσει καὶ πολλαὶ ἐν ἡμῖν παρ' αὐτοῦ γεγόνασιν, ἐξ ὧν εἰσι καὶ αὗται σαφῶς· ἡ ἐλεημοσύνη, εἴπερ καὶ Ἕλληνες συμπαθοῦσιν· ἡ ἀγάπη, εἴπερ καὶ τὰ ἄλογα ζῶα πολλάκις ἐπὶ τῇ στερήσει ἀλλήλων ἐδάκρυσαν. Ἡ πίστις· πάντες γὰρ ἐξ ἑαυτῶν ταύτην ἀποτίκτομεν· ἐλπὶς, ἐπεὶ καὶ δανειζόμενοι, καὶ πλέοντες, καὶ σπείροντες πλουτῆσαι ἐλπίζομεν.

Cum ergo, uti demonstratum est, charitas na- **tura virtusque nobis insita sit,** et **hæc** vinculum legis atque perfectio **sit, perfecto non** procul ab **natura** absunt virtutes [**non** alienæ sunt a natura **virtutes**], ut merito erubescant ii qui in virtutum **exercitatione** imbecillitatem suam prætexunt. Naturæ vires excedunt castitas, iræ victoria, humilitas, **oratio, vigiliæ,** jejunium, perpetua compunctio. Ex iis **alias homines,** alias angeli, alias ipse Deus Verbum docet et largitur. Ex malorum comparatione minus et levius eligendum est. Quemadmodum sæpe usuvenit, ut nobis inter preces Deo assistentibus peregrini fratres ad nos divertant, cum ex duobus alterutrum nobis relinquendum est, aut interrumpenda oratio, aut religiosus frater absque salutatione et alloquio dimittendus, et tristitia afficiendus. Major oratione est charitas : illa enim quid privatum est, hæc autem omnes generatim virtutes complectitur. Ego cum adhuc junior essem, olim civitatem aut **347** vicum ingressus, dum ad mensam sederem ab gulæ simul et vanæ gloriæ cogitationibus occupatus, et gulæ fabientis seu furentis improbam progeniem veritus, malui vanæ gloriæ succumbere. Noram ego a malo ventris genio, vanæ gloriæ dæmonem in juvenibus superatum, et non immerito. Nam ut apud eos qui in sæculo degunt, avaritia est radix omnium malorum, ita in religione gula. Laborant viri religiosi et spirituales subinde permissu divino vi iis quibusdam, sed levissimis, ut propter levia quædam nec Deum offendentia, seipsos valde culpent, et interim humilitatis thesaurum nullis prædonibus expositum comparent. Fieri non potest ut is qui nondum sub obedientiæ jugo vixit, statim etiam quicunque suopte nutu artem aliquam addidicit, nugas agit et umbras et larvas sequitur.

B Εἰ τοίνυν, ὡς ἀποδέδεικται, ἡ ἀγάπη φύσει καὶ ἀρετὴ ἐν ἡμῖν καθέστηκε, σύνδεσμος δὲ καὶ πλήρωμα νόμου αὕτη, οὐκοῦν οὐ πόρρω τῆς φύσεως αἱ ἀρεταὶ καθεστήκασι, καὶ αἰσχυνθείησαν οἱ ἀδυναμίαν ἐπὶ τῇ τούτων ἐργασίᾳ προβαλλόμενοι. Ὑπὲρ φύσιν ἁγνεία, ἀοργησία, ταπεινοφροσύνη, προσευχὴ, ἀγρυπνία, νηστεία, κατάνυξις διηνεκής. Τούτων τῶν μὲν ἄνθρωποι (55), τῶν δὲ ἄγγελοι, τῶν δὲ αὐτὸς ὁ Θεὸς Λόγος καθέστηκε διδάσκαλος καὶ δοτήρ· συγκρίσει κακῶν δεῖ ἡμᾶς τὸ κουφότερον ἐκλέξασθαι. Οἷον πολλάκις ἐν προσευχῇ παρισταμένων ἡμῶν, πρὸς ἡμᾶς ἀδελφοὶ παρεγένοντο· καὶ δυοῖν θάτερον, ἢ τὴν προσευχὴν καταλιπεῖν, ἢ τὸν ἀδελφὸν ἀναπόκριτον ἀπελθόντα λυπῆσαι. Μείζων ἀγάπη προσευχῆς· ἡ μὲν γὰρ μερική, ἡ δὲ περιεκτικὴ πασῶν καθέστηκε. C Πάλαι ἐν πόλει ἡ κώμῃ παραγενόμενός ποτε, ἔτι νέος ὤν, ὑπὸ λογισμῶν γαστριμαργίας καὶ κενοδοξίας ὁμοθυμαδὸν ἐπὶ τραπέζης καθήμενος κατελήφθην, καὶ μέντοι τὴν ἀπόγονον τῆς κοιλιομανίας δεδοικὼς (56), τῇ κενοδοξίᾳ ἡττήθην μᾶλλον. Ἔγνων ἐγὼ τὸν τῆς γαστριμαργίας δαίμονα πολλάκις, τὸν τῆς κενοδοξίας νικήσαντα ἐν τοῖς νέοις· καὶ εἰκότως (57)· παρὰ μὲν τοῖς ἐν κόσμῳ ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, παρὰ δὲ μοναχοῖς ἡ γαστριμαργία· ἔστι παρὰ τοῖς πνευματικοῖς πολλάκις τινὰ εὐτελέστατα πάθη ἐκ Θεοῦ οἰκονομικῶς καταλιμπανόμενα· ἵνα δι' εὐτελῶν τινων, καὶ ἀναμαρτήτων ἑαυτοὺς λίαν καταμεμφόμενοι, πλοῦτον ἄσυλον ταπεινοφροσύνης κτήσωνται· οὐκ ἔστι ἐν προοιμίοις ταπεινώσιν κτήσασθαι ἀνυποτάκτως διάγοντα (58), εἴπερ πᾶς D ὁ ἰδιορύθμως τέχνην μεμαθηκὼς φαντάζεται.

Duabus iisque maxime communibus virtutibus patres omnem vitam practicam seu quæ in agendo versatur, definierunt, nec immerito sane. Hæc

Ἐν δυσὶν ἁπάσαις γενικωτάταις ἀρεταῖς οἱ Πατέρες τὴν πρακτικὴν ὁρίζονται, καὶ εἰκότως. Ἡ μὲν γὰρ ἀναιρετικὴ τῶν ἡδονῶν καθέστηκεν· ἡ δὲ τὴν

[37] Psal. VII, 11

ἀναίρεσιν ταπεινοφροσύνη κατησφαλίσατο. Διὰ τοῦτο τὸ πένθος διπλοῦν, ὡς τῆς ἁμαρτίας ἀναιρετικόν, καὶ τῆς ταπεινοφροσύνης ποιητικόν· εὐσεβῶν μὲν, τὸ παντὶ αἰτοῦντι διδόναι (59), εὐσεβεστέρων δὲ καὶ τῷ μὴ αἰτοῦντι. Τὸ δὲ ἀπὸ τοῦ αἴροντος μὴ ἀπαιτεῖν δυναμένους μάλιστα, τάχα τῶν ἀπαθῶν καὶ μόνων ἴδιον καθέστηκεν.

A enim voluptates tollit, altera seu humilitas, quod prior fecit, confirmat, nec voluptates repullulare sinit. Quocirca et luctus duplicem vim habet, quod peccatum deleat, et humilitatem erect. Piorum est, omni petenti dare; sed magis piorum est, etiam non petenti largiri. Non repetere autem, aut quidquam ab eo exigere, qui abs te aliquid abstulit, est, qui omnem affectum erga res omnes mortales

cum maxime possis, illud fortasse non nisi eorum exuerunt.

Ἐν πᾶσι τοῖς πάθεσι καὶ ταῖς ἀρεταῖς ἑαυτοὺς ἐκζητοῦντες μὴ παυσώμεθα, ποῦ τυγχάνομεν ἐν ἀρχῇ, ἐν μεσότητι, ἢ ἐν τέλει. Πάντες οἱ πρὸς ἡμᾶς δαιμόνων πόλεμοι, ἐκ τριῶν τούτων αἰτιῶν συνίστανται· ἐκ φιλῃδονίας, ἢ ἐκ ὑπερηφανίας, ἢ ἐκ φθόνου αὐτῶν. Οἱ μὲν ἔσχατοι μακάριοι· οἱ δὲ μέσοι πανάθλιοι· οἱ δὲ πρότεροι ἀχρεῖοι ἕως τέλους τυγχάνουσι. Ἔστι τις αἴσθησις, μᾶλλον δὲ ἕξις, φερέπονος λεγομένη, ὑφ' ἧς ὁ ἁλοὺς οὐκ ἔτι δειλιάσει, ἢ ἀποστραφεῖ πόνου ποτέ· ταύτῃ τῇ ἀοιδίμῳ αἱ τῶν μαρτύρων ψυχαὶ κρατηθεῖσαι τῶν βασάνων εὐχερῶς κατεφρόνησαν. Ἄλλο φυλακὴ λογισμῶν, καὶ ἕτερον (60) νοὸς τήρησις, καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, κατὰ τοσοῦτον ὑψηλοτέρα τῆς προτέρας ἡ δευτέρα, εἰ καὶ μοχθηροτέρα ὑπάρχοι. Ἄλλο προσεύχεσθαι κατὰ λογισμῶν (61), καὶ ἄλλο ἀντιφθέγγεσθαι τούτοις· καὶ ἕτερον ἐξουθενεῖν, καὶ ὑπερτίθεσθαι τούτους. Καὶ τῷ μὲν προτέρῳ τρόπῳ μαρτυρεῖ ὁ εἰπών· *Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες*, καὶ τὰ ὅμοια. Τῷ δὲ δευτέρῳ ὁ φήσας· *Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσίν μοι λόγον ἀντιῤῥητικόν*. Καὶ πάλιν· *Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν*. Τοῦ δὲ τρίτου μάρτυς ὁ μελῳδήσας· *Ἐκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, καὶ ἐθέμην αὐτῷ φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλόν ἐναντίον μου*. Καὶ πάλιν· *Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ δὲ τῆς σῆς θεωρίας ἐγὼ οὐκ ἐξέκλινα*. Τούτων ὁ μὲν μέσος τῷ προτέρῳ πολλάκις κέχρηται, διὰ τὸ ἀπαρασκεύαστον· ὁ δὲ πρότερος οὔπω τῷ δευτέρῳ τρόπῳ ἰσχύει τοὺς ἐχθροὺς ἀπώσασθαι· ὁ δὲ τρίτος εἰς ἅπαν δαιμόνων κατέπτυσεν. Ἀμήχανον φυσικῶς τὸ ἀσώματον ὑπὸ τοῦ σώματος ὁρίζεσθαι· πάντα δὲ δύνατα τῷ κτισαμένῳ Θεῷ. Ὥσπερ οἱ τῇ αἰσθήσει τῆς ὀσφρήσεως ὑγιῶς διακείμενοι τὸν ἀρώματα λελῃθότως κατέχοντα ἐπιγινώσκειν δύνανται (62)· οὕτως καὶ ψυχὴ καθαρὰ τὴν εὐωδίαν, ἣν καὶ αὐτὴ ἐκ Θεοῦ προσεκτήσατο, τήν τε δυσωδίαν, ἧς ἀπαλλαγεῖσα τελείως καθέστηκεν, ἐν ἑτέροις ὑπάρχουσαν γνωρίζειν, ἀνεπαισθήτως ἑτέρων, πέφυκεν. Οὐ πάντες μὲν ἀπαθεῖς γενέσθαι δυνατόν· πάντες δὲ σωθῆναι καὶ Θεῷ διαλλαγῆναι οὐκ ἀδύνατον. Μή σου κατακυριεύσωσιν οἱ ἀλλόφυλοι ἐκεῖνοι, οἱ τὰς τοῦ Θεοῦ ἀῤῥήτους οἰκονομίας ἢ ὀπτασίας ἐν τοῖς ἀνθρώποις γινομένας πολυπραγμονεῖν βουλόμενοι, καὶ προσωπολήπτην τὸν Κύριον εἶναι λελῃθότως ὑποβάλλοντες· οἰήσεως γὰρ ἀπόγονοι καὶ εἰσὶ καὶ γνωρίζονται. Ἔστι δαίμων φιλαργυρίας πολλάκις ταπείνωσιν ὑποκρινόμενος (63)· καὶ ἔστι

In omnia vitia et virtutes nostras **348** nunquam inquirere desinamus, ut intelligamus, quo loco versemur, an in principio, an medio, an fine. Omnia hostium nostrorum bella ex tribus istis causis nascuntur et conflantur, ex amore et studio voluptatum, ex superbia, et dæmonum ipsorum invidia. Ultimi sunt beati, medii miserrimi, primi tota vita inutiles. Est quidam sensus, seu potius habitus, phereponus dictus, quasi dicas laborum patiens, quo captus et occupatus non jam amplius labores ullos formidabit, aut unquam recusabit. Hoc semper laudabili et prædicando virtutis sensu et spiritu formatæ martyrum animæ omnia tormenta facile contempserunt. Aliud est custodia cogitationum, et aliud observatio mentis. Quantum distat ortus ab occidente, tanto nobilior et sublimior est priore altera, quamvis laboriosior sit hæc illa. Aliud adversus cogitationes preces adhibere, aliud illis repugnare, aliud easdem contemnere et penitus superare. De primo modo testatur is qui dixit: *Deus in adjutorium meum intende* [38], et hoc genus similia. De altero idem: *Et respondebo exprobrantibus mihi verbum* [39], contradictionis nempe. Et rursum: *Posuisti nos in contradictionem vicinis nostris* [40]. De postremo testatur qui cecinit: *Obmutui et non aperui os meum, et posui ori meo custodiam, cum consisteret peccator adversum me* [41]. Et iterum: *Superbi inique agebant usquequaque, ego autem a contemplatione* [*conspectu tuo*] *tui non declinavi* [42]. Ex his medius sæpe utitur priore, quod ipse per se non sit satis paratus et instructus; prior **349** secundo nunquam potest hostes arcere et abigere. Tertius autem dæmones penitus respuit et rejecit. Fieri per naturam non potest, ut quod corpore caret, a corpore comprehendatur aut circumscribatur; rerum tamen Conditor omnia potest. Quemadmodum ii qui olfaciendi sensu vigent facile sentiunt, si quis vel occulte secum aromata ferat: sic et pura mens gratum virtutis odorem, quem ex Deo accepit, facile animadvertit, sicut et fetorem, a quo penitus ipsa liberata est, in aliis latentem, aliis etiam nihil sentientibus, percipit. Non omnes quidem possunt ad summam animi ab omnibus vitiositatibus liberi tranquillitatem aspirare, sed omnes tamen possunt cum Deo reconciliari et salvi fieri. Cave ne in te alienigenæ dominentur illi qui arcanam Dei gubernationem, aut objectas hominibus visiones curiosius inquirant, Deumque clam in

[38] Psal. LXIX, 2. [39] Psal. CXVIII, 42. [40] Psal. LXXIX, 7. [41] Psal. XXXVIII, 10. [42] Psal. CXVIII, 51.

animo personarum rationem habere judicant : hi enim superbiæ progenies et sunt et esse deprehenduntur. Est spiritus avaritiæ qui sæpe humilitatem simulat. Est spiritus vanæ gloriæ, qui homines ad eleemosynam dandam incitat (sicut et spiritus luxuriæ) qui ab utroque hoc repurgati fuerimus, quovis loco benignitatem in pauperes exhibere non cessemus. Fuere nonnulli, qui censerent dæmones inter se sibi mutuo adversari et obluctari. Sed ego novi ab omnibus nihil nisi exitium nostrum quæri.

A δαίμων κενοδοξίας πρὸς ἐλεημοσύνην προτρεπόμενος, ὥσπερ καὶ φιληδονίας. Ἐὰν ἀμφοτέρων τοίνυν καθαρεύσωμεν, ἐν παντὶ τόπῳ ἐλεεῖν μὴ παυσώμεθα. Τινὲς μὲν ἔφησαν δαίμονας δαίμοσιν ἀντιπράττειν · ἐγὼ δὲ ἔγνωκα πάντας τὴν ἡμῶν ζητοῦντας ἀπώλειαν.

Omnes pias et spirituales exercitationes nostras sive corporis eæ sint et oculis subjectæ, sive mentis et intelligentiæ, præcedit propria hominis mens et propositum, optimumque desiderium et affectus, quæ ex Dei succursu et auxilio fiunt. Nisi enim propositum præmissum fuerit, bona opera non sequentur. Si omnia, quæ sub cœlo fiunt, ut Ecclesiastes testatur, quavis in re suum tempus habent, inter omnia autem etiam nostræ sacræ reipublicæ negotia et res constitutæ sunt, videamus si placet et in quovis, tempore, quæ sint propria et convenientia cuique tempori disquiramus. Est enim omnino in iis qui in religiosæ vitæ certamine versantur tempus, quo ab omni animi perturbatione liber et tranquillus exsistas (quod propter eos dico, qui adhuc in certaminis infantia et tirocinio versantur). Est tempus lacrymarum, tempus ariditatis seu duritiei cordis ; tempus obtemperandi et tempus imperandi : tempus jejunii, tempus mensæ : tempus belli, hostis corporis ; et tempus pacis seu mortis exstincto nempe carnis ardore : tempus tempestatis in anima, et tempus serenitatis in mente : tempus mœroris in corde, et tempus gaudii in spiritu : tempus docendi, et tempus discendi : tempus inquinationum fortasse propter animi fastum, et tempus repurgationis propter humilitatem : tempus luctæ, et tempus securæ remissionis : tempus quietis, et tempus sine distractione occupationis : tempus diu et assidue precandi, tempus fideliter ministrandi. Quapropter ne ex superbo animi impetu decepti ante tempus aggrediamur ea quæ suo tempore sunt facienda, nec in hieme agamus quæ in æstate sunt agenda, nec in semente messem quæramus ; si quidem tempus et serendi labores, **351** et tempus metendi inexplicabiles gratiarum messes. Sin minus, tunc neque suo tempore, quæ sunt ejus temporis propria referemus. Quidam ante labores, quidam inter ipsos labores quidam post labores, quidam in morte demum cœlestem sudorum compensationem ex arcana et inenarrabili Dei gubernatione et voluntate receperunt. Restat inquirendum qui horum altero fuerit humilior.

B Πάσης πνευματικῆς ἐργασίας ὁρωμένης τε καὶ νοουμένης προηγεῖται πρόθεσις οἰκεία (64), καὶ πόθος ἄριστος, μετὰ συνεργίας Θεοῦ γινόμενα. Τῶν γὰρ προτέρων μὴ καταβληθέντων, τὸ δεύτερον ἐπακολουθεῖν οὐ πέφυκεν. Εἰ καιρὸς ἐν παντὶ πράγματι τῶν ὑπὸ τὸν οὐρανὸν, καθώς φησιν ὁ Ἐκκλησιαστὴς, ἐν τοῖς πᾶσι δὲ καὶ τὰ τῆς ἡμετέρας πολιτείας ἱερᾶς καθεστήκασι πράγματα · οὐκοῦν σκοπήσωμεν, εἰ δοκεῖ, καὶ ἐν ἑκάστῳ καιρῷ τὰ τῷ καιρῷ οἰκεῖα ζητήσωμεν · καιρὸς γὰρ πάντως ἐν τοῖς ἀγωνιζομένοις ἐστὶν ἀπαθείας, διὰ τὴν τῶν ἀγωνιζομένων λέγω νηπιότητα. Καιρὸς δακρύων, καὶ καιρὸς σκληροκαρδίας · καιρὸς ὑποταγῆς, καὶ καιρὸς τοῦ ἐπιτάττειν · καιρὸς νηστείας, καὶ καιρὸς μεταλήψεως · καιρὸς πολέμου, σώματος ἐχθροῦ, καὶ καιρὸς θανάτου πυρώσεως · καιρὸς χειμῶνος ψυχῆς, καὶ καιρὸς γαλήνης νοός · καιρὸς λύπης καρδιακῆς, καὶ καιρὸς χαρᾶς πνευματικῆς · καιρὸς διδασκαλίας, καὶ καιρὸς ἀκροάσεως · καιρὸς μολυσμῶν, ἴσως διὰ τὴν οἴησιν, καιρὸς καθάρσεως, διὰ τὴν ταπείνωσιν · καιρὸς πάλης, καὶ ἀσφαλοῦς ἀνέσεως · καιρὸς ἡσυχίας, καὶ καιρὸς ἀπεριστάστου περισπασμοῦ · καιρὸς προσευχῆς ἀενάου, καὶ καιρὸς διακονίας ἀνυποκρίτου. Μὴ τοίνυν πρὸ καιροῦ ἐξ ὑπερηφάνου προθυμίας ἁπατώμενοι τὰ τοῦ καιροῦ ζητήσωμεν · μὴ ἐν χειμῶνι τὰ τοῦ θέρους · μὴ ἐν σπόρῳ τὰ τῶν δραγμάτων, ἐπειδὴ καιρὸς τοῦ σπεῖραι πόνους, καὶ καιρὸς τοῦ θερίσαι τὰς χάριτας τὰς ἀῤῥήτους. Εἰ δὲ μή γε, οὐδὲ ἐν τῷ καιρῷ τὰ τοῦ καιροῦ οἰκεῖα κομισόμεθα (65). Τινὲς πρὸ τῶν καμάτων, τινὲς ἐν τοῖς καμάτοις, τινὲς μετὰ τοὺς καμάτους, τινὲς ἐν τῷ θανάτῳ τὰς ὁσίας ἀμοιβὰς παρὰ τοῦ Θεοῦ τῶν οἰκείων κόπων κατ' οἰκονομίαν ἄῤῥητον ἐκομίσαντο. Ζητητέον τίς τούτων τοῦ ἑτέρου ταπεινότερος καθέστηκεν.

Est desperationis genus quod ex multitudine peccatorum, et conscientiæ pondere et intolerabili tristitia exsistit, quando anima ex multitudine vulnerum nimium mergitur, et onere peccatorum, altissima desperationis voragine hauritur et absorbetur. Est et alia desperatio quæ ex superbia et æstimationis fastu nobis contingit, ut qui existimet indignum se, qui in talem casum incideret fuisse. In his duobus, qui observaverit, hoc proprium deprehendet, quod alter ex desperatione, seipsum deinceps sine discrimine omnibus peccatis

Ἔστιν ἀπόγνωσις ἐκ πλήθους ἁμαρτημάτων (66), καὶ συνειδότος βάρους, καὶ ἀφορήτου λύπης διὰ τὸ ὑπερβαπτισθῆναι τῷ πλήθει τῶν τραυμάτων τὴν ψυχὴν, καὶ τῷ βάρει αὐτῶν, εἰς τὸν ἀπογνώσεως βυθὸν καταποντίζεσθαι · καὶ ἔστιν ἀπόγνωσις ἐξ ὑπερηφανίας καὶ οἰήσεως ἡμῖν ἐπισυμβαίνουσα, λογιζόμενον ἑαυτὸν ὡς ἀνάξιον ὄντα τοῦ συμβεβηκότος πτώματος · τοῦτο δὲ ὁ παρατηρῶν ἐν ἀμφοτέροις εὑρήσει τὸ ἰδίωμα · τὸν μὲν ἐν ἀδιαφορίᾳ ἑαυτὸν λοιπὸν ἐκδεδωκότα · τὸν δὲ τῆς ἀσκήσεως ἐν ἀπογνώσει ἐχόμενον, ὅπερ ἀσύμφωνον · ἀλλὰ τὸν

μὲν ἐγκράτεια, καὶ εὐελπιστία· τὸν δὲ ταπείνωσις, καὶ τὸ μηδένα κρίνειν ἰατρεύειν πεφύκασιν. Οὐ δεῖ θαμβεῖσθαι ἡμᾶς (67) ἢ ξενίζεσθαι ὁρῶντας πονηρὰ μέν τινας ἐργαζομένους ἔργα, ἀγαθοὺς δὲ λόγους προφέροντας· ἐπεὶ καὶ τὸν ἐν τῷ παραδείσῳ ὄφιν ἐκεῖνον ἡ οἴησις ἀπώλεσεν ὑψώσασα, τύπος σοι καὶ κανὼν ἔστω οὗτος ἐν πάσαις σου ταῖς ἐγχειρήσεσι, καὶ πολιτείαις, ὑποτακτικαῖς τε καὶ ἀνυποτάκτοις (68), ὁρωμέναις τε καὶ νοουμέναις, εἰ κατὰ Θεὸν κυρίως καθεστήκασι· λέγω δή (*a*), ὁπόταν τὸ οἰονοῦν ἐπιτηδεύωμεν (69), οἱ εἰσαγόμενοι λέγω, ἐγχείρημα, καὶ μὴ ἐκ τῆς τούτου ἐργασίας ταπείνωσιν, ἧς κεκτήμεθα, προσλαμβάνωμεν πλέον ἐν ψυχῇ, οὐ δοκεῖ μοι κατὰ Θεὸν ἡμᾶς αὐτὸ κατεργάζεσθαι, εἰ μικρὸν ἢ μέγα καθέστηκεν. Ἐν μὲν γὰρ ἡμῖν τοῖς νηπιωδεστέροις αὕτη ἡ τοῦ Κυριακοῦ θελήματος πληροφορία (70)· ἐν δὲ μέσοις, ἡ τῶν πολέμων ἴσως ἀναχώρησις· ἐν δὲ τελείοις, ἡ τοῦ θείου φωτὸς προσθήκη καὶ περιουσία. Τὰ μὲν μικρὰ παρὰ τοῖς μεγάλοις (71), ἴσως οὐ μικρά· τὰ δὲ μεγάλα παρὰ τοῖς μικροῖς οὐ πάντως τέλεια. Ἀὴρ μὲν καθαρθεὶς νεφελῶν, φαιδρὸν ὑπέδειξεν ἥλιον· καὶ ψυχὴ προλήψεων, ἀφέσεως ἀξιωθεῖσα (72) πάντως θεῖον φῶς ἑώρακεν. Ἄλλο ἁμαρτία (73), καὶ ἄλλο ἀργία, καὶ ἄλλο ἀμέλεια· καὶ ἕτερον πάθος, καὶ ἄλλο πτῶμα. Ὁ δυνάμενος ἐν Κυρίῳ ζητεῖν, ζητείτω σαφῶς. Τινὲς τὸ θαυματουργικὸν καὶ ὁρώμενον ἐν τοῖς πνευματικοῖς χαρίσμασιν ὑπὲρ πάντα μακαρίζουσιν, ἀγνοοῦντες πολλὰ εἶναι τούτου ὑπέρτερα καὶ ἀπόκρυφα· διὸ καὶ μένουσιν ἄπτωτα. Ὁ μὲν τελείως καθαρθεὶς, αὐτὴν, ἢ καὶ οὐκ αὐτὴν τὴν ψυχὴν, ἐν ποίοις διάκειται τοῦ πλησίον ὁρᾷ. Ὁ δὲ προκόπτων ἔτι, διὰ τοῦ σώματος ταύτην τεκμαίρεται. Πῦρ (74) μικρὸν πολλάκις πᾶσαν τὴν ὕλην ἐκάθηρεν, ὥσπερ καὶ ὀπὴ μικρὰ ὅλον τὸν κόπον διέφθειρεν. Ἔστιν ἀνάπαυσις τῇ ἐχθρᾷ τὴν τοῦ νόου δύναμιν διυπνίζουσα, καὶ πύρωσιν μὴ διεγείρουσα· καὶ ἔστι πολλὴ κατάτηξις ἴσως, καὶ τὰς κινήσεις κινήσασα, *ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς*, ἀλλ' ἐπὶ τῷ ἀγνώστως τὴν ζῶσαν θανατοῦντι. Ὅταν τινὰς ἡμᾶς κατὰ Κύριον ἀγαπῶντας ὀψόμεθα (75), ἐν ἐκείνοις μάλιστα τὸ ἀπαρρησίαστον φυλάξωμεν· οὐδὲν γὰρ οὕτως διαλύει ἀγάπην, ὡς ἡ παρρησία πέφυκε, καὶ μῖσος ἐργάζεσθαι. Νοερὸν καὶ λίαν περικαλλὲς τὸ τῆς ψυχῆς ὄμμα, καὶ πᾶσαν ἰδέαν μετὰ τὰς ἀσωμάτους οὐσίας ὑπεραῖρον· ὅθεν καὶ ἐμπαθεῖς πολλάκις τὰ ἐν ἑτέραις ψυχαῖς ἐξ ἀγάπης πολλῆς τῆς πρὸς αὐτὰς νοήματα ἐπιγνῶναι ἠδυνήθησαν· καὶ μάλιστα ὅτε ὑπὸ τῆς πηλοῦ μὴ καταποντίζονται ῥυπούμενοι· εἰ οὐδὲν τῷ ἀΰλῳ φύσει ὡς τὸ ἔνυλον ἀνθέστηκεν (76)· ὁ ἀναγινώσκων νοείτω· αἱ παρατηρήσεις ἐν μὲν τοῖς κατὰ κόσμον ἀνθεστήκασι τῇ τοῦ Θεοῦ προνοίᾳ· ἐν ἡμῖν δὲ τῇ νοερᾷ γνώσει. Οἱ μὲν τῇ ψυχῇ ἀσθενεῖς ἐκ τῶν τοῦ σώματος περιστάσεων (77), καὶ κινδύνων, καὶ τῶν ἐκτὸς περισπασμῶν, τὴν πρὸς αὐτοὺς ἐπίσκεψιν τοῦ

exponat; alter in desperatione religiosam exercitationem retinet; quod inconveniens est. Sed alterum continentia et bona spes; alterum humilitas, etsi neminem judicarit (*a*), sanare poterit. Non est mirandum, neque tanquam in re peregrina et inusitata obstupescendum, quando videmus nonnullos mala facere, et bona loqui, quando et serpentem in paradiso elatio mentis extulit et perdidit. Norma hæc sit in omnibus rebus tuis quas aggrederis, vitaeque studiis, sive alteri, **352** subjectis sive non subjectis, tam quæ ad corpus, quam quæ ad animum pertinent, an cum lege divina vere conveniant. Ut si, quando qualecunque opus nos novitii suscipimus, nisi ex illo opere majorem, quam ante habuimus, humilitatem inde in anima acquisiverimus, non videtur illud opus seu parvum seu magnum fuerit, convenienter legi divinæ factum. Atque in nobis adhuc rudioribus hoc quasi divinæ voluntatis signum et testimonium est. In mediis autem, quies fortasse ab impugnationibus: in perfectis autem divini luminis augmentum et copia. Quæ parva judicantur a magnis, fortasse non sunt parva. Quæ autem magna judicantur a parvis non sunt ex omni parte perfecta. Abstersus a nubibus et defæcatus aer, clarum ostendit solem; et anima a Deo ven[illegible] peccatorum dignata, omnino divinum [illegible] pexit. Aliud est peccatum, aliud otium, aliud negligentia; et aliud propensio mala, aliud casus. Qui potest in Domino quærere, quærat aperte. Sunt qui gratiam patrandi miracula, et ea quæ in oculis hominum versantur dona cœlestia mirantur: et super omnia extollunt ac beata prædicant, cum ignorent multo his excellentiora et recondita esse, quæ propterea extra periculum casus manent. Qui perfecte purgatus est ipsam alterius animam (etsi non ipsam penitus) videt, quomodo affecta sit. Qui autem adhuc inter proficientes est, per corpus de anima conjecturam facit. Parvus ignis sæpe totam silvam absumit et repurgat, **353** et parva rima universum laborum fructum corrumpit. Est quædam requies, quæ per inimicam carnem vim mentis exsuscitat, et ardorem tamen carnis non excitat. Et magna quandoque corporis vexatio nihilominus fortasse motus carnis causatur, *ne in nobis ipsis confidentes simus* [43], sed in eo qui viventem carnis sensum occulte mactare potest. Si nos a quibusdam sancte secundum Deum diligi conspexerimus, erga illos potissimum verecundiam custodiamus, ne nimis simus confidentes: nihil enim ita lædit et dissolvit charitatem, et odium parit, quam nimia libertas loquendi seu confidentia. Valde intelligens et elegans est oculus mentis, omnesque formas, præter angelicas naturas, exstinguit et superat. Unde et illi sæpe, qui adhuc animi perturbationibus obnoxii sunt, cogi-

[43] II Cor. I, 9.

(6) Et judicium de altero [illegible] rarium penitus sublatum.

(*a*) λέγω δή non est in omnibus exemplaribus Græcis.

tationes aliarum animarum ex magna charitate qua afficiuntur erga illas, deprehendere potuerunt, et in potissimum, cum puri ipsi ab sordibus peccatorum non absorpti sunt. Si nihil tam repugnat incorporeæ naturæ quam id quod corporeum est (qui legit, intelligat), observationes in sæcularibus divinæ providentiæ, in nobis cognitionis mentis obsistere solent. Qui animo parum firmo et constanti sunt, curam erga se Dei ex corporis statu, periculis, et aliis externis vexationibus intelligant; perfecti autem ex Spiritus sancti præsentia, et gratiarum cœlestium incremento. Est dæmon qui jam in lecto (ad somnum capiendum recumbentes improbarum et impurarum cogitationum telis nos infestat, **354** ut ex pigritia tum oratione non obarmati in obscenis cogitationibus obdormiamus, fedis etiam insomniis occupemur. Est e spiritibus, improbus, præcursor dictus, qui nos e somno experrectos statim excipit, et primitias cogitationum nostrarum inquinat. Offeras Domino diei tui primitias, ejus enim erunt qui anteverterit.

A Κυρίου γνωριζέτωσαν· οἱ δὲ τέλειοι ἐκ τῆς τοῦ Πνεύματος παρουσίας, καὶ τῆς τῶν χαρισμάτων προσθήκης· ἔστι δαίμων ἐπὰν ἐγ τῇ κλίνῃ ἀναπέσωμεν, πρὸς ἡμᾶς παραγενόμενος, καὶ πονηραῖς ἡμᾶς καὶ ῥυπαραῖς κατατοξεύων ἐνθυμήσεσιν, ἵνα τῇ ὀκνηρίᾳ εἰς προσευχὴν τότε κατ' αὐτοῦ μὴ ὁπλισάμενοι ἐν ῥυπαραῖς ἐννοίαις ἀφυπνώσαντες, ῥυπαρὰ καὶ τὰ ἐνύπνια κτησώμεθα. Ἔστιν πνευμάτων, πρόδρομος καλούμενος, ἐξ ὕπνου ἡμᾶς εὐθέως δεχόμενος, καὶ τὴν πρωτόνοιάν ἡμῶν καταμολύνων. Δίδου σῆς ἡμέρας ἀπαρχὰς Κυρίῳ. Τοῦ γὰρ προποιοῦντος ἔσται (78).

Dignum auditu sermonem mihi quidam Dei servus retulit: Ex primis, inquit, diei auspiciis, totius diei statum conjicio, seu præscisco. Multæ sunt pietatis et exitii viæ: quapropter sæpe hic qui alteri opponitur, cum altero optime convenit, et tamen utriusque mens et finis Deo placet. Luctantur nobiscum dæmones per tentationes, quas experimur, ut aliquid indignum vel dicamus, vel faciamus. Quod si impetrare non possunt, tum sensim irrepentes, suggerunt nobis uti per superbiam (ut ille pharisæus) Deo gratias dicamus. Qui ea quæ supra sunt, sapiunt, mortui sive separati a corpore per partes ad superiora ascendunt: qui vero sapiunt quæ infra sunt, ad inferiora rursum descendunt: separatorum enim seu mortuorum locus medius nullus est reliquus. Unum ex (duobus) Dei creatis operibus in altero, non in seipso naturam suam, adeoque suum esse accepit, et mirum est quomodo illud quod in altero suum esse seu naturam suam accepit, sine altero possit consistere. Pias filias matres gignunt, matres autem Dominus, qua lege seu regula etiam in contrariis uti non erit absurdum. Timidus in bellum ne exito, ut Moses, vel potius Deus imperat, et merito ne error nempe postremus **355** animæ primo casu corporis deterior fiat. Lumen omnium corporis membrorum sunt oculi sensibus subjecti. Lux vero intellectus omnium divinarum virtutum est discretio.

B Ἀξιάκουστόν μοι λόγον ἐργάτης ἄριστος ἔφρασεν. Ἐξ αὐτῆς γάρ, μοὶ ἔφη, τῆς πρωΐας τὸν ἅπαντά μου δρόμον τῆς ἡμέρας προεπίσταμαι. Πολλαὶ καὶ τῆς εὐσεβείας καὶ ἀπωλείας αἱ ὁδοιπορίαι· διόπερ πολλάκις ὁ τῷ ἑτέρῳ ἀντιτασσόμενος, ἄλλῳ γνησίως συνέρχεται, καὶ ὁ τῶν ἀμφοτέρων σκοπὸς ἐστι Κυρίῳ εὐάρεστος (79). Παλαίουσι μὲν οἱ δαίμονες ἐπὶ τοῖς συμβαίνουσιν ἡμῖν πειρασμοῖς ἢ λέξαι ἡμᾶς ἢ πράξαι ἄτοπον. Καὶ ὅταν μὴ ἰσχύσωσιν, ῥῆμα ἐπιστάντες ὑπερήφανον ἡμῖν εὐχαριστίαν πρὸς Θεὸν ὑποτίθενται· οἱ μὲν τὰ ἄνω φρονήσαντες, χωριζόμενοι ἄνω μερικῶς ἀνέρχονται (80)· οἱ δὲ τὰ κάτω, κάτω πάλιν πορεύονται· τῶν γὰρ χωριζομένων οὐδὲν λοιπὸν μέσον ἵσταται. Ἓν τῶν κτισμάτων ἐν ἑτέρῳ καὶ οὐκ ἐν ἑαυτῷ τὸ εἶναι εἴληφε (81)· καὶ θαῦμα πῶς ἐκτὸς τοῦ ἐν ᾧ τὸ εἶναι ἐκομίσατο, συνίστασθαι πέφυκε. Τὰς μὲν εὐσεβεῖς θυγατέρας αἱ μητέρες τίκτουσι, τὰς δὲ μητέρας ὁ Κύριος, καὶ ἐπὶ τῶν ἐναντίων τῷ προειρημένῳ κανόνι ὁρίσαι οὐκ ἄσοφον. Δειλὸς εἰς πόλεμον μὴ ἐξιέτω, Μωυσῆς, μᾶλλον δὲ Θεὸς παρακελεύεται, μήπως γένηται ἡ ἐσχάτη πλάνη τῆς ψυχῆς ὑπὲρ τὴν πρώτην πτῶσιν τοῦ σώματος, καὶ εἰκότως. Φῶς μὲν τῶν τοῦ σώματος πάντων ἄρθρων οἱ αἰσθητοὶ ὀφθαλμοί· φῶς δὲ νοερὸν ἀρετῶν τῶν θείων διάκρισις.

C

D

SCHOLIA AD GRADUM XXVI.

De discretione.

Scholion Isaaci. Quæstio 1.

Quid est perfectio? *Resp.* Humilitatis merces seu præmium, hoc est, abdicatio omnium aspectabilium et inaspectabilium. Aspectabilium omnium nempe quæ ad sensum pertinent; non aspectabilium, quæ ad mentem, et quæcunque ex cura horum nascuntur.

Scholion 2.

Mundus corde est, qui se ipsum damnando præceptum Dei non irritum faciet. Aut qui erga omnem creatam naturam misericordia commovetur. Aut

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΣ'.

Περὶ διακρίσεως.

Σχόλιον Ἰσαάκ. Ἐρώτησις α'.

Τί ἐστιν ἡ τελειότης; Ἀπόκρις. Μισθὸς ταπεινώσεως· ὅπερ ἐστὶν ἡ κατάληψις (a) πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων· ὁρατῶν μὲν πάντων ὅσων αἰσθητῶν· ἀοράτων δὲ τῶν νοητῶν, καὶ τῶν ἐκ μερίμνης τῆς ὑπὲρ αὐτῶν.

Σχόλιον β'.

Καθαρὸς τῇ καρδίᾳ ἐστὶν, ὁ μὴ, ἑαυτοῦ κατα-γνοὺς, ἐπὶ ἐντολῆς Θεοῦ ἀθετήσει· ἢ ὁ ἐλεήμων ὑπὲρ πάσης τῆς φύσεως τῆς κτιστῆς· ἢ ὁ ἐλεύθερος

(a) Κατάληψις *comprehensio*; κατάλειψις *abdicatio*; legerim hoc loco κατάλειψις potius quam κατάληψις.

/τῶν κρυπτῶν παθῶν· καθαρὸς δὲ τῷ σώματι, ὁ ὅσιος ἐκ τοῦ μολυσμοῦ τῆς σαρκός ἐστι καὶ ὁ ἀληθεύων διὰ στόματος.

A qui liber est ab occultis vitiis. Mundus corpore est, qui a carnis inquinatione purus est, qui nullum profert ex ore mendacium.

Σχόλιον γ'.

Τρεῖς εἰσιν οἱ κατὰ τὸν Μάρκον γίγαντες, λήθη, ἄγνοια, καὶ ῥᾳθυμία· οὓς ὁ θεῖᾳ χάριτι ποντίσας. πάντα τὰ ἅρματα τοῦ Φαραὼ συντρίψεις.

Scholion 3.

Tres sunt, ex Marci (monachi) sententia, gigantes: oblivio, ignorantia, pigritia: quos si cum divina gratia ponto merseris, omnes currus Pharaonis conteres.

Σχόλιον δ'.

Ἡ ναῦς, ποτὲ μὲν ἐκ τῶν ἔξωθεν τρικυμιῶν καταβαπτίζεται· ποτὲ δὲ ὑπὸ τῆς ἔνδον ἀντλίας ὑποβρύχιος γίνεται. Καὶ ἡμεῖς ποτὲ μὲν διὰ τῶν ἐκτὸς πρακτικῶν ἁμαρτημάτων ἀπολλύμεθα· ποτὲ δὲ διὰ τῶν ἔνδον λογισμῶν ἀφανιζόμεθα. Δεῖ οὖν καὶ τὰς ἔξωθεν τῶν πνευμάτων ἐπιτηρεῖν προσβολὰς, καὶ τὰς ἔνδον τῶν λογισμῶν ἐξαντλεῖν ἀκαθαρσίας· πλὴν ἐπιπονωτέραν χρὴ πρὸς τοὺς λογισμοὺς ποιεῖσθαι τὴν διάνοιαν.

Scholion 4.

Navis, modo ab exterioribus maris fluctibus hauritur, modo ex interiore sentina mergitur. Et nos aliquando per externa peccata perimus, aliquando per internas cogitationes evanescimus. Proinde et externorum flaminum et spirituum procellæ et impetus cavendi sunt, et interior cogitationum impurarum exhaurienda sentina. Enimvero major cura ad cogitationes coercendas adhibenda est.

Σχόλιον ε'.

Ἐὰν μὴ δι' ἀμελείας εἰς ἄγνοιαν καὶ λήθην καὶ ῥᾳθυμίαν περιπέσωμεν, τῆς κατ' ἐντολὴν ἐργασίας οὐκ ἀποτευξόμεθα. Εἰ μὴ γὰρ ὁ νοῦς σκοτισθῇ, οὐ κυριεύει τὰ πάθη τῆς ψυχῆς.

Scholion 5.

Nisi per negligentiam nostram in ignorantiam et obiivionem et segnitiem inciderimus, fructu operis ex præcepto **356** perfecti non privabimur. Nisi enim mens obtusa obscuretur, malæ et vitiosæ affectiones in animam non dominabuntur.

Σχόλιον ς'.

Ὀψία, καὶ σκοτία ψυχῆς, ἀμέλεια, λήθη, ἐπιθυμία· τοῦτο οὖν ἀπὸ συνηθείας εἶπεν ὅ δηλοῖ, τὸ ὀψὲ γίνεσθαι ἤγουν βραδύ· ὅ λυκόφως φασί τινες.

Scholion 6.

Serum et tenebræ mentis sunt negligentia, oblivio, prava cupiditas. Hoc ergo ex vulgi usu dixit, quod significat illud, sero fieri, hoc est, tarde. Quod tempus aliqui dicunt λυκόφως (*a*) seu crepusculum seu matutinum seu vespertinum.

C

Σχόλιον ζ'.

Ὁ ἀββᾶς Λέων.

Scholion 7.

Abbas Leo.

Σχόλιον η'.

Τὸ, προλήψεσι, παλαιὸν οὐκ ἔστιν ἐμπαθῶν· ἀλλὰ πόῤῥω μὲν τοῦ μύσους ἑστώτων, τοῦ βρώμου δὲ ἐποσφραινομένων· διὸ καὶ ἄρχειν τὸν τοιοῦτον ἐκώλυσεν, ἵνα μὴ ἀμεριμνήσας πάλιν ἐγκυβιστήσῃ ταῖς ἐκ συγκαταθέσεως πράξεσι· τὸν δὲ πρὸς τὰς αἰσχρουργίας κεχηνότα οὐ διδάσκειν συγχωρεῖ.

Scholion 8 (*b*).

Verbum (προλήψεσι [*anticipationibus*]) olim non usurpabatur in malam partem de iis qui vitiosis affectionibus laborabant, sed de iis qui ab omni quidem flagitio erant remoti, sed tamen fetorem sentiebant. Ita ergo affectum, Climacus ab aliis regendis removet, ne in negligentiam prolapsus actionibus rursum prioribus ex affectu mentis involvatur. Illum porro qui ad turpes actiones inclinat et afficitur, docere alios prohibet.

Σχόλιον θ'.

Λέγειν χρὴ καλὰ, καὶ τὸν μὴ καλὰ πράττοντα· ὅπως ἄρξηται τῶν ἔργων τοὺς λόγους αἰσχυνόμενος.

Scholion 9.

Bona dicenda sunt etiam mala perpetranti, uti suos ipse reveritus sermones bona agere incipiat (*c*).

D

Σχόλιον ι'.

Κῦμα τὴν ἐμπεφορημένην κοιλίαν εὐφυῶς προσωνόμασεν· αὐτόθι γὰρ διὰ τῶν λογισμῶν κῦμα τοῦτο, καὶ εἰς κατάπτωσιν ἔρχεται,

Scholion 10.

Ventrem saginatum ingeniose fluctum maris appellavit. Illico enim per cogitationes procella ista ad lapsum prorsit.

Σχόλιον ια'.

Εἰσαγωγικῶν μαθημάτων ὑπακοὴ, ἐγκράτεια, ὑπομονὴ, ἀνδρία ψυχῆς, ἀπροσπάθεια γονέων καὶ χρημάτων· τοῖς δὲ προκόψασι μακροθυμία, χρηστότης, ἀγαθοσύνη, συμπάθεια, ἀνεξικακία, ἀκτημοσύνη, νηστεία, προσευχὴ ἐκτενής· τοῖς δὲ τελείοις

Scholion 11.

Rudimenta religiosæ vitæ et disciplinæ sunt obedientia, abstinentia, patientia, fortitudo animi, abdicatio omnis erga parentes et opes affectus. Proficientium longanimitas, benignitas, bonitas, commiseratio, tolerantia malorum, paupertas, jeju-

(*a*) Ducta similitudine a glaucis luporum oculis, seu cinereis.

(*b*) Jo. Mosc. c. 112.

(*c*) Hoc scholium etiam supra positum est.

nium, assiduæ preces. Perfectorum charitas, gaudium, pax, religiosa prudentia seu discretio, expers omnis lapsus et offensionis in quocunque tempore, loco, actione.

A ἀγάπη, χαρὰ, εἰρήνη, διάκρισις· ἄπταιστος ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι.

Scholion 12.

Alphabetum monachorum intelligit et significat virtutes nempe tironum seu novitiorum viginti quatuor litterarum numero respondentes.

Σχόλιον ιβ'.

Σημαίνει τὴν ἀλφάβητον τῶν μοναχῶν καὶ ἀρετὴν ἀρχαρίων ἰσάριθμον τοῖς κδ' γράμμασιν.

Scholion 13.

Exempli causa, versari cum fratribus religiosis, et cum illis laborare et desudare.

Σχόλιον ιγ'.

Οἱονεὶ τὸ συναναστρέφεσθαι τοῖς ἀδελφοῖς καὶ συγκοπιᾷν

Scholion.

Decalogus proficientium, alphabetum perfectorum.

Σχόλιον.

Δεκάλογος προκοψάντων, ἀλφάβητος τῶν τελείων.

Scholion 14.

357 Omnino, ut videtur, humilitas cum egestate robustior fit : sic enim quis dum ingruentia mala in egestate et humilitate considerat, non ut dives laborat vitio impuritatis, neque ut mendicus erit ingratus, aut cessabit et feriabitur, sed tempus lucri adesse gaudet et Deo gratus fructum inde reportat.

B

Σχόλιον ιδ'.

Πάντως, ὡς φαίνεται, ἡ μετὰ πτωχίας ταπείνωσις ἰσχύει· οὕτως γάρ τις καὶ τὰ ἐπερχόμενα διαλογιζόμενος ἐν πτωχίᾳ μετανοίας καὶ ταπεινώσεως, οὔτε ὡς πλούσιος νοσεῖ τὴν μυσαρότητα, οὔτε ὡς δεόμενος ἀχαριστήσει ἢ ἀκηδιάσει· ἀλλὰ καιρὸν κέρδους χαίρων καὶ εὐχαριστῶν ἐνέγκῃ.

Scholion Barsanuphii 15.

Quæstio. Signum gulæ quale est, explica mihi. *Resp.* Quando videris cogitationem tuam cibo delectari, et urgere te ut fere omnes antevertas, aut ut patinam ad te trahas, hoc gula est. Observa igitur te ipsum et vim tibi inferas, ut coerceas ac refrenes gulam, ne cum impetu et magno studio, sed modeste et decenter cibum sumas, atque ut removeas fercula potius abs te coram iis [ad eos] qui tibi assident. Sed non oportet, ut dixi, propter gulam statim recusare cibum, sed cavendum est, ne quid inordinate in cibo sumendo facias. Alterum gulæ argumentum et indicium est . . . . . .

. . . . . .

. . . .

C

Σχόλιον Βαρσανουφίου ιε'.

Ἐρώτ. Τὸ σημεῖον τῆς γαστριμαργίας ποῖόν ἐστι σαφήνισόν μοι. *Ἀπόκρ.* Ὅταν βλέπῃς τὸν λογισμόν σου ἡδυνόμενον ἐν βρώματι, καὶ διώκοντα σχεδὸν τὸ προλαμβάνειν πάντας, ἢ ἐλκύοντα εἰς τὸ ἔμπροσθέν σου τὸ βρῶμα, τοῦτο γαστριμαργίας ἐστί. Πρόσεχε οὖν σεαυτὸν καὶ ποίησον τὴν δύναμίν σου ἄγξαι ἑαυτὸν τοῦ μὴ μετὰ σπουδῆς ἀπ' αὐτοῦ, ἀλλ' ἐν εὐταξίᾳ φαγεῖν· καὶ ὠθῆσαι μᾶλλον τὸ βρῶμα ἔμπροσθεν τῶν συγκαθημένων τοῦτο. Οὐ χρὴ δὲ, ὡς εἶπον, προφάσει τῆς γαστριμαργίας εὐθέως παραιτεῖσθαι τὸ μεταλαβεῖν βρώματος· ἀλλὰ δεῖ παραφυλάξεσθαι, τὸ μὴ ἀτάκτως χρήσασθαι τῇ μεταλήψει αὐτοῦ. Ἕτερον δὲ σημεῖον γαστριμαργίας....(a)

Aliud

Dum autem gulam fugis, cave ne studeas hominibus per vultus pallorem placere, quem (vana gloria) studet palam ostentare.

Ἄλλο.

Τὴν γαστριμαργίαν φεύγων, τὴν ἀνθρωπαρέσκειαν φύλασσε τὴν ὠχρότητα τοῦ προσώπου ἐπιδείξασθαι προφαντάζουσαν.

Scholion 16.

Propter corpus homo est mortalis, propter mentem et orationem immortalis. Tacitus intelligis, intelligens loqueris. In silentio enim mens parit verbum, sermo autem ille Deo pergratus est, qui homini affert salutem.

D

Σχόλιον ις'.

Διὰ μὲν τὸ σῶμα ὁ ἄνθρωπος θνητός· διὰ δὲ τὸν νοῦν καὶ τὸν λόγον, ἀθάνατος. Σιωπῶν νοεῖς, νοήσας λαλεῖς· ἐν γὰρ τῇ σιωπῇ ὁ νοῦς τίκτει τὸν λόγον· εὐχάριστος δὲ λόγος Θεῷ προσφερόμενος, σωτηρία ἀνθρώπου εὑρίσκεται.

Scholion 17

Sensus quidem in nobis est rationalis, tanquam insitus animo in omni homine, idem tamen non est in nobis, ut est a passionibus tectus in iis qui sunt pravis affectibus occupati, quamvis nihil agat et incognitus sit.

Σχόλιον ιζ'.

Ἐν ἡμῖν μέν ἐστιν ἡ νοερὰ αἴσθησις, ὡς τῷ νοῖ συνημμένη ἐν παντὶ ἀνθρώπῳ· οὐκ ἐν ἡμῖν δὲ ὡς ὑπὸ τῶν παθῶν καλυπτομένη, ἐν τοῖς ἐμπαθέσι, καὶ ἄπρακτος οὖσα καὶ ἀδιάγνωστος.

Scholion 18.

Docet oportere quemvis religiosum usque ad cogitationes, motus suos omnes pervestigare.

Σχόλιον ιη'.

Ὅτι χρὴ τὸν μοναχὸν πάντα ἀκριβεύεσθαι μέχρι καὶ ἐννοίας εἰς τὰ ἑαυτοῦ κινήματα.

Scholion 19.

Divina providentia diffunditur in omnia. Nam

Σχόλιον ιθ'.

Ἡ τοῦ Θεοῦ πρόνοια εἰς πάντα. Τὰ γὰρ ἄνωθεν

(a) Deest unus versus.

διδόμενα, κἂν ἐγγίνεσθαι πέφυκεν, οὐχ ἡμῶν εἰσιν, ἀλλὰ τῆς χάριτος, καὶ τῆς προνοίας. Ἡ ἀντίληψις ἐν πιστοῖς ἁπλῶς· ἡ φυλακὴ ἐν πιστοῖς πιστῶς. Τὸ ἔλεος ἐν δούλοις, ἡ παράκλησις ἐν τοῖς ἀγαπῶσι τὸν Κύριον.

A quæ a Deo proficiscuntur, quamvis in nobis exsistere soleant, nostra **358** tamen non sunt, sed gratiæ et providentiæ divinæ. Auxilium adest omnibus fidelibus simpliciter : tutela seu custodia divina fidelibus Deo fideliter servientibus. Misericordia servis Dei singularibus, consolatio præstatur diligentibus Deum.

Σχόλιον Φωτίου πατριάρχου Κωνστ. κ'.

Ὡς φέρε εἰπεῖν, ἡ νηστεία φάρμακόν ἐστι παθῶν καθαρτήριον, ἰδίως καὶ καθ' ἑαυτὴν τελουμένη· ἀλλ' ἐν συνελεύσεσι, καὶ πανηγύρεσι, δηλητήριον διαφθεῖρον πολυτρόπως τῷ κεχρημένῳ καθίσταται, ἢ ἄλλοις πρόσκομμα γινομένῳ, ἢ τῷ αὐτῷ ἐπὶ τούτῳ αὐχοῦντι, καὶ οἰδαινομένῳ, καὶ διαπριομένῳ.

Photii Patr. Constant. 20.

Exempli causa, jejunium est remedium quod pravas animi affectiones repurgat, si privatim et seorsim exerceatur et adhibeatur. Sed in conventibus et publicis celebritatibus venenum est, quod sæpe illi, qui eo utitur, exitium affert, aut aliis scandalum præbet, aut ipsi nocet, qui ex eo se jactat, aut gloriatur, et tumet, et singularis vult videri quasi B divisus ab aliis.

Σχόλιον κα'.

Ἔλεγχος πρὸς τοὺς ἐξ ἀπειρίας μὴ εἰδότας βοηθεῖν τοῖς κάμνουσι ἐπίστασις. Γνῶθι τοίνυν, ὅτι κναφεῖόν ἐστι τὸ πρᾶγμα καὶ ἰατρεῖον (καθὸ διαδείκνυται πλύσεις, καὶ καύσεις ἔχειν), καὶ πολύ γε τοῦ προσυλωδεστέρου αἰδεσιμώτερον (καθὸ καὶ περὶ μείζονα καταγίνεται), οὐ χιτῶνας ἐκπλύνον, καὶ σώματα ὑγιάζον, ἀλλὰ ψυχάς.

Scholion 21.

Reprehensio est præsidium religiosorum, qui laborantibus per insciliam non possunt succurrere. Scito ergo hoc religiosum magisterium perinde se habere, atque fullonia et medica officina (quamdmodum ex lotionibus et ustionibus constat), ac multo quidem illis externis et materialibus religiosior et sanctior, quod circa res longe majores et dignores versetur et occupetur, dum non vestes et togas lavat, et corpora curat, sed animas.

Σχόλιον κβ'.

Τὴν κατὰ νοῦν, ὡς οἶμαι, λέγει τῶν λογισμῶν ἐμπάθειαν. Ὀφθαλμὸς γὰρ τῆς ψυχῆς ὁ νοῦς καθέστηκε· συμβάλλεται δὲ καὶ ἡ ἀσυντυχία πρὸς ὑγείαν ταύτης τῆς νόσου, καθὰ καὶ πολυλογία μόνη ῥύσεις C ποιεῖν πέφυκεν.

Scholion 22.

Per (oculum) opinor intelligit cogitationum quæ in mente sunt affectionem. Oculus enim, animæ mens est. Confert autem ad hunc morbum curandum declinatio congressus et colloquii, quemadmodum vel sola loquacitas fluxiones movere solet.

Σχόλιον Βασιλείου μεγάλου κγ'.

Καιρῷ καὶ προσώπῳ δοκιμάζεται ἡ σιγή· καιρῷ μὲν, ὡς ὅταν λέγῃ, ὅτι *Ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστι·* καὶ πάλιν· *Ἔθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου.* Προσώπῳ δὲ ὡς ὅταν γράφῃ ὁ Ἀπόστολος· *Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ, ὁ πρῶτος σιγάτω·* καὶ πάλιν· *Αἱ γυναῖκες ἐν ἐκκλησίαις σιγάτωσαν.*

Scholion Basilii Magni 23.

Silentium pro tempore et persona temperandum est, et tempore quidem, veluti cum dicit : *Prudens in tempore illo tacebit, quia tempus malum est* [44]. Et alio rursum loco : *Posui ori meo custodiam, cum consisteret peccator adversum me* [45]. Ex personæ autem ratione, veluti cum Apostolus scribit, *si autem alii revelatum fuerit, prior taceat.* Et, *Mulieres in ecclesiis taceant* [46].

Σχόλιον κδ'.

Τὸ βιάζεσθαι τὴν φύσιν, εἰ καὶ πωσῶς τις τῇ μακρᾷ συνηθείᾳ καταβάλλεται τῶν προλήψεων, κρεῖττόν ἐστιν ὑπὲρ τὸ, ὡς κατὰ φύσιν ἀβιάστως D γινόμενον.

Scholion 24.

Vim naturæ inferre (si quis longa peccandi consuetudine quomodocunque detentus fuit) præstat illi virtuti quæ secundum naturam sine violentia exercetur.

Σχόλιον κε'.

Ἄμισθόν φησι τὴν ἄπονον ἐργασίαν εὐχερῶς σκορπιζομένην· πρὸς γὰρ τοὺς πόνους οἱ στέφανοι πλέκονται· τὸ γὰρ, *Ἐδώκατέ μοι φαγεῖν*, καὶ τὰ ἑξῆς, ἔργα εἰσὶ, καὶ κόπων σημαντικά.

359 *Scholion* 25.

Actionem laboris expertem, expertem mercedis affirmat, facileque dissipari : pro ratione enim laborum coronæ texuntur. Illud enim Christi, *Dedistis mihi manducare* [47], et quæ sequuntur, opera sunt et laborum symbola.

Σχόλιον κς'.

Καὶ ἡ ἀνατροφὴ συνεισφέρει πρὸς τὸ δέξασθαι εἴτε παιδείαν ἀρετῆς εἴτε πάλιν κακίας ἀμαθίαν.

Scholion 26.

Educatio confert vel ad virtutem addiscendam, vel vitium dediscendum [ignorandum].

Σχόλιον κζ'.

Χρεωστοῦμεν οἱ μοναχοὶ, ὡς δι' ἑαυτοὺς, οὕτως

Scholion 27.

Debemus nos monachi, sicut propter nos ipsos,

[44] Amos v, 13. [45] Psal. xxxviii, 2. [46] I Cor. xiv, 34. [47] Matth. xxv, 35.

ita propter homines qui nos intuentur lucere vita et moribus nostris, non tuba (seu præconio) ostentationis. Illud enim Christi, *sic luceat lux vestra* [48], non est a nobis ipsis prædicari, sed velut ignis tuus in tenebris terræ lucere dicitur, ita lumen tuum in tenebris lucet. . . . . .

A

καὶ διὰ τοὺς ὁρῶντας ἀνθρώπους φαίνειν τῷ βίῳ, οὐ τῇ σάλπιγγι τῆς ἐπιδείξεως· τὸ γὰρ, *Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν*, οὐχὶ παρ' ἑαυτῶν κηρυχθῆναί ἐστιν· ἀλλ' ὡς πυρσὸς ἐν σκοτίᾳ τῆς γῆς λάμπειν εἴρηται, ὡς καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει καὶ (*a*) . . . . . .

Scholion 28.

Dominus noster Jesus Christus omnibus lumen impertitus est, sed qui illud non sequuntur, se ipsos in tenebras conjiciunt.

Σχόλιον κη'.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πᾶσι τὸ φῶς ἐχαρίσατο· ἀλλ' οἱ μὴ πειθόμενοι αὐτῷ, ἑαυτοὺς σκοτίζουσι.

Scholion 29.

Auxilio, inquit, supremæ et sanctæ Trinitatis adversus tria communissima, vitia amorem voluptatis, pecuniæ, et vanæ gloriæ, per tres virtutes, quibus vitia hæc tolluntur, armati in acie consistamus, per continentiam, inquam, charitatem, et humilitatem. Nam luxuria a continentia tollitur, avaritia a charitate, tanquam liberalis et sua omnia cum aliis communicante manu; superbia ab humilitate quæ omnem ostentationem aversatur, et gloriam vanam exsecratur.

B

Σχόλιον κθ'.

Τῇ συμμαχίᾳ, φησὶ, τῆς ὑπερουσίου καὶ ἁγίας Τριάδος, κατὰ τῶν τριῶν γενικωτάτων παθῶν, ἤγουν φιληδονίας, φιλαργυρίας καὶ φιλοδοξίας, διὰ τῶν τριῶν ἀρετῶν, ὑφ' ὧν ἀναιροῦνται ταῦτα, ἀντιπαρατεταξώμεθα, ἤγουν ἐγκρατείας, ἀγάπης, καὶ ταπεινώσεως. Ἡ μὲν γὰρ φιληδονία ὑπὸ ἐγκρατείας ἀναιρεῖται· ἡ δὲ φιλαργυρία ὑπὸ τῆς ἀγάπης, ὡς μεταδοτικῆς καὶ κοινωνικῆς· ἡ δὲ φιλοδοξία ὑπὸ τῆς ταπεινώσεως, ὡς ἀφιλενδείκτου καὶ μισοδόξου.

Scholion 30.

Si deliciæ excitant malas cupiditates, et gloria voluptates, qui his afficiuntur, bella movent, aut potius irritant et incitant. Fieri enim nulla ratione potest, ut qui rerum præsentium et corporearum amore tangitur, non intus ab rebus externis inquietur, et in priores labes quibus fuit occupatus, relabatur. Atque ita vim operum in vas pertusum, ut dicitur, hauriat et infundat.

C

Σχόλιον λ'.

Εἰ ἡ τρυφὴ διεγείρει τὰ πάθη, καὶ ἡ δόξα τὰς ἡδονὰς, οἱ τούτοις προσασχολούμενοι, καθ' ἑαυτῶν τοὺς πολέμους διεγείρουσιν, ἢ μᾶλλον εἰπεῖν διερεθίζουσιν· ἀδύνατον γὰρ τῷ πρὸς τὰς ὕλας ἐμφιλοχωροῦντι, μὴ τὰ ἐντὸς ἐκ τῶν ἐκτὸς μολύνεσθαι, καὶ πρὸς τὰς προλήψεις ἐξολισθαίνειν, καὶ τὴν βίαν τῶν ἔργων πρὸς πῖθον τετρημένον, κατὰ τὸν εἰπόντα, ἀντλεῖν.

Thalassii 31.

Cum id quod præscriptum est, fit, tum actio præcepti dicitur. Virtus autem est, cum quod fit, eo fit ut veritati placeat.

Σχόλιον Θαλασσίου λα'.

Πρᾶξις ἐντολῆς λέγεται τὸ προστεταγμένον· ἀρετὴ δὲ ἐν τῷ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον.

360 *Scholion* 32.

Qui sine opere argutatur, et multa garrit, *ex iniquo sibi thesaurum colligit, et labores illius* (testante Scriptura) *in domus alienorum transibunt* [49].

Σχόλιον λβ'.

Ὁ ἐκτὸς ἔργου σοφιζόμενος, καὶ λαλῶν λόγοις, *πλουτεῖ ἐξ ἀδικίας, καὶ οἱ πόνοι αὐτοῦ*, κατὰ τὴν Γραφὴν, *εἰς οἴκους ἀλλοτρίων εἰσέρχονται.*

Photii 33.

Quod labor non parturiit, et desiderium ulnis non excepit, et fovit (perit) contemnitur enim (sive de actione, sive contemplatione quæstio sit) quidquid *absque labore* partum est.

D

Σχόλιον Φωτίου λγ'.

Ὅπερ πόνος οὐκ ἐμαιεύσατο, οὐδὲ πόθος ἠγκαλιάσατο, εὐκαταφρόνητον γὰρ (ἄν τε πράξεως, ἄν τε θεωρίας ἐστὶν πρόβλημα) τὸ ῥᾴδιον εἰς κτῆσιν παραγινόμενον.

Marci monachi 34.

Mentis anticipatio est priorum vitiorum objecta nolenti memoria, coercita tamen a forti athleta Christi ne in opus procedat: a victore autem, tanquam impressione quadam facta, retusa et sublata.

Σχόλιον Μάρκου λδ'.

Πρόληψίς ἐστι προτέρων κακῶν μνήμη ἀκούσιος· παρὰ μὲν τῷ ἀγωνιστῇ προβῆναι εἰς πάθος κωλυομένη· παρὰ δὲ τῷ νικητῇ ὡς προσβολῆς ἀνταναιρουμένη.

Aliud.

Qui litteras amas, ama et laborem: nuda enim rerum cognitio inflat hominem.

Ἄλλο.

Φιλομαθὴς ὤν, γίνου καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον.

[48] Matth. v, 16. [49] Prov, v, 10.

(*a*) Deest unus versus abrasus. Suppl. *quando vita tua virtutibus resplendet.*

Σχόλιον λε'.

Ὁ γέλως ἐκ τριῶν γίνεται· ἐκ πορνείας, κενοδοξίας, καὶ τῆς ἔνδον σεμνότητος καὶ τρυφῆς, ὅ ἐστι κόρος· ἑκάστου τῶν ἀπηριθμημένων δηλονότι ἀναμέρος ποιοῦντος τὸν γέλωτα.

Ἄλλο τοῦ ἁγίου Ἐφρέμ.

Ὁ γέλως τὸν μακαρισμὸν τοῦ πένθους ἔξω βάλλει· καὶ τὰ οἰκοδομηθέντα καταλύει· τὸ Πνεῦμα τὸ ἅγιον λυπεῖ, ψυχὴν οὐκ ὠφελεῖ, σῶμα διαφθείρει, τὰς ἀρετὰς διώκει· οὐκ ἔχει μνήμην θανάτου· οὐδὲ μελέτην τῶν κολάσεων· περίελε ἀπ' ἐμοῦ τὸν γέλωτα, καὶ δώρησόν μοι πένθος καὶ κλαυθμόν, ὃν ζητεῖς παρ' ἐμοῦ ὁ Θεός.

Σχόλιον λς'.

Ὁ ὕπνος ἐκ τεσσάρων γίνεται· τρυφῆς, νηστείας τῆς κατ' ἔπαρσιν, ἀκηδίας, καὶ φύσεως· τούτων ἐὰν κρατήσῃ τῆς ψυχῆς, καὶ κατὰ μόνας ὕπνον ἐμποιεῖ.

Σχόλιον τοῦ μεγάλου Βασιλείου λζ'.

Ὁ ἑαυτῷ ἀρέσκων, ἀνθρωπαρεσκεῖ· ἄνθρωπος γὰρ αὐτὸς ἕκαστος. Ὥσπερ οὖν *ἐπικατάρατος ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ*, τὴν εἰς ἑαυτὸν πεποίθησιν δηλοῖ· οἷς καὶ ἐπιφέρει, *καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ ψυχὴ αὐτοῦ*· οὕτως καὶ ὁ ἄλλῳ ἀρέσκων, ἢ κατ' ἰδίαν ἀρέσκειαν ποιῶν, τῆς θεοσεβείας ἐκπίπτει· εἰς γὰρ ἀνθρωπαρέσκειαν ἐμπίπτει· *Ποιοῦσι* γάρ, φησὶν ὁ Κύριος, *πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.*

Σχόλιον Ἀντωνίου τοῦ μεγάλου λη'.

Ἐπιθυμία λογισμοῦ ἀποσπωμένη, ἡδονὴν γεννᾷ· καὶ τὴν ψυχὴν ἢ σωθῆναι, ἢ τῷ Θεῷ συναφθῆναι οὐ συγχωρεῖ.

Σχόλιον λθ'.

Ἔλεγχος σωτηριώδης τῆς κακίας ἡμῶν, καὶ ὅτι δι' αὐτῆς τῶν χαρισμάτων ἀποτυγχάνομεν, καὶ εἰς τοὺς κόπους καταβαλλόμεθα.

Σχόλιον μ'.

Ὁ σωματικὸς κόπος ἄνευ τῆς τοῦ νοῦ καθαρότητος, ὡς ἄτεκνος μήτρα, καὶ μασθοὶ κατάξηροι· τῇ γὰρ τοῦ Θεοῦ γνώσει προσεγγίσαι οὐ δύνανται, καὶ τὸ μὲν σῶμα κατάκοπον ποιοῦσιν, οὐδὲν δὲ ἀνύουσιν.

Σχόλιον μα'.

Ἀθληταὶ ὄντως οἱ μοναχοί· ἀθλεῖν γὰρ προῄρηνται τῇ τῆς ψυχῆς βίᾳ.

Ἄλλο.

Ἦγουν τῆς ἥττης· τοῦτο γὰρ μοναχοῖς ἀσθένεια, καὶ οὐχ ἡ τοῦ σώματος κάκωσις.

Ἄλλο.

Θείας οἰκονομίας δωρήματι, αἱ ἀσθένειαι τοῖς μοναχοῖς.

Σχόλιον μβ'.

Τὸν μοναχὸν τὸν μὴ θεαρέστως δουλεύοντα τῷ

Scholion 35.

Risus ex tribus vitiis exsistit, ex luxuria, vana gloria et interna gravitate et deliciis, hoc est, satietate ciborum : singulis nempe ex iis, quæ enumeravimus, risum moventibus.

Aliud S. Ephrem.

Risus beatum animæ luctum exterminat, et quæ ædificata sunt, dissolvit, Spiritum sanctum contristat, animæ nocet, corpus corrumpit, virtutes (velut hostes) persequitur. Mortis memoriam exstinguit, curam suppliciorum tollit. Aufer a me risum, et da mihi luctum et fletum, quem petis a me, Deus meus.

Scholion 36.

Somnus ex quatuor causis oritur, e luxu, jejunio, quod elationem animi attulit jejunanti, ex pigritia et natura. Quæ omnia si viceris et imperaveris animo, singula tamen somnum etiam conciliant.

Scholion Basilii Magni 37.

Qui sibi ipsi placet, studet etiam placere hominibus', quisque enim et ipse sibi homo est. Quemadmodum ergo illud : *Maledictus homo qui spem suam habet in homine, et firmabit carnem brachii sui* [30], significat confidentiam sui, quibus infert et adjungit : *Et a Domino recesserit anima ejus* [31] ; ita et qui alteri placet, aut facit quid, ut placeat, excidit e Dei gratia dum captat hominum gratiam. *Faciunt enim*, inquit **361** Dominus, *ut videantur ab hominibus. Amen dico vobis, receperunt mercedem suam* [32].

Scholion Antonii magni 38.

Concupiscentia ratione destituta voluptatem parit, nec sinit animam aut salvari, aut cum Deo conjungi.

Scholion S. Maximi 39.

Reprehensio malitiæ nostræ nobis salutaris est, quod per ipsam gratiarum cœlestium dona acquiramus, et ad labores incitemur.

Scholion 40.

Labor corporis qui caret munditie mentis, est quasi sterilis uterus et ubera sicca et arida. Ad Dei enim cognitionem aspirare non possunt, et corpus fatigant, nihil tamen proficiunt.

Scholion 41.

Monachi veri sunt athletæ : susceperunt enim luctam, ut animæ suæ vim inferrent.

Aliud.

Sive quod victi sint. Hoc enim monachis est imbecillitas seu ægritudo, non autem corporis morbus.

Aliud.

Morbi corporis, singulari Dei beneficio monachis immittuntur.

Scholion 42.

Monachum, qui non ita servit Deo ut illi placeat,

[30] Jerem. XVII, 5. [31] ibid. [32] Matth. VI, 2.

nec pro salute animæ suæ fortiter certat, sed in disciplina religiosa remissius agit, videbis a Deo relinqui, ut in varias omnino tentationes incidat, ne ex multo otio et cessatione in deteriora prolabatur.

Scholion 43.

Hic præclare ingruentia mala suscepit, qui illa tanquam sibi debita judicat irrogata, nec ægre fert, sed Deo pro illis etiam gratias agit.

Scholion 44.

Hic frustra laborat, ostentandi enim sui gratia omnia facit.

Scholion 45.

Hic bellatoris nomen obtinet.

Scholion 46.

Et hic, quamvis verecundetur.

Scholion 47.

Vos examinatis his didicimus consulere **362** etiam aliis. Nam etsi ut peccatores debitores sumus, Dominum tamen donis colemus, etsi enim primum humilius, sive debitorum et nominum, est tamen hoc extra periculum casus, ut primum debitum.

Gregorii Nysseni 48.

Malum non est aliud [mali non est aliud quiddam subsistens] quam separatio a bono et meliore.

Aliud.

Si malitia (seu vitium et peccatum) sola et nuda vitæ nostræ proposita esset, nulla boni opinione et umbra velata et fucata, non ita sponte sua mortales ad illam properarent.

Scholion Marci 49.

Τάξιν μὲν καὶ ἀρχὴν, τινὰ δὲ καὶ τέλος παρὰ τοῦ πεποιηκότος τὰ γεγονότα ἐσχήκασιν, ἡ δὲ ἀρετὴ ἀπέραντον τὸ πέρας κέκτηται· *Πάσης* γὰρ, φησὶν ὁ Ὑμνῳδὸς, *συντελείας εἶδον πέρας· πλατεῖα δὲ καὶ ἀπέραντός ἡ ἐντολή σου σφόδρα.* Εἰ πορεύονταί τινες καλοὶ ἐργάται ἐκ δυνάμεως πρακτικῆς εἰς δύναμιν θεωρίας, καὶ ἡ ἀγάπη οὐδέποτε λήγει· καὶ *Ὁ Κύριος φυλάξει τὴν εἴσοδον* τοῦ φόβου σου (17), *καὶ τὴν ἔξοδον* τῆς ἀγάπης σου, οὐκοῦν ἀπέραντος τὸ ταύτης πέρας, ἐν ᾗ προκόπτοντες οὐδέποτε καταλήξομεν· οὐ κατὰ τὸν παρόντα, οὐ κατὰ τὸν μέλλοντα αἰῶνα φωτὶ φῶς γνώσεως προσλαμβάνοντες· εἰ καὶ ξένον πως τοῖς πολλοῖς τὸ λεγόμενον, ὅμως κατὰ τὴν προλεχθεῖσαν ἡμῖν ἀπόδειξιν, ὦ μάκαρ, οὐδὲ γὰρ τὰς νοερὰς οὐσίας ἔγωγε ἀπροκόπους εἶναι εἴποιμι ἄν, δόξαν δὲ μᾶλλον δόξῃ ἀεὶ προσλαμβανούσας, καὶ γνῶσιν ἐπὶ γνώσει ὁρίζομαι. Μὴ θαυμάσῃς εἴπερ καὶ ἀγαθὰ ἡμῖν οἱ δαίμονες πολλάκις νοήματα ὑποβάλλουσι καὶ τούτοις νοερῶς ἀντιλέγουσι· σκοπὸς γὰρ τοῖς ἐχθροῖς ἡμῶν ἐν τούτῳ πεῖσαι ἡμᾶς, ὡς καὶ τὰ ἐγκάρδια ἡμῶν ἐνθυμήματα γινώσκουσι. Μὴ θέλε εἶναι πικρὸς δικαστὴς τῶν λόγῳ μεγάλα διδασκόντων, ὁρῶν αὐτοὺς τὴν πρακτικὴν ὀκνηροτέρους διακειμένους· πολλάκις γὰρ τὴν τοῦ ἔργου ἔλλειψιν ἀνεπλήρωσεν ἡ τοῦ λόγου ὠφέλεια. Οὐ πάντες πάντως πάντα ἐπίσης κεκτήμεθα· ἐν ἐνίοις μὲν γὰρ ὁ λόγος τὸ ἔργον· ἐν ἑτέροις δὲ πάλιν τὸ δεύτερον τὸ πρῶτον πλεονεκτεῖ. Κακὸν μὲν ὁ Θεὸς οὔτε πεποίηκεν, οὔτε δεδημιούργηκεν. Ἠπατήθησαν δέ τινες φήσαντες φυσικά εἶναί τινα τῶν παθῶν ἐν ψυχῇ (19), ἀγνοήσαντες ὅτι τὰ συστατικὰ τῆς φύσεως ἰδιώματα ἡμεῖς εἰς πάθη μετηνέγκαμεν. Οἷον, φύσει ἐν ἡμῖν ἡ σπορὰ διὰ τὴν τεκνογονίαν, μετεποιήσαμεν δὲ ἡμεῖς αὐτὴν εἰς πορνείαν. Φύσει ὁ θυμὸς ἐν ἡμῖν κατὰ τοῦ ὄφεως, κεχρήμεθα δὲ αὐτῷ ἡμεῖς κατὰ τοῦ πλησίον. Ἐν ἡμῖν ὁ ζῆλος διὰ τὸ τὰς ἀρετὰς ζηλοῦν, ἡμεῖς δὲ ἐπὶ τῷ κακῷ ζηλοῦμεν. Φύσει τῇ ψυχῇ τὸ τῆς δόξης ἐπιθυμεῖν, ἀλλὰ τῆς ἄνω· φύσει τὸ ὑπερηφανεύεσθαι, ἀλλὰ κατὰ τῶν δαιμόνων. Ὁμοίως ἡ χαρὰ, ἀλλὰ διὰ τὸν Κύριον καὶ τὴν τοῦ πλησίον εὐπραγίαν· εἰλήφαμεν καὶ μνησικακίαν, ἀλλὰ κατὰ τῶν ἐχθρῶν τῆς ψυχῆς. Εἰλήφαμεν ἔφεσιν τροφῆς, οὐ μέντοι ἀσωτίας. Ἄο-

Ne tibi mirum videatur, si quandoque nobis dæmones etiam bonas cogitationes suggerant, iisdemque interno quodam orationis genere contradicant: finis enim est hostium nostrorum, ut nobis persuadeant se arcanas etiam cordis cogitationes exploratas habere. Noli nimis acerbus esse censor et judex eorum qui multa **379** seu magna docent verbo, et pauca factis exsequuntur: sæpe enim defectum operum, verborum et doctrinæ utilitate compensant. Non omnes omnia omni modo æqualiter possidemus bona: in quibusdam sermo vincit opus; in aliis contra opus sermonem superat. Malum Deus nec fecit, nec effecit. Aberrarunt enim a vero quidam dictitantes naturalia quædam vitia inesse animæ, ignari quod proprias naturæ affectiones in vitium detorserimus et depravaverimus. Exempli gratia, genitalis humor nobis insitus est ad procreationem liberorum, quem nos in fornices et lupanaria transtulimus: irascendi vis nobis per naturam inest, uti contra serpentem illa utamur, et nos illa adversus proximum abutimur. Æmulatio data est ad studia virtutum æmulanda et imitanda: nos vitia potius et mala æmulamur. Per naturam ferimur ad studium gloriæ, sed cœlestis. Natura superbimus.

[71] Psal. CXVIII, 96. [72] Psal. CXX, 8.

(*a*) Accidentali nempe.

κνος ψυχὴ ἐξήγειρε καθ' ἑαυτῆς δαίμονας, πληθυνθέντων δὲ πολέμων, ἐπληθύνθησαν καὶ στέφανοι. Ὁ μὴ πληττόμενος ὑπὸ πολεμίων, οὐ πάντως στεφανωθήσεται. Ὁ δὲ ἐπὶ τοῖς συμβατικοῖς πτώμασι (20) μὴ ἀποκάμνων, ὑπὸ ἀγγέλων ὡς πολεμιστὴς εὐφημηθήσεται. Τρεῖς μέν τις νύκτας ἐν γῇ πεποιηκὼς ἀνεβίω εἰς ἅπαν· ὁ δὲ τρεῖς ὥρας νενικηκὼς οὐκ ἀποθανεῖται λοιπόν. Ἐὰν κατ' οἰκονομικὴν παίδευσιν, μετὰ τὴν ἀνατολὴν αὐτοῦ ἐν ἡμῖν, *Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ*, πάντως *ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ*, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ λοιπὸν διελεύσονται πρὸς ἡμᾶς οἱ πρώην ἀναχωρήσαντες ἄγριοι σκύμνοι, καὶ πάντα τὰ θηρία τοῦ δρυμοῦ τῶν ἀκανθωδῶν παθῶν, ὠρυόμενοι ἁρπάσαι τὴν ἐν ἡμῖν ἐλπίδα, καὶ ζητοῦντες παρὰ τοῦ Θεοῦ τῶν παθῶν βρῶσιν αὐτοῖς, ἢ δι' ἐννοίας, ἢ διὰ πράξεως, ἀνέτειλεν ἡμῖν διὰ σκοτεινῆς ταπεινώσεως πάλιν ὁ ἥλιος· καὶ πρὸς ἑαυτὰ τὰ θηρία συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν, ἤγουν φιλῃδόνους καρδίας καταστήσονται, καὶ οὐκ ἐν ἡμῖν. Τότε ἐροῦσιν ἐν τοῖς δαίμοσιν· *Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν* ἔλεος πάλιν· ἡμεῖς δὲ πρὸς αὐτούς· *Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν*, ἐγενήθημεν εὐφραινόμενοι. Ὑμεῖς δὲ διωκόμενοι· *Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης*, πάντως ψυχῆς γηΐνης πάσης ἐπιθυμίας ὑψωθείσης, *καὶ ἥξει εἰς Αἰγυπτίαν*, καρδίαν τὴν πρώην ἐσκοτισμένην, *καὶ σεισθήσονται τὰ χειροποίητα εἴδωλα*, καὶ ἐνθυμήματα τοῦ νοός. Εἰ Χριστὸς ἀπὸ Ἡρώδου σωματικῶς φεύγει, καίπερ πάντα δυνάμενος, παιδεύεσθωσαν οἱ προπετεῖς, μὴ ἑαυτοὺς τοῖς πειρασμοῖς ἐπιῤῥίπτειν· *Μὴ δώῃς γάρ*, φησίν, *εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε ἄγγελος*. Συμπλέκεται τῇ ἀνδρείᾳ ἡ τύφωσις, ὥσπερ ὁ λεγόμενος σμίλαξ τῇ κυπαρίσσῳ. Ἔργον ἡμῖν ἔστω ἀένναον, μὴ ψιλῇ ἐννοίᾳ λογίζεσθαι ἡμᾶς τὸ οἰονοῦν κεκτῆσθαι ἀγαθόν· ἀλλὰ τοῦτο ἀκριβῶς ἐκζητοῦν ἰδίωμα σκοπήσωμεν, εἰ ἐν ἡμῖν ἐστι. Καὶ τότε πάντως ἐλλείποντας ἑαυτοὺς νοήσομεν· ζήτει καὶ τῶν παθῶν ἀπαύστως τὰ τεκμήρια, καὶ τότε πολλὰ ἐνόντα σοι συνήσεις, ἅπερ ἐν νόσοις μὲν ὄντες διαγνῶναι οὐ δυνάμεθα, ἢ δι' ἀσθένειαν, ἢ διὰ βαθεῖαν προκατάληψιν.

A sed adversus diabolum. Sic innatum est nobis gaudium, sed propter Dominum, et felicitatem (*a*) hominum. Accepimus et memoriam injuriarum, sed adversus hostes animæ : appetitum seu desiderium cibi, sed non ad ingluviem et luxum. Impiger animus provocat in se dæmones : sed auctis certaminibus augentur et coronæ. Non vexatus et pulsatus ab hostibus, prorsus non coronabitur. Qui ob casus et lapsus, qui pugnantibus evenire solent, ab labore et pugna non desistet, ab angelis ut fortis bellator multis laudibus celebrabitur. Tres **380** quidam (*b*) noctes in terra sepultus jacuit, et postea nunquam moriturus revixit. Qui tres horas vicerit, deinceps non morietur. Si ex disci-

B plina et institutione divino nutu facta, *Sol*, post suum in nobis ortum, *cognovit occasum suum* [73], omnino *posuit tenebras latibulum suum* [74], et facta est nox : in ipsa postea transibunt ad nos, qui ante recesserant immanes leonum catuli, et omnes feræ silvarum sive spinosarum (et pungentium conscientiam) cupiditatum, rugientes ut rapiant nobis spem, et quærentes a Deo escam sibi vitiosarum affectionum, sive per cogitationes, sive per facta, ortus est nobis per obscuram humilitatem iterum sol, et bestiæ ad se congregatæ, atque in cubilibus suis, sive in cordibus voluptatum amantibus, non in nobis collocabuntur. Tunc dicent inter dæmones, *Magnificavit Dominus facere cum ipsis* [75] iterum misericordiam. Nos autem ad ipsos : *Magnificavit fa-*

C *cere nobiscum, facti sumus lætantes* [76]. Vos autem qui persecutionem patimini (dicetis) : *Ecce Dominus sedet super nubem levem*, animæ prorsus super omnem terrestrem affectum evectæ, *et veniet in Ægyptum* [77], hoc est, in cor paulo ante tenebris tentationum confusum, *et movebuntur idola et simulacra* [78], manu fabricata, hoc est, cogitationes mentis impuræ (cedent). Si Christus homo quamvis omnipotens ab Herode fugit, discant incauti et præcipites non temere se in tentationum pericula conjicere. *Non des*, inquit, *in commotionem pedem tuum* [79], **381** *non dormitavit, qui custodit te* [80] angelus. Implicat se fastus cum fortitudine non secus ac

D cupresso similis hederæ smilax. Summa cura et labore semper caveamus, ne ulla vel tenuis etiam cogitatio admittatur a nobis, qua nobis persuadeamus, quod vel minimam virtutem seu bonum habeamus. Sed hoc curiose et accurate tanquam certum signum et proprietatem investigemus, an (illa cogitatio de nostro bono) in nobis deprehendatur, et tunc (illa deprehensa) sine ulla controversia nos omni virtute et bono destitutos cogitabimus. Scrutare perpetuo vitiosas animi tui perturbationes et affectus, et plurimos in te deprehendes, quos, dum in animi morbis versamur, non possumus cognoscere, sive propter imbecillitatem, sive quod altissimas in nobis radices egerint.

Προθέσιν κρίνει ὁ Θεός (24). Ἐν δὲ τοῖς κατὰ δύναμιν τὴν ἐργασίαν φιλανθρώπως μέντοι ζητεῖ. Μέγας ὁ μηδὲν κατὰ δύναμιν ἐλλείπων (25)· μείζων δὲ ὁ ἐν ταπεινώσει ἐν τοῖς ὑπὲρ δύναμιν ἐπιχειρῶν. Πολλάκις οἱ δαίμονες τὰ κουφότερα, καὶ συμφέροντα

Propositum nostrum judicat Deus, opera tamen quæ præstare per nos possumus, pro sua clementia requirit. Magnus ille est, qui quod in se est, nihil negligit; major, qui ex humilitate conatur plura facere quam possit. Impedire nos dæmones a levioribus et

[73] Psal. CIII, 19. [74] Psal. XVII, 12. [75] Psal. CXXV, 2. [76] ibid. 3. [77] Isa. XIX, 1. [78] ibid. [79] Psal. CXXI, 9. [80] Psal. CXX, 3.

(*a*) Benefacta, bonas actiones.

(*b*) Christus.

facilioribus solent, et ad graviora et laboriosiora impellere. Josephum lego propter fugam potius peccati, quam quod se nulli pravo affectui obnoxium ostenderit, laudatum[82]. Vivendum nobis in qualibus et quot peccatis illa fuga præmium mereatur. Aliud est fugere umbram, aliud occurrere ad solem (justitiæ). Qui in tenebris versatur solet offendere; offensio est causa lapsus, lapsus mortis. **382** Quibus ex vini ingurgitatione obortæ sunt tenebræ, sæpe per aquæ haustum ad sobrietatem redierunt. Qui vitiis obruti cæcutierunt, per lacrymas pœnitentiæ resipuerunt. Aliud est inquinatio, aliud confusio, aliud occæcatio; priorem sanat abstinentia (*a*), alteram solitudinis quies, postremam obedientia, et Deus qui factus est obediens. Nos ex duobus eorum, qui sordes terrestres perpurgare solent, veluti exemplis commodissime intelligimus itidem duo (purgationum genera) eorum qui superna sapiunt. Officinam fullonicam appellamus religiosum cœnobium, quod sordes animæ et crassitudinem et deformitatem delolat et abstergit. Officina vero eorum qui tunas inficiunt, sit secessio in solitudinem iis apta, qui lasciviam, memoriam injuriarum et iracundiam posuerunt et exuerunt, et exinde in silentii quietem secesserunt. Sunt qui dicant, quod recidere sæpius in eadem peccata soleat ex defectu convenientis et priori peccato ex æquo respondentis pœnitentiæ contingere. Quærendum vero est, an omnis qui eadem peccata non amplius iterat et committit, dignam alias pœnitentiam egerit? Repetunt quidam eadem peccata vel alto oblivionis tumulo sepulti, vel ex mollitie quadam Deum clementem rati, aut quod salutis suæ spem omnem abjecerint. Haud scio an quis me non sit reprehensurus, si dixero a quibusdam hostem hunc deinceps vinci non posse, quod ab eodem ipsi jam peccandi consuetudinem in servitutem **383** tanquam ab tyranno redacti sint.

Perscrutandum etiam est quomodo anima, cum natura sit corporis expers, spiritus ejusdem naturæ ad se venientes videre non possit, quomodo per naturam affecti sint. An fortasse propter vinculum corporis, quod solum novit, qui corpus et animam conjunxit [inter se devinxit]. Quidam e doctioribus me interrogavit: Dic, inquit, obsecro, dic mihi volenti discere, quinam spiritus mentem per peccata deprimere, quive extollere soleant? Me vero ad hanc inquisitionem hærentem, et inscitiam etiam jurejurando affirmantem, docuit qui ex me discere volebat. In paucis, inquit, exemplis, tibi fermentum discretionis dabo, ut de reliquis tuo ipse labore inquiras. Spiritus luxuriæ, iræ, insanæ gulæ, desidiæ, somnolentiæ non solent mentis cornu extollere. Sed spiritus avaritiæ, principatus et honoris, loquacitatis, et alii complures qui malum malo nectere et cumulare consueverunt, unde et judicandi alios spiritus illis familiaris est. Qui ad externos vel egressus est, vel eosdem ipse hospitio recepit, et super discessu illorum, vel post horam, vel post

[82] Gen. XXXIX, 23; Eccli. XLIX, 17, 18.

(*a*) Effusio, affusio, ἐπίχυσις, distractio, dispersio.

A ἡμᾶς κωλύουσι διαπράττεσθαι, τὰ δὲ μοχθηρότερα μετελθεῖν μᾶλλον προτρέπονται. Εὑρίσκω Ἰωσὴφ ἐκεῖνον δι' ἀποστροφὴν ἁμαρτίας, καὶ οὐ δι' ἔνδειξιν ἀπαθείας μακαριζόμενον. Ζητητέον ἡμῖν ἐν ποίαις καὶ πόσαις ἁμαρτίαις ἡ ἀποστροφὴ στέφανον κέκτηται. Ἄλλο τὸ ἀποστρέφεσθαι τὴν σκιάν· ὑψηλότερον δὲ τὸ προστρέχειν τῷ ἡλίῳ. Τὸ σκοτοῦσθαι αἴτιον τοῦ προσκόπτειν· τὸ δὲ προσκόπτειν τοῦ πίπτειν· τὸ δὲ πίπτειν τοῦ θνήσκειν. Ἐξ οἴνου οἱ σκοτισθέντες, ἐνίψαντο πολλάκις ὕδατι· οἱ δὲ ἐκ παθῶν σκοτισθέντες, ἐνίψαντο δάκρυσιν. Ἄλλο θόλωσις, καὶ ἄλλο ἐπίχυσις (*a*), καὶ ἕτερον τύφλωσις· καὶ τὴν μὲν προτέραν ἴασατο ἐγκράτεια· τὴν δὲ δευτέραν ἡσυχία· τὴν δὲ τρίτην ὑπακοή, καὶ ὁ Θεὸς ὑπήκοος γεγονώς. Ἡμεῖς ἐκ δύο τῶν τὰ κάτω καθαιρόντων προσφυῶς τὰ δύο B τῶν τὰ ἄνω φρονούντων, ὡς ἐν ὑποδείγμασιν ὑπειλήφαμεν. Κναφεῖον μὲν τὸ κατὰ Κύριον κοινόβιον· τὸ τὸν ῥύπον, καὶ τὴν παχύτητα, καὶ τὴν ἀμορφίαν τῆς ψυχῆς ἀποξέον, εἰρηκότες. Βαφεῖον δ' ἂν εἴη ἡ ἀναχώρησις τοῖς τὴν λαγνείαν, καὶ μνησικακίαν, καὶ θυμὸν ἀποθεμένοις, καὶ ἐξ ἐκείνου λοιπὸν πρὸς ἡσυχίαν μεταερχομένοις. Τινὲς τὸ τοῖς αὐτοῖς περιπίπτειν πτώμασιν ἐξ ἐλλείψεως τῆς ἁρμοζούσης, καὶ ἀντισηκούσης μετανοίας τῷ προτέρῳ φασί. Ζητητέον δὲ εἰ πᾶς ὁ μὴ πεσὼν τῷ ἑαυτῷ εἶδει, ἆρα καὶ ἀξίως μετενόησε. Πεπτώκασι τοῖς αὐτοῖς τινες, ἢ τῶν προτέρων ἐν λήθης βυθῷ καταχωσθέντες, ἢ τὸν Θεὸν ἐκ φιληδονίας φιλάνθρωπον ὑπολαμβάνοντες· ἢ τῆς ἑαυτῶν σωτηρίας ἀπολεγόμενοι. Οὐκ οἶδα εἰ μήπω μέ C τις καταμέμφεσθαι ἤμελλεν, ἐπεὶ ἂν εἶπον, ὅτιπερ τὸν ἐχθρὸν τοῦτον λοιπὸν δῆσαι μὴ ἰσχύοντες, τῇ τῆς συνηθείας ἰσχύϊ τυραννοῦντα αὐτούς.

Ἐρευνητέον πῶς ἀσώματος οὖσα ἡ ψυχὴ, τοὺς πρὸς αὐτὴν ὁμοουσίους ἐπιδημοῦντας, ὡς ἔχουσι φύσεως ὁρᾷν οὐ πέφυκε· μήπως ἄρα διὰ τὴν ζεῦξιν, ἣν ὁ δήσας μόνος ἐπίσταται; Βουλομένῳ μαθεῖν φράζε δή, φράζε, τίς με γνωστικὸς ἐπύθετο, ποῖοι τῶν πνευμάτων ταπεινοῦν, ποῖοι δὲ ὑψοῦν ἐπὶ ταῖς ἁμαρτίαις πεφύκασι τὸν νοῦν. Κάμοῦ πρὸς τὸ σκέμμα δυσχεράνατος, καὶ τὴν ἄγνοιαν βεβαιωσαμένου ὅρκῳ, ὁ μανθάνων ἐδίδαξεν. Ἐν ὀλίγοις, φησὶ, διακρίσεως ζύμην σοι δεδωκὼς καταλείψω ζητεῖν ἐμπόνως· ὁ D τῶν σωμάτων, καὶ ὁ τῆς ὀργῆς, καὶ ὁ τῆς κοιλιομανίας· ὁ τῆς ἀκηδίας, ὁ ὕπνου οὐ πεφύκασί πως ἐπαίρειν τὸ τοῦ νοὸς κέρας. Ὁ δὲ τῆς φιλαργυρίας, φιλαρχίας τε καὶ πολυλογίας, καὶ ἕτεροι πλείους κακῷ κακὸν εἰώθασιν ἐπισυνάπτειν. Διὸ καὶ ὁ τοῦ κρίνειν, τούτοις παραπλήσιος καθέστηκεν. Εἴ τις πρὸς κοσμικοὺς ἢ παρεγένετο, ἢ ἐδέξατο, καὶ ἐπὶ τῷ αὐτῶν μετὰ τὴν ὥραν ἢ ἡμέραν χωρισμῷ λύπης βέλος ἐδέξατο, καὶ μὴ μᾶλλον χαρᾶς ὡς ἐμποδίου παγίδος ἀπαλλαγεὶς, οὗτος ἢ ὑπὸ κενοδοξίας ἢ ὑπὸ πορνείας ἐμπαίζεται. Τὸ πόθεν ὁ ἄνεμος πνεῖ πρὸ πάντων

ζητήσωμεν· μήπως εὑρεθῶμεν ἐναντίως τὰ ἱστία ἐκτείνοντες· παρακάλει ἐξ ἀγάπης γέροντας πρακτικοὺς οἵτινες κατέτριψαν τὰ σώματα αὐτῶν ἐν ἀσκήσει (25), μικρὰν ἀνάπαυσιν αὐτοῖς παρεχόμενος. Ἀνάγκαζε νέους ἐγκρατεύεσθαι, οἵτινες κατέτριψαν τὰς ψυχὰς αὐτῶν ἐν ἁμαρτίαις, μνήμην κολάσεως αὐτοῖς διηγούμενος. Τῶν οὐκ ἐνδοχομένων ἐστὶν, ὅπερ ἐν ἑτέρῳ εἰρήκαμεν, εὐθέως ἐν προοιμίοις εἰς ἅπαν γαστριμαργίας καὶ κενοδοξίας ἡμᾶς καθαρεύειν· ἀλλὰ μὴ θελήσωμεν διὰ τρυφῆς τῇ κενοδοξίᾳ μάχεσθαι· ἧττα γὰρ γαστριμαργίας κενοδοξίαν, τοῖς εἰσαγωγικοῖς λέγω, ἀποτίκτει. Μᾶλλον δὲ δι' ἐνδείας κατ' αὐτῆς πρεσβεύσωμεν. Ἐλεύσεται γὰρ ὥρα, καὶ νῦν ἐστι τοῖς βουλομένοις, ἵνα ὑποτάξῃ Κύριος καὶ ταύτην ὑπὸ τοὺς πόδας ἡμῶν. Οὐ τοῖς αὐτοῖς οἱ νέοι καὶ οἱ γεγηρακότες προσερχόμενοι πολεμοῦνται πάθεσι. Πολλάκις γὰρ εἰς ἅπαν ἐναντίας τὰς νόσους κέκτηνται. Διὰ τοῦτο μακαρία, ἡ μακαρία ταπείνωσις, ὅτι νέοις καὶ γεγηρακόσιν ἀσφαλὴς καὶ δυνατὴ γίγνεται μετάνοια. Μὴ θορυβήσω ἐν τῷ λέγειν ἔρχομαι. Σπάνιοι γὰρ, πλὴν εἰσὶ ψυχαὶ εὐθεῖς καὶ ἀπόνηροι, κακίας, καὶ ὑποκρίσεως, καὶ κακεντρεχείας ἀπηλλαγμέναι, αἷς πάντη ἡ τῶν ἀνθρώπων συνδιατριβὴ ἀντίκειται δυναμέναις μετὰ τοῦ ὁδηγοῦντος ἐκ τῆς ἡσυχίας, ὥσπερ ἐκ λιμένος, εἰς οὐρανὸν ἀνέρχεσθαι, καὶ τῶν κοινοβιακῶν θορύβων, καὶ σκανδάλων διαμεῖναι ἀνενδεεῖς καὶ ἀπείρατοι. Λάγνους μὲν ἄνθρωποι, πονηροὺς δὲ ἄγγελοι, ὑπερηφάνους δὲ Θεὸς ἰάσασθαι πέφυκεν. Εἶδος ἀγάπης πολλάκις ἴσως γέγονε καὶ τοῦτο, τὸ τῷ πλησίον καταλιμπάνειν παραβάλλοντι πρὸς ἡμᾶς ποιεῖν, καθὼς βούλεται, ἐν ἅπασιν, ἡμῶν μέντοι ἱλαρότητα πᾶσαν ἐπιδεικνυμένων (27), ζητητέον πῶς καὶ ἕως τίνος, καὶ πότε, καὶ ἡ ἄρα ἀναλυτικὴ ἡ μεταμέλεια τῶν καλῶν, ὥσπερ τῶν κακῶν. Διακρίσει πολλῇ χρησώμεθα, πότε μὲν ἵστασθαι, καὶ ἐν ποίοις, καὶ ἕως τίνος προσπαλαίειν ταῖς τῶν παθῶν ὕλαις ὀφείλομεν. Ἔστι γὰρ καὶ φυγεῖν προκρῖναι διὰ τὴν ἀσθένειαν, ἵνα μὴ ἀποθάνωμεν. Ἴδωμεν καὶ φυλάξωμεν (ἴσως γὰρ καὶ ἐν καιρῷ διὰ πικρίας χολὴν κενῶσαι δυνάμεθα), ποῖοι μὲν τῶν δαιμόνων ὑψοῦσι, ποῖοι δὲ ταπεινοῦσι, καὶ ποῖοι σκληρύνουσι, ποῖοι δὲ παρακαλοῦσι, καὶ ποῖοι μὲν σκοτίζουσι, ποῖοι δὲ πάλιν φωτισμὸν ὑποκρίνονται, καὶ ποῖοι μὲν νωθροὺς, ποῖοι δὲ κακεντρεχεῖς, ποῖοι δὲ σκυθρωποὺς, καὶ ποῖοι ἱλαροὺς ἡμᾶς ἀπεργάζονται. Μὴ θαμβηθῶμεν ἐν τῷ σταδίῳ ἐν προοιμίοις ἑαυτοὺς ἐμπαθεστέρους τῆς ἐν τῷ κόσμῳ ἡμῶν διαγωγῆς ὁρῶντες. Δεῖ γὰρ τὰ αἴτια πάντα κινηθῆναι. Εἶθ' οὕτως τὴν ὑγείαν ἡμῖν προσγενέσθαι, εἰ καὶ τάχα που τὰ θηρία κρυπτόμενα οὐκ ἐβλέποντο. Ὅτε κατά τινα σύμβασιν λοιπὸν οἱ τελειότητι πλησιάζοντες, ἔν τινι ψιλῷ τοῖς δαίμοσι ἡττηθῶσι, πάσῃ μηχανῇ χρῶνται συντόμως τοῦτο ἐξ αὐτῶν ἑκατονταπλάσιον ἁφαρπάσασθαι. Ὥσπερ οἱ ἄνεμοι (28), ποτὲ μὲν τὴν ἐπιπολὴν, διὰ τὸ γαληνὸν, ποτὲ δὲ τὸν βυθὸν τῆς θαλάσσης ταράττειν εἰώθασιν· οὕτως μοι νόει καὶ ἐπὶ τῶν σκοτεινῶν ἀνέμων, τῶν μὲν γὰρ ἐμπαθῶν αὐτὴν τὴν τῆς καρδίας αἴσθησιν ταράσσειν πέφυκασι· τῶν δὲ ἤδη προκοψάντων, τὴν ἐπιπολὴν τοῦ νοός.

diem tristitiæ telum accepit, et non potius gaudio affectus est, quod ab impedimenti laqueo liberatus sit, hic a spiritu vanæ gloriæ, aut veneris illuditur. Ante omnia inquiramus, unde spiritus flare incipiat, ne forte vela in contrarium tendamus. Seniores in actione versatos, qui corpora sua assidua exercitatione detriverunt consolare ex charitate, et aliquam **384** relaxationem illis exhibe. Juvenes qui per peccata animas suas male tractarunt, ad continentiam rediendis in memoriam suppliciis æternis compelle. Fieri non potest, quod et supra demonstravimus, ut statim ab initio ingressus religionis, ab omni gula et vana gloria repurgemur. Sed tamen ne per delicias et luxum velimus vanam gloriam oppugnare : nam ipsa victoria de gula vanam gloriam in iis qui adhuc rudes sunt, parit. Per inediam potius contra illam decertemus. Veniet enim hora, et nunc est volentibus, ut Dominus hanc quoque subjiciat pedibus nostris. Non eisdem juvenes ac senes cum ad religionem accedunt vitiis oppugnantur. Sæpe fit ut plane contrariis morbis laborent. Quapropter beata, iterumque beata humilitas, quod tam juvenibus quam senibus secura tutaque, et quæ in cujusque facultate sita sit, fiat pœnitentia. Non te perturbet id quod dicturus sum. Sunt animæ quanquam admodum raræ, sunt tamen rectæ et ab omni malitia alienæ, simulationis et artis omnis subdolæ expertes, quæ penitus ab omni vitæ communis consortio et societate abhorrent, quæ optimum ducem secutæ possunt ex quieta et solitaria vita, tanquam e portu cœlum conscendere, et a tumultibus atque offensis vitæ (quamvis religiosæ) communis tamen, intacta et intentata persistere. Lascivos, homo; malignos, angelus; superbos, Deus sanare solet. **385** Sit fortasse et hæc non rara species aliqua charitatis, cum alteri ad nos venienti permittimus, quidquid velit, facere, omnem interim illi benevolentiam et hilaritatem exhibendo. Qua in re videndum quomodo et quatenus, et quando, et num pœnitentia, quemadmodum mala, ita et bona, dissolvere seu corrumpere possit? Multa prudentia opus est, ut intelligamus, quando nobis subsistendum sit, et in quibus præliis et quousque contra vitiorum materiam et fomitem luctandum; est enim cum, propter imbecillitatem nostram, ne succumbamus et moriamur, præstat fugere. Videamus et advertamus (fortasse enim et suo tempore per amaritudinem fel exhaurire possumus), quinam dæmonum nos in superbiam extollant, qui deprimant, qui duros reddant, qui consolentur et palpent, qui tenebras nobis offundant, quique rursum illustrare se fingant, qui stupidos et hebetes, qui solertes et subdolos faciant, qui tetricos et tristes, quique hilares nos efficiant. Nihil nos turbet aut commoveat, quando in religiosi stadii ingressu, seu exordio religiosæ vitæ nos magis vitiosis affectibus perturbari sentimus, quam cum in sæculo

degeremus. Movendæ enim sunt prius omnes morborum causæ, atque ita demum sanitas curanda. Antea enim fortasse vitiorum monstra recondita non cernebantur. Quando ii, qui jam haud procul a perfectione absunt, aliquo casu in leviore lapsu a dæmonibus victi fuerint, omni arte utantur **386** ut quamprimum ex illis centuplicem fructum (per pœnitentiam, et meliora præstando) auferant. Quemadmodum venti nunc propter serenitatem crispare duntaxat tergum maris solent, nunc vero ima vada commovere et perturbare : ita mihi cogita de ventris, hoc est, atris cogitationum turbinibus seu flatibus; eorum quidem, qui cupiditatum perturbationibus obnoxii sunt, ipsum intimum cordis sensum consuesse perturbare; horum autem qui jam profecerunt in religiosa vita, summa tantum mentis perstringere solere. Quapropter hi citius ad suam animi tranquillitatem redeunt quæ nulla vitiorum labe fuit aspersa. Perfectorum porro est cognoscere semper in anima, quæ cogitationes sint propriæ conscientiæ, quæ Dei, quæ dæmonum. Neque enim dæmones omnia contraria a principio statim suggerunt. Proinde tota res hæc revera deprehensu est difficilis.

Διὸ οὗτοι καὶ θᾶττον τῆς οἰκείας γαλήνης ἐπαισθάνονται, ἀμολύντου διαμεινάσης. Τελείων τὸ ἐπιγνῶναι ἀεὶ ἐν τῇ ψυχῇ, ποία μὲν τοῦ συνειδότος, ποία δὲ Θεοῦ, καὶ ποία δαιμόνων ἔννοια. Οὐ γὰρ πάντα ἐναντία ἐκ προοιμίων ὑποτίθενται οἱ δαίμονες. Διὸ καὶ σκοτεινὸν ὄντως τὸ πρόβλημα.

Duorum oculorum sensu illustratur corpus : intelligenti vero et aspectabili discretione illuminantur oculi cordis

Ἐν δυσὶν ὄμμασιν αἰσθητοῖς φωτίζεται τὸ σῶμα, καὶ ἐν νοητῇ, καὶ ὁρατῇ διακρίσει ὀφθαλμοὶ τῆς καρδίας λαμπρύνονται.

SCHOLIA AD GRADUM EUMDEM.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΑΥΤΟΝ.

Scholion 1.

Permisti, quod est facere bonum cum proposito malo.

Σχόλιον α'.

Τοῦ συγκεκραμένου, ἤγουν τοῦ ἐπιμίκτου, ὅ ἐστι ποιῆσαι καλὸν ἐν κακῷ σκοπῷ.

Scholion Isaaci 2.

Quando vis auspicari opus Dei, primum conde testamentum tanquam moriturus, aut potius tanquam mortuus, sive tanquam aliquis paratus ad mortem, et qui velut elapso jam vivendi tempore desperarit vitam. Et hoc firmiter tanquam rem certam concipe animo tuo, ne spe vita præsentis **387** in lucta et victoria acquirenda impediaris. Spes enim vitæ hujus inflat mentem et exinanit.

Σχόλιον Ἰσαὰκ β'.

Ὅταν θέλεις βαλεῖν ἀρχὴν εἰς ἔργα Θεοῦ, πρῶτον διαθήκην ποίησον, ὡς μὴ ἔχων ζωὴν ἐν τῷδε τῷ βίῳ· ὥσπερ τις προευτρεπισθεὶς εἰς θάνατον, καὶ ἀπελπίσας τὴν ζωὴν, ὡς φθασάσης τῆς προθεσμίας τὸν καιρὸν, καὶ τοῦτο ἔχε ἐν ἀληθείᾳ ἐν τῇ διανοίᾳ σου εἰς τὸ μὴ ἐμποδισθῆναί τι τῇ ἐλπίδι τῆς παρούσης ζωῆς εἰς τὸ ἀγωνίσασθαι καὶ νικῆσαι· ἡ γὰρ ἐλπὶς τῆς ζωῆς ταύτης χαυνοῖ τὴν διάνοιαν.

Scholion 3.

Sive in beneplacitis suis et voluntatibus.

Σχόλιον γ'.

Ἤτοι ταῖς οἰκείαις ἀρεσκείαις καὶ τοῖς θελήμασιν.

Aliud.

Quamvis dictum hoc generaliter a propheta dictum sit, tamen aptissime a religioso patre assumptum est.

Ἄλλο.

Κἂν τὸ ῥητὸν καθ' ὅλον νοῦν εἴρηται τῷ προφήτῃ, ἀλλὰ ὅμως καὶ τῷ πατρὶ εὐφυῶς παρείληπται.

Aliud.

Obscurum et tenebricosum est.

Ἄλλο.

Τὸ αἰνιγματῶδες καὶ συνεσκιασμένον.

Scholion 4.

De hoc, quomodo cognoscenda et investiganda sit voluntas Jesu.

Σχόλιον δ'.

Τοῦ πῶς δεῖ μαθεῖν τὸ τοῦ Ἰησοῦ θέλημα.

Scholion 5.

Perfectum, non ut humile tantum, sed et securum et omnis casus expers, ut quod ex humilitate non suis viribus nitatur, quod est perfectorum.

Σχόλιον ε'.

Τέλειον, ὡς οὐ ταπεινὸν μόνον, ἀλλὰ καὶ ἀσφαλὲς καὶ ἀδιάπτωτον, ὡς μὴ στοιχούμενον παρ' ἑαυτῶν ἐκ ταπεινώσεως· τῶν γὰρ τελείων τοῦτο.

Scholion.

Contrariæ Dei voluntati. Ne fiat scilicet. Quod in nostra potestate est aggredienti. Sive non exspectato auxilio divino.

Σχόλιον.

Τῆς ἐναντίας τοῦ θελήματος τοῦ Θεοῦ· τῷ ὑφ' ἡμῶν ἐπιχειροῦντι· τὸ μὴ γενέσθαι δηλαδή· ἤγουν τῇ ἀπροσδοκήτῳ συνεργίᾳ.

Scholion 6.

Adverte quomodo dum meminit de educatione, simul convictum aliorum reprehendat, tanquam adjutorem improbitatis. Non in medio positum velut indifferens dicatur quasi nihil obsit ratio locorum, sermonum et hoc genus alia.

Σχόλιον ς'.

Ὅρα πῶς ἀνατροφῆς μνησθεὶς, καὶ τὴν συναναστροφὴν αἰτιᾶται, ὡς κακίας συνεργῆ· μὴ οὖν ἀδιάφορον λεγέσθω, μηδὲν βλάπτεσθαι ἐκ τῶν τόπων, ἢ τῶν λόγων, ἢ τῶν ἐξῆς.

Σχόλιον Θεοδώρου Ἐδέσσης ζ'.

A *Οἶνος* μὲν, ὡς γέγραπται, *εὐφραίνει καρδίαν ἀνθρώπου*· σὺ δὲ ὁ πενθεῖν ἀεὶ καὶ κλαίειν ἐπαγγειλάμενος τὴν τοιαύτην ἐκκλίνων εὐφροσύνην, εὐφρανθήσῃ χαρίσμασι πνευματικοῖς· εὐφραινόμενος δὲ οἴνῳ αἰχροῖς συμβιοτεύσεις λογισμοῖς· καὶ πολλαῖς παρήσῃ λύπαις.

Σχόλιον η'.

Νομικὴν λατρείαν ὧδε, οἶμαι, ὁ ἅγιός φησι, τὸ ἑαυτῷ κἀν προσέχειν, ἤγουν τὸ ἴδιον ζητεῖν· ἡ δὲ τοῦ Κυρίου, καὶ τοῦ ἀδελφοῦ σκοπεῖν, καὶ διορθοῦσθαί ἐστιν.

Σχόλιον θ'.

Ἢ δι' ἑαυτῶν ἡμᾶς οἱ δαίμονες ἐκπειράζουσιν, ἢ τοὺς μὴ φοβουμένους τὸν Κύριον καθ' ἡμῶν ἐφοπλίζουσι· δι' ἑαυτῶν μὲν, ὅταν ἐκ τῶν ἀνθρώπων B ἰδιάσωμεν, ὥσπερ καὶ τὸν Κύριον ἐν τῇ ἐρήμῳ· δι' ἀνθρώπων δὲ, ὅταν μετ' αὐτῶν συνδιατρίψωμεν, ὥσπερ καὶ τὸν Κύριον διὰ τῶν Φαρισαίων. Ἀλλ' ἡμεῖς εἰς τὸν τύπον ἡμῶν ἀποβλεπόμενοι ἀμφοτέρωθεν αὐτοὺς ἀποκρουσώμεθα.

Σχόλιον ι'.

Ὁδοὺς ἡ Γραφὴ τὰς ἀρετὰς ὀνομάζει· μείζων δὲ τῶν ἀρετῶν πασῶν ἡ ἀγάπη καθέστηκε· διὰ τοῦτο ἔλεγεν ὁ Ἀπόστολος· *Ἔτι καθ' ὑπερβολὴν ὁδὸν δείκνυμι*, ὡς καταφρονεῖν πείθουσαν τῶν ὑλικῶν πραγμάτων· καὶ μηδὲν τῶν προσκαίρων προτιμᾷν τῶν αἰωνίων.

Σχόλιον ια'.

Σχηματισμοὶ διὰ παραδειγμάτων, ἧ προεῖπεν, ὑποκρίνεσθαι ἡμῶν δεῖν ἐμπαθείας, ὡς ἂν ἐκφύγωμεν C τὴν τοῦ ἐχθροῦ ἧτταν, ἀσφαλεῖς ὄντες ἐν οἷς σχηματιζόμεθα, αὐτῷ πολεμοῦντι, μὴ εἰδότι δέ.

Σχόλιον ιβ'.

Ὁ ἀββᾶς Σεραπίων φησί· Ἔστιν ὁ ἐν τοῖς πράγμασι τοῖς ἀριστεροῖς ἐργαζόμενος τὴν ζωὴν ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ· καὶ ἔστιν ὁ τὴν ἁμαρτίαν πραγματευόμενος, ὡς ἐν προσώπῳ τῶν θεϊκῶν.

Σχόλιον ιγ'.

Τὰ ἐλαττώματα ἔν τισι τοῖς φυλάττουσιν ἑαυτοὺς, φύλακές εἰσι τῆς δικαιοσύνης.

Ἄλλο.

Ὅτι χρὴ νήφειν τὸν σχηματιζόμενον, μήποτε προσποιούμενος πάθος κατ' ἀλήθειαν ληφθῇ ὑπ' D αὐτοῦ.

Σχόλιον Θεωδώρου Ἐδεσ. ιδ'.

Τριμερής ἐστι πᾶσα λογικὴ ψυχή· τὴν μὲν οὖν ἐν τῷ λογιστικῷ συνισταμένην ἀρετὴν φρόνησιν ἐκάλεσαν, σύνεσιν καὶ σοφίαν· τὴν δὲ ἐν τῷ θυμικῷ, ἀνδρείαν καὶ ὑπομονήν· τὴν δὲ ἐν τῷ ἐπιθυμητικῷ, ἀγάπην, καὶ σωφροσύνην, καὶ ἐγκράτειαν· ἡ δὲ δικαιοσύνη ἐν πᾶσι τούτοις κατέσπαρται ἁρμοδίως ἐνεργεῖν παρασκευάζουσα, καὶ διὰ μὲν φρονήσεως ταῖς ἀντικειμέναις πολεμοῦσα δυνάμεσιν, ὑπερμαχοῦσά τε τῶν ἀρετῶν· διὰ δὲ τῆς σωφροσύνης ἀπαθῶς βλέπουσα τὰ πράγματα· διὰ δὲ τῆς ἀγά-

Theodori Edesseni 7.

Vinum, ut scriptum est, *lætificat cor hominis*[88]. Tu vero cum statum lugentis et flentis susceperis, declinata hac vini lætitia delectaberis donis spiritualibus. Vino autem exhilaratus multis fœdis cogitationibus implicaberis, multisque molestiis affligeris.

Scholion 8.

Legis obsequium hic opinor dicit sibi ipsi attendere sive sua quærere. Obsequium domini est fratri quoque consulere ut recte vivat.

Scholion 9.

Dæmones nos vel per se tentant vel impios, Deumque non timentes in nos armant; per se, quando soli sumus, quemadmodum Dominum in B eremo; per homines, quando inter ipsos vivimus, quemadmodum Dominum per Pharisæos. Sed nos **388** ad exemplar nostrum respiciamus, et utrinque illos repellamus.

Scholion 10.

Scriptura sacra virtutes vias appellat; omnibus porro virtutibus major est charitas, propterea dixit Apostolus: *Adhuc excellentiorem vobis via ostendo*[89], ut persuaderet nobis omnia humana et corporea contemnenda. Et nihil temporalium futuris, et æternis anteponendum.

Scholion 11.

Formæ exemplorum, quemadmodum supra dixit, C simulandos quandoque vitiosos affectus ne ab hoste vincamur, securi in iis quæ simulamus tanquam victi ab hoste, sed decepto et ignorante.

Scholion 12.

Abbas Serapion. Est, inquit, qui in rebus adversis [sinistris, suspectis] operatur vitam in sapientia Dei, et est qui in peccato perpetrando tanquam in conspectu Dei occupatus est.

Scholion 13.

Defectus minores seu leviores culpæ eorum qui se ipsos observant et custodiunt, sunt custodes justitiæ.

Aliud.

Illum oportet valde sobrium esse, qui simulet se vitiosum, ne in ipsum vitium, quod simulat, re D ipsa incidat et ab ipso capiatur.

Theodori Edesseni 14.

Omnis anima humana tripartita est: eam quæ in rationali parte constituta est, virtutem appellarunt prudentiam, intelligentiam et sapientiam: quæ in irascendi facultate, fortitudinem et patientiam: quæ in vi appetendi, charitatem, temperantiam et continentiam. Justitia vero his omnibus apte aspersa est, efficitque ut convenienter agant, et per prudentiam quidem cum adversariis potestatibus pugnat, ac pro virtutibus propugnat: per temperantiam res sine vitioso affectu intuetur; per

[88] Psal. ciii, 15. [89] I Cor. xii, 31.

charitatem, omnes mortales ut seipsam diligi suadet; per continentiam omnem voluptatem amputat; per fortitudinem et patientiam adversus inaspectabiles hostes se obarmat.

Scholion 15.

Pacificus est, qui alteri pacem conciliat. **389** Nemo vero alteri impertiri potest quo ipse caret, ut proprie pacificus sit qui corporis sui et spiritus statum, et domesticum carnis hostem in pacificam concordiam redigit, ita ut non amplius caro concupiscat adversus spiritum [84], sed Spiritus gratia imperet corporis affectibus, et lex corporis non amplius repugnet legi mentis, sed subjecta meliori imperio serviat divinis mandatis, quando enim auferetur in nobis maceriæ medius malitiæ paries [85], meliore commistione duo in unum coalescent.

Scholion 16.

Ne contrahas amicitiam cum iis hominibus, de quibus timet conscientia ne resciant alii, ut non des scandalum in cognitione (*a*).

Aliud.

Quibus amicitia est causa exitii, his odium fit argumentum et materia virtutis.

Aliud.

Iter ingressus cum fratribus religiosis, si ex illis quempiam repereris, quem propter Deum sincere diligis, ne liberius et effusius cum illo videntibus aliis agas., ne ex illis imperfectus aliquis inveniatur, et ex æmulatione moriatur, cujus tu peccatum feres, quod dederis occasionem peccandi.

Scholion Diadochi 17.

Veræ cognitionis lux est secernere sine errore seu offensione bonum a malo. Tunc enim justitiæ via mentem ducit ad Deum auctorem justitiæ, atque inducit ipsam in infinitam cognitionis lucem, ut cum confidentia et magna libertate deinceps charitatem quærat. Proinde arripiendum, quod justum est sine animi irati commotione ab iis qui tibi contumeliam irrogare sunt ausi. Nam pietatis amor et ardor non odio prosequendo, sed coarguendo contentionem aperit.

Scholion 18.

Charitatem, metam seu terminum appellat, imposito illi nomine quod principium et finem continet.

Scholion Isaaci 19.

Quod si fuerunt passiones naturaliter in anima, quamobrem lædebatur ab illis? Propterea naturæ affectiones non lædunt.

390 *Scholion* 20.

Symptomata seu casus qui subinde incidere solent, sunt subreptiones sive distractiones et furta

[84] Galat. v, 17. [85] Ephes. II, 14.

πης, πάντας ἀνθρώπους ὡς ἑαυτὴν φιλεῖ πείθουσα· διὰ δὲ τῆς ἐγκρατείας πᾶσαν ἡδονὴν περικόπτουσα· διὰ δὲ τῆς ἀνδρείας, καὶ ὑπομονῆς πρὸς τοὺς ἀορίστους ὁπλίζουσα πολέμους.

Σχόλιον ιε'.

Εἰρηνοποιός ἐστιν, ὁ εἰρήνην διαδοὺς ἄλλῳ· οὐκ ἂν δέ τις ἑτέρῳ παράσχοι, ὃ μὴ αὐτὸς ἔχει ὥστε κυρίως εἰρηνοποιὸς, ὁ τὴν ἐν αὐτῷ στάσιν τῆς σαρκὸς, καὶ τοῦ πνεύματος, καὶ τὸν ἐμφύλιον τῆς σαρκὸς πόλεμον εἰς εἰρηνικὴν συμφωνίαν ἄγων, ὅταν μηκέτι ἡ σὰρξ ἐπιθυμῇ κατὰ τοῦ πνεύματος· ἀλλ' ἡ τοῦ πνεύματος χάρις ἐπικρατήσῃ τῶν σωματικῶν παθημάτων· ὅταν μηκέτι ἐνεργὸς ᾖ ὁ τοῦ σώματος νόμος, ὁ ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοός· ἀλλ' ὑποζευχθεὶς τῇ κρείττονι βασιλείᾳ ὑπηρέτης τῶν θείων ἐπιταγμάτων γένηται· ὅταν γὰρ ἐξαιρεθῇ τοῦ ἐν ἡμῖν φραγμοῦ τὸ μεσότοιχον τῆς κακίας, εἰς οἱ δύο τῇ πρὸς τὸ κρεῖττον ἀνακράσει συμφυέντες γίνονται.

Σχόλιον ις.

Μὴ σχῇς φιλίαν μετὰ ἀνθρώπων, περὶ ὧν ἡ συνείδησις φοβεῖται ἑτέρους γνῶναι, ἵνα μὴ πρόσκομμα δῷς ἐν γνώσει.

Ἄλλο.

Οἷς ἡ φιλία ἀπωλείας πρόξενος, τούτοις τὸ μῖσος, ἀρετῆς ὑπόθεσις γίνεται.

Ἄλλο.

Ἐὰν ὁδεύσῃς μετ' ἀδελφῶν, καὶ εὑρεθῇ ἐν αὐτοῖς εἷς εἰς ὃν ἔχεις ἀγάπην διὰ τὸν Θεὸν, μὴ παῤῥησιάσῃ μετ' αὐτοῦ ἐκείνων βλεπόντων, μήποτε εὑρεθῇ ἐν αὐτοῖς ἀσθενὴς καὶ ἀποθάνῃ ἀπὸ τοῦ ζήλου, καὶ σὺ βαστάσεις αὐτοῦ τὴν ἁμαρτίαν, ὅτι δέδωκας αὐτῷ τόπον τοῦ ἁμαρτεῖσθαι.

Σχόλιον Διαδόχου ιζ'.

Φῶς ἐστι γνώσεως ἀληθινῆς τὸ διακρίνειν ἀπταίστως τὸ καλὸν ἐκ τοῦ κακοῦ· τότε γὰρ ἡ τῆς δικαιοσύνης ὁδὸς τὸν νοῦν ἀπάγουσα πρὸς τὸν τῆς δικαιοσύνης Θεὸν εἰς ἄπειρον αὐτὸν παρεισάγει γνώσεως φωτισμὸν, ὡς μετὰ παῤῥησίας λοιπὸν τὴν ἀγάπην ζητοῦντα. Δεῖ τοίνυν ἀοργήτῳ θυμῷ ἁρπάζειν τὸ δίκαιον ἐκ τῶν ὑβρίζειν τολμώντων· ὁ γὰρ τῆς εὐσεβείας ζῆλος οὐ μισῶν, ἀλλ' ἐλέγχων τὸ νεῖκος ἐνδείκνυται.

Σχόλιον ιη'.

Πέρας τὴν ἀγάπην καλεῖ, ὡς ὄνομα τοῦτο αὐτῇ τιθεὶς καὶ ἀρχὴν, καὶ τέλος.

Σχόλιον Ἰσαάκ ιθ'.

Εἰ ἦσαν τὰ πάθη φυσικῶς ἐν ψυχῇ, τινος χάριν ἐβλάπτετο ὑπ' αὐτῶν; Τὰ παρὰ τῆς φύσεως ἴδια τῇ φύσει οὐ λυμαίνεται.

Σχόλιον κ'.

Συμπτώματά εἰσιν αἱ συναρπαγαὶ, καὶ αἱ παρὰ καιρὸν διὰ περίστασιν χρήσεις· ὁμοίως καὶ αἱ πα-

(*a*) Id est, per amicitiæ ejus cognitionem alii offendantur.

ράλογοι τῶν τε λόγων, καὶ ἔργων καὶ ἐπιτηδευμάτων, καὶ αἱ κατὰ προπέτειαν.

A mentis, et actiones intempestivæ quæ propter causam aliquam conjunctam fiunt. Similiter et intempestivi sermones et opera et studia, et quæcunque per temeritatem [præcipitationem] (sine deliberatione) committuntur.

Σχόλιον κα'.

Τρία φοβοῦμαι, τὶς τῶν Πατέρων ἔφη· τὴν ἀποδημίαν τοῦ βίου καὶ πῶς ὀφθήσομαι τῷ Θεῷ καὶ ποῦ ἐν τῇ κρίσει καταλογήσομαι.

Scholion 21.

Tria, inquit Patrum quidam (*a*), formido; migrationem e vita; et quomodo apparebo in conspectu Dei; et inter quos per judicium recensendus sim.

Σχόλιον ἄλλο.

Τινὲς τὰς τρεῖς ὥρας τῆς ἡλικίας ἤτοι τὴν ἐν νεότητι, τὴν ἐν μέσῃ καὶ τὴν ἐν τῷ γήρᾳ· ἄλλος τὴν ἡδονὴν, τὴν κενοδοξίαν, καὶ τὴν φιλαργυρίαν· ἄλλος τὰς τρεῖς προσβολὰς τοῦ δαίμονος· ἄλλος τὴν ἀκηδίαν, ὡς καὶ ἀλλαχοῦ, τρίωρον φρίκα.

Scholion aliud.

Quidam tres horas interpretantur tres hominis ætates sive adolescentiam, virilem seu mediam, et senectutem. Alius voluptatem, vanam gloriam, et avaritiam; alius tres dæmonis tentationes et impetus seu insultus: alius pigritiam, ut et alio loco, trium horarum fluctuationem (*b*).

Σχόλιον κβ'.

Καὶ γὰρ ἐξαιτοῦνται οἱ δαίμονες πρὸς ἔκπτωσιν ἡμῶν, ἢ ὡς τὸν σῖτον ἡμῶν συναλίσαι, ἢ, κατὰ τὸν Ἰὼβ, τραυματίσαι· πρὸς δὲ τὴν ἀμέλειαν ἡμῶν παραδιδόμεθα παιδευτικῶς ἐγκαταλιμπανόμενοι.

Scholion 22.

B Etenim dæmones ad quæstionem et examen propter nostrum exitium vocantur, aut quod nobiscum versati nostra deprædati sint, aut nos, ut est apud Jobum vulnerarint [86]. Propter nostram negligentiam traditi sumus ad pœnam a Deo deserti.

Σχόλιον τοῦ Χρυσορώμου κγ'.

Οὔτε παραιτεῖσθαι δεῖ τοὺς ἀγῶνας, οὔτε πρὸς τούτους ἐπιπηδᾷν· οὕτω γὰρ καὶ ἡμῖν ἡ νίκη λαμπροτέρα ἔσται, καὶ ἡ ἧττα τῷ διαβόλῳ καταγελαστοτέρα· ἑλκυσθέντας μὲν γὰρ γενναίως ἑστάναι· μὴ καλουμένους δὲ ἡσυχάζειν, καὶ τὸν καιρὸν ἀναμένειν τῶν ἀγώνων, ἵνα καὶ τὸ ἀκενόδοξον καὶ τὸ γενναῖον ἐπιδειξώμεθα.

Scholion Chrysorhomi 23.

Neque detrectanda sunt certamina, neque temere ad illa prosiliendum. Ita enim et victoria nobis illustrior erit, et victi dæmonis ignominia majore risu digna, cum compulsi et protracti ad pugnam generose in illa constiterimus, et non provocati quieverimus, sed tempus pugnandi exspectaverimus, ut et vanæ gloriæ fugam, et constantiam in pugna ostenderemus.

Σχόλιον κδ'.

C Τῆς αὐτῆς μεθέξουσιν οἱ βεβουλευμένοι τιμῆς τοῖς δυνηθεῖσιν, ὧν ἡ προαίρεσις ἴση, κἂν πλεονεκτῶσιν ἕτεροι τῇ περιουσίᾳ.

Scholion 24

Qui statuerunt (exsequi quod Deo placet) habebunt idem præmium quod accipient qui poterant exsequi, quod eorum propositum par fuerit illis, quamvis illi facultate exsequendi præpotuerint.

Σχόλιον κε'.

Ἰστέον ὅτι ἐν τοῖς κατὰ δύναμιν δίδονται αἱ ἐντολαὶ ποῖον δὲ ποιῆσαι εἴρηκε τῶν ἐντολῶν, τοὺς δι' (*c*) ὑπερβάλλουσαν ἀγάπην τοῖς ὑπὲρ δύναμιν ἐπιχειροῦντας· διὸ καὶ τὴν σύγκρισιν ὁ Πατὴρ τῶν κατὰ δύναμιν καὶ ὑπὲρ δύναμιν ἐποιήσατο.

Scholion 25.

Sciendum dari præcepta secundum modum et rationem virium; et quosdam quidem dixit facere quæ præcepti sunt, quosdam autem de superabundante charitate supra vires aliquid audere. Proinde Pater instituit comparationem inter opera secundum vires, et supra vires facta.

Σχόλιον.

Μετὰ τὴν ὥραν ἢ ἡμέραν.

391 *Scholion.*

D Post horam aut diem (loquitur de colloquio cum externo et ejus digressu) sine signo, εἴ τις πρὸς κοσμικούς.

Σχόλιον κς'.

Τὸ σῶμα το ἀσθενὲς, ὅταν καταναγκάσῃ τις εἰς ἔργα περισσότερα τῆς δυνάμεως αὐτοῦ, σκότωσιν ἐπὶ σκοτώσει ἐντίθησι τῇ ψυχῇ, καὶ σύγχυσιν αὐτῇ μᾶλλον ἐπιφέρει· τὸ δὲ σῶμα τὸ ἰσχυρὸν ἐὰν τῇ ἀναπαύσει, καὶ τῇ ἀργίᾳ ἐκδῷς, πᾶσα κακία τελεῖ-

Scholion 26.

Si quis corpus infirmum ad res quæ vires illius excedunt, urgeat, tenebras tenebris adjungit, et involvit animam, magisque confundit; validum autem corpus si otio et relaxationi dedideris, omnem nequitiam exercebit in anima habitante in corrigendus, καὶ τοὺς μὲν ποιῆσαι εἴρηκε τὰ τῆς ἐντολῆς, τοὺς δὲ δι', et quæ sequuntur.

[86] Job xxiv, 9 seqq.

(*a*) Rosweid. pag. 565, n. 4. de Elia abbate.
(*b*) Mortis judicii, et sententiæ,
(*c*) Locus Græcus videtur mendosus; fortasse ita

illo. Et si [quamvis] quis desideret bonum, sed paulo [tamen paulatim] post ipsam quoque boni cogitationem quam habebat, tollit ab ipso.

Aliud.

Consolandi seu recreandi sunt cibo præexercitati, juvenes autem per exhortationes ad abstinentiam urge.

Aliud.

Otiosa enim relaxatio exitium animæ est, et plus ipsis dæmonibus nocere solet.

Scholion 27.

Quando quis in melius vertit consilia, tum pœnitudo non abolet bona, sed auget. Tunc enim pœnitentia seu mutatio animi bona dissolvit, quando ad actiones deteriores pœnitentia ducit.

Scholion.

De cogitationibus malitiæ.

Scholion 28.

Quemadmodum procellæ ventorum mare concitantes, nautas et vectores in ultimum naufragii discrimen præcipitant : ita tenebricosi malitiæ spiritus per cogitationes, cupiditates vitiosas et affectus excitant, et mentem perturbant, vt animum ducem hominis quandoque in ultimam exitii voraginem demergant.

392 *Graduum superiorum brevis et per summas enumeratio.*

(Sub eodem capite.)

Firma fides est abrenuntiationis parens, et contrarium est manifestum.

Spes indeclinabilis est janua ad exuendos omnes affectus minus rectos. Quid huic sit contrarium constat.

Charitas Dei est fugæ mundi causa. Quid item huic repugnet, non est ignotum.

Subjectionem procreavit sui ipsius condemnatio et sanitatis desiderium.

Abstinentia est mater sanitatis ; abstinentiæ, meditatio mortis, et fixa memoria fellis et aceti Domini Dei.

Temperantiæ seu pudicitiæ adjutrix et causa est solitudo et quies, Ardoris exstinctio in corpore, jejunium.

Cogitationum malarum et turpium hostis est animæ contritio. Fides et fuga sæculi mors avaritiæ.

Commiseratio et charitas prodiderunt corpus (*a*).

Oratio continua exitium est acediæ.

Memoria judicii alacritatis est conciliatrix.

Iræ curatio, ignominiæ desiderium ; laudes hymnorum, et misericordia et paupertas suffocant tristitiam.

Liber animus ab omni sensuum affectu, contemplatio est rerum cœlestium quæ mente percipiuntur.

(*a*) Exposuerunt corpus (pro salute proximi).

ται ἐν τῇ ψυχῇ τῇ οἰκούσῃ ἐν αὐτῷ. Καὶ ἐάν τις ἐπιθυμῇ τοῦ ἀγαθοῦ, ἀλλὰ μετὰ μικρὸν καὶ αὐτὴν τὴν ἔννοιαν τοῦ ἀγαθοῦ, ἣν εἶχεν, αἴρει ἀπ' αὐτοῦ.

Ἄλλο.

Χρὴ παραμυθεῖσθαι βρώμασι τοὺς προσασκήσαντας· τοὺς δὲ νέους μᾶλλον καὶ ἀναγκάζειν ἐγκρατεύεσθαι διὰ παραινέσεων.

Ἄλλο.

Ἀνάπαυσις γὰρ ἀργία, ἀπώλεια ψυχῆς, καὶ πλέον τῶν δαιμόνων δύναται βλάψαι αὗται.

Σχόλιον κζ'.

Ὅπόταν πρὸς τὸ κρεῖττόν τις μεταμέληται, τότε ἡ μεταμέλεια οὐ διάλυσιν καλῶν, ἀλλ' ἐπίτευξιν ἀπεργάζεται. Τότε γὰρ διάλυσιν καλῶν ἡ μεταμέλεια ποιεῖ, ὅτε πρὸς τὰ χείρω συμπίπτει τῶν πράξεων.

Σχόλιον.

Γῶν λογισμῶν τῆς κακίας.

Σχόλιον κη'.

Ὥσπερ οἱ ἄνεμοι τὴν θάλασσαν ταράσσοντες τοὺς πλέοντας πολλάκις κινδυνεύειν παρασκευάζουσι· οὕτω καὶ τὰ σκοτεινὰ τῆς πονηρίας πνεύματα διὰ τῶν λογισμῶν τὰ πάθη ἡμῶν ἐκταράσσοντες, τὸν ἡγεμόνα νοῦν ἐνίοτε τῷ τῆς ἀπωλείας βυθῷ παραπέμπουσιν.

Ἀνακεφαλαίωσις ἐν ἐπιτομῇ τῶν προειρημένων λόγων αὐτοῦ.

Πίστις βεβαία ἀποταγῆς μήτηρ· τὸ δὲ ἐναντίον πρόδηλον.

Ἐλπὶς ἀκλινὴς ἀπροσπαθείας θύρα· τὸ δὲ ἐναντίον πρόδηλον.

Ἀγάπη Θεοῦ, ξενιτείας ὑπόθεσις· τὸ δὲ ἐναντίον πρόδηλον.

Ὑποταγὴν ἔτεκεν ἑαυτοῦ κατάγνωσις, καὶ ὑγείας ὄρεξις.

Ἐγκράτεια μήτηρ ὑγείας· ἐγκρατείας μήτηρ, θανάτου ἔννοια καὶ μνήμη· παγὶς χολῆς καὶ ὄξους Δεσπότου καὶ Θεοῦ.

Σωφροσύνης βοηθός ἐστι, καὶ ὑπόθεσις ἡσυχία· πυρώσεως θραῦσις νηστεία.

Λογισμῶν τε πονηρῶν καὶ αἰσχρῶν συντριμμὸς διανοίας ἀντίπαλος· πίστις καὶ ξενιτεία θάνατος φιλαργυρίας.

Συμπάθεια δὲ καὶ ἀγάπη προέδωκαν σῶμα.

Προσευχὴ ἐκτενὴς, ὄλεθρος ἀκηδίας·

Μνήμη δὲ κρίσεως προθυμίας πρόξενος.

Θυμοῦ ἴαμα, ἀτιμίας ἀγάπη· ὑμνῳδία δὲ καὶ συμπάθεια καὶ ἀκτημοσύνη λύπης πνιγμοσύνη.

Ἀπροσπάθεια δὲ αἰσθητῶν (1), θεωρία νοητῶν.

Σιωπὴ καὶ ἡσυχία κενοδοξίας πολέμιοι. Εἰ δὲ μέσος ὑπάρχεις, ἀτιμίαν μέτελθε.

Ὑπερηφανίαν ὁρωμένην ἰάσονται σκυθρωπαὶ καταστάσεις· ἀόρατον δὲ ὁ πρὸ αἰώνων ἀόρατος.

Πάντων θηρίων αἰσυητῶν ἀναιρετικὴ ἔλαφος, νοητῶν δὲ, ἡ ταπείνωσις.

Ἔνεστι διὰ τῶν κατὰ φύσιν πάντων ἡμῶν ἐναργῶς τὰ νοητὰ παιδεύεσθαι. Ὥσπερ ὄφιν ἀδύνατον τὴν ἑαυτοῦ παλαιότητα ἐκδύσασθαι, μὴ ἐν στενῇ ὀπῇ εἰσδύντα· οὕτως καὶ ἡμᾶς τὰς παλαιὰς προλήψεις, καὶ τὴν τῆς ψυχῆς παλαιότητα, καὶ τὸν τοῦ παλαιοῦ ἀνθρώπου χιτῶνα, οὐ μὴ ἀποβάλωμεν, ἐὰν μὴ τῆς στενῆς (2), καὶ τεθλιμμένης νηστείας, καὶ ἀτιμίας ὁδὸν παρέλθωμεν.

Ὥσπερ τὰ πολύσαρκα τῶν ὀρνίθων εἰς οὐρανὸν πετασθῆναι ἀδύνατον (3)· οὕτω καὶ τὸν τὴν ἑαυτοῦ σάρκα θεραπεύοντα.

Ξηρανθεὶς βόρβορος οὐκ ἔτι χοίρους θεραπεύει, καὶ μαρανθεῖσα σὰρξ οὐκ ἔτι δαίμονας ἀναπαύει.

Ὥσπερ σχιδάκων πλῆθος πολλάκις συμπνίγει φλόγα, καὶ ἀποσβέννυσι, πλῆθος καπνοῦ ἐργασάμενον· οὕτω πολλάκις καὶ λύπη ὑπέρμετρος καπνώδη καὶ σκοτεινὴν τὴν ψυχὴν ἐργάζεται, καὶ τὸ ὕδωρ τῶν δακρύων ἀποξηραίνει.

Ὥσπερ τυφλὸς τοξότης ἀδόκιμος· οὕτως μαθητὴς ἀντίλογος ἀπόλλυται (4).

Ὥσπερ σίδηρος δόκιμος, καὶ τὸν ἀδόκιμον ὀξῦναι δύναται· οὕτως ἀδελφὸς πρόθυμος τὸν ῥάθυμον πολλάκις ἔσωσεν.

Ὥσπερ τὰ ὠὰ ἐν κόλπῳ θαλπόμενα ζωογονοῦνται (5)· οὕτως καὶ λογισμοὶ μὴ φανερούμενοι, εἰς ἔργα προφαίνουσι.

Ὥσπερ ἵπποι τρέχοντες ἀλλήλοις ἁμιλλῶνται· οὕτως συνοδία ἀγαθὴ ἑαυτὴν διεγείρει.

Ὥσπερ αἱ νεφέλαι ὑποκρύπτουσι τὸν ἥλιον· οὕτως αἱ πονηραὶ ἔννοιαι σκοτίζουσι, καὶ ἀπολλύουσι τὸν νοῦν.

Ὥσπερ ὁ τὴν ἀπόφασιν εἰληφὼς, καὶ πρὸς τὴν καταδίκην πορευόμενος, οὐ λαλεῖ περὶ θεάτρων· οὕτως οὐδὲ ὁ ἐν ἀληθείᾳ πενθῶν, γαστέρα θεραπεύσει ποτέ.

Ὥσπερ πένητες θησαυροὺς βασιλικοὺς ὁρῶντες ἐπὶ πλεῖον τὴν ἑαυτῶν πτωχείαν ἐπιγινώσκουσιν· οὕτως καὶ ψυχὴ τὰς μεγάλας τῶν πατέρων ἀρετὰς ἀναγινώσκουσα, πάντως ταπεινότερον ποιεῖται τὸ ἑαυτῆς φρόνημα.

Ὥσπερ καὶ μὴ βουλόμενος ὁ σίδηρος ὑπακούει τῷ μαγνίτῃ [*al.* μαγνήτιδι]· οὕτω καὶ οἱ πειωθέντες ταῖς προλήψεσι, τυραννοῦνται ὑπ' αὐτῶν.

Ὥσπερ τὸ ἔλαιον καὶ μὴ βουλομένην ἡμεροῖ τὴν θάλασσαν· οὕτως καὶ ἡ νηστεία, καὶ ἀκουσίας κατασβεννύει τὰς τοῦ σώματος πυρώσεις.

Ὥσπερ στενούμενον ὕδωρ εἰς ὕψος ἀνατρέχει· οὕτω πολλάκις καὶ ψυχὴ ὑπὸ κινδύνων στενωθεῖσα

A Silentium et quies sunt hostes vanæ gloriæ. Si in medio te senseris, ignominiam complectere.

Externam superbiam sanabit tristis habitus, seu status : internam, ille qui ante sæcula est inspectabilis (nempe Deus).

Omnium ferarum quæ sensum incurrunt venena tollit cervus : omnium noxiarum cogitationum venena consumit humilitas.

Per omnia quæ ex creatis in oculos cadunt, possumus cognoscere et discere ea quæ sunt in mente. **393** Quemadmodum fieri non potest, ut serpens veterem pellem exuat, nisi se per angustum foramen penetret, ita nos non deseremus inveteratas vitiorum consuetudines, nec animæ vetustatem, et veteris hominis tunicam abjiciemus, nisi per angustam
B jejunii, et afflictam contemptus et ignominiæ viam transeamus.

Sicut aves carnosiores in cœlum altius evolare non possunt, ita qui corpus suum delicatius tractat et alit.

Quemadmodum lutum sole duratum et siccatum porcos non admittit amplius aut fovet, ita caro quæ emarcuit, nullum quietis locum dæmonibus relinquit.

Sicut virentium lignorum copia sæpe suffocat flammam et exstinguit, ingentemque fumum excitat, ita sæpe nimia et gravis tristitia fumantem et obscuram reddit animam, et fontem lacrymarum exsiccat.

Quemadmodum sagittarius cæcus non probatur,
C ita discipulus contumax et obloqui solitus perit.

Ut ferrum probum, etiam malum seu vitiosum [rubiginosum] acuere potest, ita promptus religiosus, etiam cunctantem et ignavum sæpe servavit.

Quemadmodum ova sinu fota fetum concipiunt, ita cogitationes quæ non aperiuntur, in opus prodeunt.

Sicut equi currentes cursu certant, ita proba societas se mutuo ad virtutem excitat.

Ut nubes abscondunt solem, ita malæ cogitationes tenebras offundunt menti et perdunt illam.

Sicut damnatus qui ad supplicium proficiscitur, **394** non loquitur de spectaculis, sic qui revera
D super peccatis suis ex animo luget, nunquam studebit gulæ et ventri.

Quemadmodum pauperes quando regios thesauros inspiciunt, magis suam mendicitatem agnoscunt, ita anima magnas Patrum virtutes lectitans, omnino humilior redditur, et fastum deprimit.

Sicut ferrum etiam nolens paret magneti, ita pravis consuetudinibus corrupti, ab ipsis vi ad peccandum trahuntur.

Sicut oleum etiam invitum pacat mare, ita jejunium corporis contumaces exstinguit ardores.

Quemadmodum coercitæ in arctum aquæ in altum exsurgunt, ita sæpe anima periculis circumventa

ad Deum per pœnitentiam exsurgit et servatur.

Sicut qui aromata circumfert, etiam nolens, ex odorum fragrantia deprehenditur, ita qui spiritum Dei possidet, ex verbis suis et humilitate agnoscitur.

Quemadmodum venti perturbant mare, sic ira præ cunctis aliis perturbat mentem.

Quemadmodum oculus, quæ non vidit, ex auditu non valde appetit gustare, ita qui casto sunt corpore ingens inde levamen habent.

Sicut fures cum alicubi regia arma reposita conspiciunt, non facile illuc ascendunt, ita qui familiares cordi habet preces, non facile ab dæmonibus furibus mentis furtum patitur.

Quemadmodum ignis non generat nivem, ita qui honorem quærit, non perfruetur ibi [cœlesti].

395 Sicut una sæpe scintilla vastam depasta est silvam, ita unicum sæpe opus bonum omnem peccatorum magnorum summam delevit.

Sicut absque telo feræ non conficiuntur, ita sine humilitate non obtinebis de ira victoriam.

Sicuti nemo naturali modo sine cibo vivit, ita usque ad mortem nunquam licet vel momento cessare aut negligentem esse.

Quemadmodum solis radius per foramen admissus illustrat totam domum, ita ut minimi etiam atomi seu pulvisculi volitantes videantur; ita timor Domini qui in corde sedem fixit omnes illi labos peccatorum ostendit.

Quemadmodum cancri facile capiuntur, eo quod nunc progrediantur, nunc regrediantur, ita anima nunc in risu soluta, nunc ad luctum composita, nunc deliciis rursum immersa nullum capit laborum suorum emolumentum.

Sicut dormientes facile spoliantur, ita qui in sæculo vel sæculo proximi, virtuti student (prædonibus patent).

Sicut is qui cum leone pugnat, si vel semel oculos alio declinet, extemplo perit, ita qui cum carne sua luctatur, si inducias cum illa faciat, interit.

Quemadmodum qui scalam putrescentem ascendunt, vita periclitantur, ita quævis dignitas, et gloria, et imperium seu potentia repugnat humilitati.

Ut fieri non potest quin famelicus meminerit panis, ita salvus fieri non potes qui non cogitat de morte et judicio.

Sicut aqua litteras, ita lacrymæ delent peccata.

396 Sicut cum caremus aqua, litteras aliis modis abolere solemus; ita sunt et animæ quæ lacrymis destitutæ per luctum et gemitus et tristitiam magnam peccata dedolant et eradunt.

Sicut e multo stercore multi exsistunt vermes, ita copia ciborum copiam giguit peccatorum, turpium cogitationum et somniorum.

πρὸς Θεὸν διὰ μετανοίας ἀνῆλθε καὶ ἐσώθη (6).

Ὥσπερ ὁ ἀρώματα βαστάζων (7), καὶ μὴ θέλων ἐκ τῆς ὀσμῆς ἐλέγχεται· οὕτως καὶ ὁ Πνεῦμα Κυρίου ἔχων, ἐκ τῶν αὐτοῦ λόγων καὶ τῆς ταπεινώσεως γνωρίζεται.

Ὥσπερ τὰ πνεύματα ταράσσουσιν ἄβυσσον· οὕτω καὶ ὁ θυμὸς πλέον πάντων ταράττει τὴν διάνοιαν.

Ὥσπερ ὁ ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ σφοδρῶς ἐξ ἀκοῆς ἐπιθυμεῖ γεύσασθαι· οὕτως καὶ οἱ ἁγνοὶ τῷ σώματι, πολὺν ἐκ τούτου κουφισμὸν κέκτηνται.

Ὥσπερ ὅπλα βασιλικὰ ἐν τόπῳ κείμενα ὁρῶντες οἱ κλέπται, οὐχ, ὡς ἔτυχεν, ἐκεῖ ἐπιβαίνουσιν· οὕτως καὶ ὁ τῇ καρδίᾳ προσευχὴν προσάψας, οὐχ, ὡς ἔτυχεν, ὑπὸ τῶν νοητῶν λῃστῶν κλέπτεται.

Ὥσπερ οὐ τίκτει πῦρ χιόνα· οὕτως οὐδὲ ὁ τὴν ἐνταῦθα ζητῶν τιμὴν, τῆς ἐκεῖθεν ἀπολαύσει.

Ὥσπερ εἷς σπινθὴρ πολλάκις πυρὸς πολλὴν ὕλην κατέκαυσεν· οὕτως καὶ ἓν ἀγαθὸν εὑρίσκεται πλῆθος πταισμάτων μεγάλων ἐξαλεῖψαι.

Ὡς οὐκ ἔστι χωρὶς ὅπλου θηρία ἀπολέσαι, οὕτως οὐδὲ χωρὶς ταπεινώσεως ἀοργησίαν κτήσασθαι.

Ὡς οὐκ ἔστι ζῆν κατὰ φύσιν ἄνευ βρώσεως, οὕτως οὐκ ἔστιν ἕως ἐξόδου κἂν πρὸς ῥοπὴν ἀμελῆσαι (8).

Ὥσπερ ἀκτὶς ἡλίου δι' ὁπῆς εἰσελθοῦσα ἐν οἴκῳ πάντα φωτίζει, ὡς καὶ τὸν λεπτότατον ὁρᾶν τότε κονιορτὸν πετόμενον· οὕτως καὶ ὁ φόβος Κυρίου ἐν καρδίᾳ γενόμενος πάντα αὐτῇ τὰ αὐτῆς ἁμαρτήματα ὑποδείκνυσιν.

Ὥσπερ οἱ λεγόμενοι καρχῖνοι εὐεπιχείρητοι τυγχάνουσιν, διὰ τὸ, ποτὲ μὲν ἔμπροσθεν βαίνειν, ποτὲ δὲ ὄπισθεν· οὕτως καὶ ψυχὴ, ποτὲ μὲν γελῶσα, ποτὲ δὲ πενθοῦσα, ποτὲ δὲ τρυφῶσα, οὐδὲν ὠφελῆσαι δύναται.

Ὥσπερ οἱ ὑπνώττοντες εὐχερῶς συλῶνται· οὕτως καὶ οἱ πλησίον κόσμου τὴν ἀρετὴν μετερχόμενοι.

Ὥσπερ ὁ λέοντι μαχόμενος ἐὰν ῥεφθῇ τὸ ὄμμα, εὐθέως ἀπόλλυται· οὕτως καὶ ὁ τῇ ἑαυτοῦ σαρκὶ μαχόμενος ἐὰν ταύτην ἀναπαύσῃ.

Ὥσπερ οἱ εἰς κλίμακα ἀναβαίνοντες σαθρὰν κινδυνεύουσιν· οὕτως πᾶσα τιμὴ, καὶ δόξα, καὶ δυναστεία τῇ ταπεινοφροσύνῃ ἀντίκεινται.

Ὡς ἀδύνατον τὸν πεινῶντα μὴ μνημονεύειν ἄρτου· οὕτως ἀμήχανον σωθῆναι τὸν ἐξόδου καὶ κρίσεως μὴ μνημονεύοντα.

Ὥσπερ τὸ ὕδωρ τὰ γράμματα· οὕτως τὸ δάκρυον τὰ πταίσματα ἐξαλείφειν δύναται.

Ὥσπερ τινὰ τῶν γραμμάτων, ἀποροῦντες ὕδατος, δι' ἑτέρων τρόπων ἀπαλείφομεν· οὕτως εἰσὶ καὶ ψυχαὶ ἀποροῦσαι δακρύων, καὶ διὰ λύπης, καὶ στεναγμοῦ, καὶ σκυθρωπότητος πολλῆς ταῦτα ἐκλεαίνουσι, καὶ ἀποξέουσιν.

Ὥσπερ πλῆθος κόπρου πλῆθος σκωλήκων ἐργάζεται· οὕτως πλῆθος βρωμάτων πλῆθος πτωμάτων, καὶ πονηρῶν λογισμῶν, καὶ ἐνυπνίων ἐργάζεται.

Ὥσπερ ὁ τοὺς πόδας πεδηθεὶς βαδίζειν εὐχερῶς οὐ δύναται· οὕτως καὶ οἱ θησαυρίζοντες χρήματα, εἰς οὐρανὸν ἀνελθεῖν οὐκ ἰσχύουσιν.

Quemadmodum compeditus ægre incedit, ita qui pecuniarum thesauros colligunt, cœlum conscendere non possunt.

Ὥσπερ ζεούσης τῆς πληγῆς εὔϊατος καθέστηκεν· οὕτως τὰ χρόνια τραύματα τῆς ψυχῆς τοὐναντίον πάσχουσι, καὶ δυσκόλως ἰῶνται ὅτε καὶ ἰαθήσονται.

Sicut recens plaga facile curatur, ita contra inveteratæ animæ vulnera ægre sanantur, etiam quando sanantur.

Ὡς οὐ δυνατὸν τὸν ἀποθνήσκοντα βαδίζειν, οὕτως ἀδύνατον ἀπογνόντα σωθῆναι.

Sicut qui mortuus est, ambulare nullo modo potest, ita qui desperat, non potest salvus fieri.

Ὁ πίστιν μὲν ὀρθὴν κεκτῆσθαι λέγων (9), ἁμαρτίας δὲ διαπραττόμενος, ὅμοιός ἐστι προσώπῳ ὀφθαλμοὺς μὴ ἔχοντι.

Qui profitetur se fidem rectam habere, et interim peccare non desinit, similis est illi vultui qui oculis caret.

Ὁ πίστιν μὴ ἔχων, καλά δὲ ἴσως τινὰ ἐργαζόμενος, ὅμοιός ἐστι τῷ ὕδωρ ἀντλοῦντι, καὶ εἰς πίθον τετρημένον βάλλοντι.

Qui non credit, et tamen quædam fortasse bona opera facit, similis est illi qui aquam haurit, et in dolium pertusum infundit.

Ὥσπερ πλοῖον, ἀγαθὸν κυβερνήτην ἔχων ἀκινδύνως εἰς λιμένα, Θεοῦ συνεργοῦντος, εἰσέρχεται· οὕτως καὶ ψυχὴ ἀγαθὸν ποιμένα ἔχουσα εὐχερῶς εἰς οὐρανὸν ἀνέρχεται, καὶ πολλὰ κακὰ διαπραξαμένη καθέστηκεν. B

Quemadmodum navis quæ bonum habet navarchum seu gubernatorem, Deo adjuvante sine periculo in portum defertur : ita anima quæ bonum habet pastorem, facile cœlum conscendit, quamvis antea mala multa perpetraverit.

Ὥσπερ μὴ ἔχων ὁδηγὸν (10) εὐχερῶς ἐν τῇ ὁδῷ πλανᾶται, κἂν λίαν φρόνιμος καθέστηκεν· οὕτως καὶ ὁ αὐτεξουσίως τὴν μοναδικὴν ὁδὸν πορευόμενος, εὐχερῶς ἀπόλλυται, κἂν πᾶσαν τὴν σοφίαν τοῦ κόσμου ἐπίσταται.

Sicut qui duce caret viæ, facile exerrat a via, quantumvis alioqui prudens sit : ita qui suo arbitratu in monastico statu vivit et progreditur, facile perit, etiamsi omnem profanam sæculi sapientiam percalleat.

Ὁπόταν τις τὸ σῶμα ἀσθενὴς ᾖ, καὶ χαλεπὰ πταίσματα πεπραχὼς, τὴν ὁδὸν τῆς ταπεινώσεως, καὶ τῶν αὐτῆς ἰδιωμάτων ὁδευέτω· ἄλλην γὰρ σωτηρίαν οὐχ εὑρήσει.

Qui corpore **397** infirmo est, quamvis atrocia scelera prius commiserit, incedat per viam humilitatis, et ejus virtutis naturam induat (et salvus erit), aliam enim salutis viam nullam inveniet.

Ὡς οὐκ ἔστι τὸν μακρὰν νενοσηκότα νόσον, ἐν μιᾷ ῥοπῇ τὴν ὑγείαν κτήσασθαι· οὕτως οὐκ ἔστιν ἐξαίφνης παθῶν ἢ πάθους περιγενέσθαι. C

Quemadmodum fieri non potest, ut qui diuturno morbo laboravit, repente convalescat : ita fieri non potest ut subito vitiosos affectus seu affectum exuas et vincas.

Παντὸς πάθους, καὶ πάσης ἀρετῆς ἔχε σημεῖον τῆς ποσότητος αὐτοῦ, καὶ γνώσεις τὴν ἑαυτοῦ προκοπήν.

Omnis vitii et omnis virtutis quantus sit modus observa, et profectum inde tuum cognosces.

Ὥσπερ οἱ χρυσίῳ πηλὸν καταλλάττοντες ζημιοῦνται· οὕτως καὶ οἱ τῶν σωματικῶν χάριν τὰ πνευματικὰ θριαμβεύοντες καὶ διηγούμενοι.

Sicuti qui aurum luto commutant, detrimentum inde capiunt; ita qui corporalia narrant, et veluti in triumpho spiritualia ostentant.

Ἄφεσιν μὲν συντόμως πολλοὶ, ἀπάθειαν δὲ οὐδεὶς ἐκτήσατο· τοῦτο γὰρ χρόνου, καὶ πόθου [πόνου] πολλοῦ, καὶ Θεοῦ.

Multi quidem peccatorum veniam momento impetrarunt, sed nemo repente ad summam animi tranquillitatem aspiravit : hoc enim et tempus suum et desiderium [laborem] et Dei opem singularem desiderat.

Ζητήσωμεν ποῖα μὲν ἐν τῷ σπόρῳ, ποῖα δὲ τῇ χλόῃ, ποῖα δὲ ἐν τῷ ἀμήτῳ ἡμῖν θηρία ἢ πετεινὰ ἐπιβουλεύουσιν, ἵνα καὶ τὰ θήρατρα ἁρμόζοντα στήσωμεν. D

Observemus diligenter quæ feræ et aves in semente, quæ in herba, quæ denique in messe nobis insidientur, ut vicissim illis insidiarum laqueos et pedicas ponamus.

Ὥσπερ οὐ δίκαιον τὸν πυρέττοντα ἑαυτὸν διαχειρίσασθαι· οὕτως ἕως ἐσχάτης ἀναπνοῆς μὴ ἀπογνῶναί ποτε.

Sicut impium est et iniquum, ut febrienti sibi quis ipse violentas manus inferat et occidat; ita nulli ad extremum usque spiritum unquam est desperandum.

Ὥσπερ ἄτεμνον τὸν, τὸν ἑαυτοῦ πατέρα θάψαντα, εἶτα ἐκ τῆς κηδείας ὑποστρέψαντα, εἰς γάμον πορεύεσθαι· οὕτως ἀνοίκειον τοῖς πενθοῦσιν ἐπὶ πταίσμασι, τιμὴν ἢ ἀνάπαυσιν ἢ δόξαν ἐν τῷ παρόντι αἰῶνι ἐκζητῆσαι παρὰ ἀνθρώπων.

Sicut turpe est eum qui modo patris funus curavit, a funere mox ad nuptias proficisci : ita plane non decet, ut qui peccata sua deplorat et luget, ab hominibus honores, relaxationes, glorias in præsenti vita quærat.

Ὥσπερ ἄλλα τὰ τῶν πολιτῶν, καὶ ἕτερα τὰ τῶν καταδίκων οἰκητήρια· οὕτως πάντῃ ὀφείλει ἐνηλλα-

Quemadmodum alia civium, alia reorum et damnatorum sunt domicilia, ita omnino oportet, ut

alius sit vitæ status eorum qui suas culpas lugent, et eorum qui innocentem semper vitam transegerunt.

γμένη εἶναι ἡ τῶν πενθούντων εὐθύνας παρὰ τοὺς ἀνευθύνους κατάστασις.

Quemadmodum **398** imperator militem, qui ingentia in vultu vulnera accepit, non ob id jubet arma ponere, et se militia abdicare, sed potius audentius progredi [magis proficere] et in hostem ire; ita religiosum virum cœlestis imperator post multa cum dæmonibus pericula exantlata etiam coronat.

Ὥσπερ τὸν εἰς πρόσωπον ἑαυτοῦ λαβόντα πληγὰς χαλεπὰς στρατιώτην ἐν τῷ πολέμῳ, οὐ κελεύει βασιλεὺς τῆς στρατείας ῥίπτεσθαι, ἀλλὰ καὶ μᾶλλον προκόπτειν· οὕτως καὶ μοναχὸν πολλοὺς κινδύνους ἐκ δαιμόνων ὑπομένοντα ὁ ἐπουράνιος βασιλεὺς στεφανοῖ (11).

Sensus est animæ proprius, peccatum vero est sensus repercussus, seu colaphus impactus.

Αἴσθησις ψυχῆς ἰδίωμα αὐτῆς (12)· ἁμαρτία δὲ αἰσθήσεως κολαφισμός.

Sensus conscientiæ parit aut quietem aut minuit (stimulum peccati). Consensus autem ex conscentia nascitur. Conscientia autem est custodis nostri nobis in baptismo a Deo assignati et dati objecta ratio et reprehensio. Unde fit ut baptismo non lustrati non tantos, sed multo minores conscientiæ stimulos ex malis perpetratis in anima sentiant, quam baptizati.

Αἴσθησις γεννᾷ κακοῦ ἢ κατάπαυσιν, ἢ μείωσιν· συναίσθησις δὲ γέννημα συνειδήσεως. Συνείδησις δέ ἐστι λόγος καὶ ἔλεγχος τοῦ ἡμετέρου φύλακος τοῦ ἐκ βαπτίσματος παραδοθέντος ἡμῖν. Διόπερ οὐδὲ τοσοῦτον τοὺς ἀφωτίστους εὑρίσκομεν τυπτομένους ἐπὶ ταῖς κακαῖς πράξεσιν ἐν τῇ ἑαυτῶν ψυχῇ· ἀλλ' ἀμυδρῶς πως.

Diminutio mali parit abstinentiam a malo. Abstinentia autem a malo principium est pœnitentiæ, pœnitentia autem initium est salutis, initium salutis bonum propositum.

Μείωσις μὲν κακοῦ τίκτει ἀποχὴν κακοῦ· ἀποχὴ δὲ κακοῦ (13), ἀρχὴ μετανοίας· ἀρχὴ δὲ μετανοίας ἀρχὴ σωτηρίας· ἀρχὴ δὲ σωτηρίας πρόθεσις ἀγαθή.

Bonum propositum creatrix est laborum, laborum initium sunt virtutes, initium autem virtutum flos, flos autem virtutis, bona actio, virtutis partus est assiduitas; assiduæ exercitationis fructus et fetus est habitus; habitus soboles est quædam animi modificatio, quæ parens est boni timoris Domini.

Πρόθεσις δὲ ἀγαθὴ γεννήτρια πόνων· πόνων δὲ ἀρχὴ, ἀρεταί· ἀρχὴ δὲ ἀρετῶν ἄνθος· ἄνθος δὲ ἀρετῆς ἐργασία· ἀρετῆς δὲ γέννημα συνέχεια· συνεχεστέρας δὲ μελέτης καρπὸς καὶ γέννημα, ἕξις· ἕξεως δὲ τόκος ποίωσις· καλοῦ δὲ ποίωσις εννήτρια φόβου.

Timor parit divinorum et humanorum præceptorum observationem. Legum custodia signum est charitatis, charitatis initium alta et multa humilitas.

Φόβος δὲ τίκτει τήρησιν ἐνταλμάτων (14), ἐπουρανίων λέγω δὴ καὶ ἐπιγείων· ἐνταλμάτων φυλακὴ ἀγάπης τεκμήριον· ἀγάπης δὲ ἀρχὴ πλῆθος ταπεινώσεως.

Multa humilitas est proles summæ animæ tranquillitatis, **399** cujus possessio est complementum charitatis, sive perfecta et intima Dei familiaritas, cum iis qui ab omni vitioso affectu liberi, sunt mundo corde, quoniam ipsi Deum videbunt [87], cui gloria in omnes omnium sæculorum æternitates.

Πλῆθος δὲ ταπεινώσεως θυγάτηρ ἀπαθείας· ταύτης δὲ κτῆσις ἀγάπης πλήρωμα· εἶτ' οὖν Θεοῦ τελεία ἐνοίκησις τοῖς δι' ἀπαθείας καθαροῖς τῇ καρδίᾳ· ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

SCHOLIA.

Ad enumerationem et summam superiorum graduum.

Scholion 1.

Argumentum est mentem rebus quæ ad intelligentiam pertinent, vacare, quando contemnit omnia, quæ sensum movere possunt.

Aliud.

Vita in Deo est, mors sensuum. Quando autem vixerit cor, cadunt sensus.

Aliud.

Quando reviviscunt sensus, moritur cor; et quando hi revixerint, signum est cor a Deo per mortem peccati recessisse.

Scholion.

Qui se bonis omnibus abdicavit, non habet unde ex amissione alicujus perturbetur.

[87] Matth. v, 8.

ΣΧΟΛΙΑ.

Εἰς ἀναπεφαλαίωσιν τῶν λόγων ἀνωτέρων.

Σχόλιον α'.

Σημεῖον ὅτι σχολάζει ὁ νοῦς περὶ τὰ νοητὰ, τὸ πάντα περιφρονεῖν τὰ τὴν αἴσθησιν σαίνοντα.

Ἄλλο.

Ζωὴ ἐν Θεῷ ἡ κατάπτωσις τῶν αἰσθήσεων· ὅταν δὲ ζήσῃ ἡ καρδία, καταπίπτουσιν αἱ αἰσθήσεις.

Ἄλλο.

Ἡ ἀνάστασις τῶν αἰσθήσεων, ἐστὶν ἡ νέκρωσις τῆς καρδίας· καὶ ὅταν αὗται ἀναστῶσιν, ἐστὶ σημεῖον τῆς νεκρώσεως τῆς καρδίας ἀπὸ Θεοῦ.

Σχόλιον.

Ὁ γὰρ ἀκτήμων οὐχ ἕξει τί οὗ τῇ ἀφαιρέσει λυπηθήσεται.

Σχόλιον.

Τῶν ἀνθρώπων δηλονότι.

Σχόλιον.

Φύσει γὰρ τῇ ἐλάφῳ ὁ πρὸς τὰ ἑρπηστικὰ πόλεμος.

Σχόλιον β'.

Ἡ μετὰ λόγου εὐδιάκριτος ἔνδεια καὶ στενότης, βασιλικὴ ἐστιν ὁδὸς, ὥστε ὁ ἀδιάκριτος ὑποπιασμὸς ἢ ἄλογος συγκατάβασις ἀσύμφορά εἰσιν, ὡς ἑκατέρωθεν παρὰ λόγον γινόμενα.

Σχόλιον γ'.

Αἰσχρόν ἐστι τοὺς φιλοσάρκους καὶ γαστριμάργους περὶ τῶν πνευματικῶν ἐρευνῆσαι, ὥσπερ καὶ πόρνους περὶ σωφροσύνης λαλῆσαι. Ἐν γαστρὶ γὰρ πεπληρωμένῃ γνῶσις Θεοῦ μυστηρίων οὐκ ἔστιν.

Σχόλιον Βαρσανουφίου δ'.

Ἡ ἀντιλογία πολλοὺς ἀνθρώπους ἀπώλεσεν, ὡς καὶ τοὺς περὶ Δαθὰν καὶ Ἀβειρὼν τοὺς ἀντιστάντας τῷ Μωσῇ· καὶ τοῦτο σημεῖόν ἐστι κακόν· ὅτι εἰ τὸν ἀββᾶν αὐτοῦ οὐκ ἐντρέπεταί τις, τίνα ἔχει διατραπῆναι; Τὸ δὲ μὴ διατρέπεσθαί τινα, σημεῖόν ἐστι ἀθαρσίας λογισμοῦ· καὶ αὕτη ἡ ἀθαρσία τῆς νουθεσίας ἐστὶ τοῦ διαβόλου, καὶ οἱ τὸ αὐτὸ ποιοῦντες τέκνα αὐτοῦ γίνονται· καὶ ποῖα γίνεται αὐτοῖς; Οἱ τοιοῦτοι ἐξορίᾳ ἐξώρισαν ἑαυτοὺς τῆς ταπεινώσεως· καὶ ὁ Δαυὶδ λέγει· *Ῥῦσαί με ἐξ ἀντιλογίας λαοῦ.*

Σχόλιον Φωτίου ε'.

Λογισμοὶ πονηροὶ ἐν κολπίῳ θαλπόμενοι κρυφιότητος πολλὴν τὴν σῆψιν καὶ τὸ ἕλκος δυσίατον ἀπεργάζονται· ἀναλυπτόμενοι δὲ οἷς ἐπιστήμη καὶ σοφία θεραπεύειν ταῦτα, οὐ χαλεπῶς τυγχάνουσιν τῆς ἰάσεως.

Σχόλιον ς'.

Ἐρώτ. Τί ἐστι μετάνοια; Ἀπόκ. Καρδία συντετριμμένη.

Σχόλιον ζ'.

Κατόπτροις ἐοίκασιν οἱ λόγοι· καὶ ὥσπερ ἐν ἐκείνοις ὁ τοῦ σώματος τῆς μορφῆς ἐμφανίζεται τύπος· οὕτως ἐν ταῖς ὁμιλίαις, τὸ τῆς ψυχῆς εἶδος καθορᾶται χαρακτηριζόμενος.

Σχόλιον η'.

Ὅτι ὅσοι ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, καὶ ἐν τῇ σαρκὶ καταλελημμένοι, ἐὰν τῆς ἀψίδος ἄχρι τοῦ οὐρανοῦ ὑψωθῶμεν, χωρὶς ἔργου καὶ μόχθου γενέσθαι ἡμᾶς, καὶ ἐν ἀμεριμνίᾳ εἶναι οὐ δυνάμεθα.

Σχόλιον θ'.

Πίστις ἀεργὸς καὶ ἔργον ἄπιστον τὸν αὐτὸν τρόπον ἀποδοκιμασθήσεται. Δεῖ γὰρ τὸν πιστὸν πίστιν ἐπιδεικνυμένην τοῖς πράγμασι τῷ Κυρίῳ προσφέρειν· οὔτε γὰρ τῷ πατρὶ ἡμῶν Ἀβραὰμ εἰς δικαιοσύνην λελόγιστο ἡ πίστις, εἰ μὴ καρπὸν αὐτῆς τὸν παῖδα προσήνεγεν.

Σχόλιον Ἰσαΐου ι'.

Ἐὰν πάντα ποιήσῃ ἄνθρωπος· ὑπακοὴν δὲ καὶ ταπείνωσιν μὴ κτήσηται ἐκκλίνει εἰς τὸ παρὰ φύσιν.

[88] Num. xvi, 1 seqq. [89] Psal. xxx, 21.

(a) Id est, contradictio, obmurmuratio.

Scholion.

Hominum nempe.

Scholion.

Cervo naturale bellum est cum reptilibus et serpentibus.

Scholion 2.

Egestas et angustiæ cum ratione et recto judicio susceptæ regia via sunt (ad cœlum). Ita ut vexatio [afflictio corporis] sine judicio facta, conniventia sine ratione inutilia sint, quasi quæ utrinque ratione sint destituta.

Scholion 3.

Turpe est quando mancipia carnis et ventris de rebus spiritualibus subtiliter disputant, et libidinosi de temperantia disserunt. In abdomine enim saturo cognitio mysteriorum Dei non est.

Scholion Barsanuphii 4.

Oblocutio (*a*) multos mortales perdidit, quemadmodum Dathan et Abiron, **400** qui Mosi contradixerunt [88]. Et hoc malum est signum. Quia si quis abbatem suum non reveretur, quem reverebitur? Neminem autem revereri, diffidentiæ mentis argumentum est. Diffidentia autem ex diaboli impulsu nascitur, cui qui parent, filii sunt diaboli. Et quæ eveniunt illis? Tales seipsos ab humilitate proscriptos exsilio damnaverunt. Et David dicit [89], *Libera me a contradictione populi* (*a*).

Scholion Photii 5.

Cogitationes malæ in sinu fotæ et absconditæ multam putredinem ac saniem ulcusque prope incurabile procreant. Cum autem aperiuntur iis quibus est his medendi scientia et sapientia, sine labore curantur.

Scholion 6.

Quid est pœnitentia? Cor contritum.

Scholion 7.

Verba similia sunt speculis; quemadmodum enim in illis forma corporis repræsentatur, ita in sermonibus expressus formæ animæ character spectatur.

Scholion 8.

Quotquot sumus in hoc mundo, corporeque circumsepti, etiamsi ad convexa cœli rapiamur et evehamur, sine labore tamen et sudore, curaque esse non possumus.

Scholion 9.

Fides destituta operibus et opera sine fide pari modo damnabuntur. Oportet enim ut fidelis fidem suam operibus comprobatam Domino offerat. Neque enim patri nostro Abraham in justitiam reputata fuisset fides, si fructum illius, filium suum (ad sacrificandum) non adduxisset.

Isaiæ 10.

Si omnia præstiterit homo, obedientia autem et humilitate caruerit, declinat extra naturæ leges.

(*b*) Γλωτσῶν, *linguarum.*

Scholion.

Principio abdicationis medio et fini seu perfectioni.

Scholion 11.

Pericula intelligit tentationes, sicut sonos phantasiæ, plagas.

Aliud.

Quomodo accipiendum illud est quod qui pericula sustineat, coronetur, **401** an qui omnino non cedat periculorum illectamentis, sed perseveret in tolerantia malorum et virtutem non prodat ?

Scholion 12.

Sensus spiritualis est ita affectus, ut possit vim contemplandi recipere, quemadmodum pupilla oculorum corporeorum, [qui lumen continent in se, quod sub sensum cadit.

Scholion 13.

Bonum comprehendi et attingi nullo modo potest, nisi ab eo qui penitus a malo prius desistat, et illud rejiciat. Ut nemo sanitatem recipere potest, nisi prius a morbo liberetur.

Aliud.

Declina a malo, et fac bonum [90]. Hoc est, pugna adversus hostes, ut vitiosas cupiditates imminuas. Deinde sobrie vive, ne augeantur, rursusque decerta ut virtutes tibi compares : iterum abstinete, ut eadem custodias. Et hoc erit operari bonum.

Scholion Isaaci 14.

Timor est virga spiritualis quæ regit nos quoad veniamus in paradisum bonorum spiritualium, et quando ibi fuerimus, dimittit nos, et abit.

Σχόλιον.

Τῇ ἀρχῇ τῆς ἀποταγῆς, [τῇ μεσότητι καὶ τῇ τελειότητι.

Σχόλιον ια'.

Κινδύνους φησὶ τοὺς πειρασμούς, οἷον, κτύπους φαντασίας πληγάς.

Ἄλλο.

Πῶς ἔστιν εἰπεῖν κινδύνους ὑπομένοντα στεφανοῦσθαι, ἢ πάντως, τὸν μὴ ὑπενδόντα ταῖς τῶν κινδύνων ἀφορμαῖς· ἀλλ' ἐγκαρτεροῦντα τοῖς δεινοῖς, καὶ μὴ προδιδόντα τὰς ἀρετάς ;

Σχόλιον ιβ'.

Αἴσθησις πνευματική ἐστιν, ἡ ποιωθεῖσα δέξασθαι τὴν δύναμιν τὴν θεωρητικὴν, ὡς ἡ κόρη τῶν σωματικῶν ὀφθαλμῶν, τῶν ἐν αὐτοῖς ἐχόντων τὸ φῶς τὸ αἰσθητόν.

Σχόλιον ιγ'.

Ἀμήχανον ἅψασθαι τοῦ ἀγαθοῦ μὴ ἀποστάντα πρότερον παντελῶς καὶ ἐκνεύσαντα τοῦ κακοῦ· ὡς ἀμήχανον ὑγείαν ἀναλαβεῖν μὴ τῆς νόσου ἀπαλλαγέντα.

Ἄλλο.

Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν τουτέστι, Πολέμησον τοὺς ἐχθροὺς ἵνα μειώσῃς τὰ πάθη. Ἔπειτα δὲ νῆφε, ἵνα μὴ αὐξήσωσιν· αὖθίς τε πολέμησον, ἵνα κτήσῃ τὰς ἀρετάς· καὶ μετέπειτα νῆφε, ἵνα αὐτὰς διαφυλάξῃς· καὶ τοῦτο ἂν εἴη τὸ ἐργάζεσθαι ἀγαθόν.

Σχόλιον Ἰσαὰκ ιδ'.

Φόβος ἐστὶ ῥάβδος πνευματικὴ κυβερνῶσα ἡμᾶς, ἕως ἂν φθάσωμεν εἰς τὸν παράδεισον τῶν ἀγαθῶν τῶν πνευματικῶν· καὶ ὅταν ἐκεῖ φθάσωμεν, ἀφίησιν ἡμᾶς καὶ στρέφεται.

GRADUS XXVII.

De sacra corporis et animæ quiete (sive de vita anachoretica et solitaria.)

Nos cum velut emptitii quidam et improbis vitiorum affectibus obnoxii servi facti simus, ex hoc ipso improbas artes mores, imperia, malas technas dominantium in miseras animas nostras improborum spirituum utcunque didicimus. Alii quippe reperiuntur qui Spiritus sancti virtute illustrati improbis illorum machinationes, a quibus jam sunt liberati deprehenderunt. **402** Alius enim ex morbi dolore, quem æger sensit, sanitatis quietem conjicit ; alius vero ex sanitatis gaudio molestiam morbi percipit, et conjectura assequitur. Et hinc est quod nos velut ægri et imbecilles apud vos de quietis solitariæ portu verba facere, et philosophari reformidemus, cum haud ignoremus semper canem aliquem ad optimæ sodalitatis et cœtus mensam astare, qui panem (sive animam) ex illa abripere conatur, quem ore ferens deinceps, atque aufugiens clam et seorsum devoret. Itaque ne lo-

ΛΟΓΟΣ ΚΖ'.

Περὶ τῆς ἱερᾶς σώματος καὶ ψυχῆς ἡσυχίας.

Ἡμεῖς ὥσπερ ἀεὶ ωνήσιμοί τινες τῶν ἀνοσίων παθῶν ὑπάρχοντες (1), καὶ δοῦλοι ὑπόσπονδοι γενόμενοι ἐκ τούτου καὶ τοὺς δόλους καὶ τρόπους καὶ τὰς ἐπιταγὰς, καὶ τὰς πανουργίας ποσῶς ἐπιστάμεθα τῶν δεσποσάντων τῆς ἀθλίας ἡμῶν ψυχῆς Πνευμάτων. Ἕτεροι γὰρ ὑπάρχουσι, οἱ δι' ἐνεργείας πνεύματος ἁγίου, καὶ τῆς τούτων ἀπαλλαγῆς εἰς τὰς μηχανὰς αὐτῶν φωτισθέντες. Ἄλλος μὲν γὰρ ὁ ἐκ τῆς ἐν τῇ νόσῳ ὀδύνης τὴν τῆς ὑγείας στοχαζόμενος ἀνάπαυσιν, καὶ ἕτερος ὁ ἐκ τῆς ἐν τῇ ὑγείᾳ εὐθυμίας τὴν ἐν τῇ νόσῳ ἀθυμίαν καταλαμβανόμενος καὶ τεκμαιρόμενος. Τοίνυν ἡμεῖς ὡς ἀσθενεῖς ὀδοιλκαμεν ὑμῖν νῦν περὶ τοῦ τῆς ἡσυχίας λιμένος ἐν τῷ λόγῳ φιλοσοφεῖν, ἐπιστάμενοι ἀεὶ παρίστασθαί τινα κύνα ἐν τῇ τραπέζῃ τῆς καλῆς συνοδίας, καὶ ἄρτον, ἤγουν ψυχὴν, ἐκ ταύτης ἁφαρπάζειν δοκιμάζοντα. Καὶ τοῦτον τῷ στόματι ἐπιφερόμενον λοιπὸν ἀποτρέχοντα, καὶ καθ' ἡσυχίαν τοῦτον ἐσθίοντα. Διὸ ἵνα

[90] Psal. xxxvi. 27.

μὴ τούτῳ χώραν τῷ κυνὶ διὰ τοῦ ἡμετέρου δῶμεν λόγου, καὶ ἀφορμὴν τοῖς ζητοῦσι, οὐ θέμις ἡγησάμεθα τοῖς ἐν τῷ πολέμῳ τυγχάνουσιν ἐμψύχοις τοῦ βασιλέως ἡμῶν πολεμισταῖς, περὶ εἰρήνης νῦν διαλέγεσθαι. Ἐκεῖνο δὲ μόνον λέγομεν, ὅτι τοῖς εὐτόνως πολεμοῦσιν, οἱ τῆς εἰρήνης καὶ γαλήνης περιεπλάκησαν στέφανοι. Ὡς ἐν διακρίσεως οὖν τύπῳ, εἰ δοκεῖ, μικρὰ νῦν λέγωμεν, ὅσον μὴ λυπῆσαί τινας ὡς ἀγύμναστον τὸν περὶ τούτων λόγον ἐν τῷ μεταξὺ καταλείψαντες.

A cum huic cani, et occasionem quærentibus, per nostrum sermonem demus, nefas esse duximus apud eos de pace disputare, qui in imperatoris nostri prælio fortissimi bellatores versantur. Illud tantum affirmamus iis qui fortiter in bello faciunt et depugnant, etiam eorum coronas et præmia, qui in pace et tranquillitate solitudinis versantur, esse reposita. Pauca ergo velut per discretionis formam, si ita videtur, dicamus, ne prætereundo velut inexpertum hunc locum et sermonem in medio relinquamus, et aliquos in mœrorem inde et tristitiam conjiciamus.

Ἡσυχία μὲν σώματός ἐστιν ἠθῶν καὶ αἰσθήσεων ἐπιστήμη καὶ κατάστασις· ἡσυχία δὲ ψυχῆς (2), λογισμῶν ἐπιστήμη καὶ ἀσύλητος ἔννοια. Ἡσυχίας φίλος, ἀνδρεῖός τις καὶ ἀπότομος λογισμός, ἐν θύρᾳ καρδίας ἀνυστάκτως ἱστάμενος, καὶ τοὺς προσερχομένους, ἢ κτείνων, ἢ ἀποσειόμενος. Ὁ ἐν αἰσθήσει καρδίας ἡσυχάζων, γινώσκει τὸ εἰρημένον· ὁ δὲ νήπιος ἔτι ὤν, ταύτου ἄγευστος καὶ ἄγνωστος πέλει. Ἡσυχαστὴς γνωστικὸς οὐ δεηθήσεται λόγων· τοὺς γὰρ λόγους τῶν ἔργων φωτίζεται. Ἀρχὴ μὲν ἡσυχίας τὸ ἀποσείεσθαι κτύπους, ὡς τὸν βυθὸν ταράσσοντας· τέλος δὲ ταύτης, τὸ μὴ δεδιέναι θορύβους· ἀλλ' ἀναισθητεῖν ἐν τούτοις. Προερχόμενος, ὁ λόγῳ οὐ προερχόμενος, ἥπιος, ἀγάπης ὅλος οἶκος· δυσκίνητος πρὸς λόγον, ἀκίνητος πρὸς θυμὸν πέφυκεν εἶναι. Τὸ δὲ ἐναντίον πρόδηλον· ἡσυχαστής ἐστιν ὁ τὸ ἀσώματον ἐν σωματικῷ οἴκῳ περιορίζειν φιλονεικῶν, τὸ παράδοξον· τηρεῖ μὲν μῦν ἡ τούτου θηρεύτρια· μῦν δὲ νοητὸν, ἡσυχαστοῦ ἔννοια. Μὴ ἔστω σοι ἀπόβλητον τὸ προλεχθὲν ὑπόδειγμα· εἰ δὲ μή, οὔπω ἡσυχίαν ἐγνώρισας. Οὐχ οὕτως μοναχὸς (3) [ἡσυχαστής], ὡς μοναχὸς μοναχῷ. Ὁ μοναχὸς νήψεως πολλῆς, καὶ ἀρεμβάστου νοὸς δέεται· τῷ μὲν προτέρῳ πολλάκις ἐβοήθησεν ἕτερος· τῷ δὲ δευτέρῳ συνήργησεν ἄγγελος· νοεραὶ δυνάμεις συλλειτουργοῦσι, καὶ φιλοχωροῦσιν ἐν ψυχικῷ ἡσυχαστῇ. Τὸ δὲ ἐναντίον σιωπήσω σοι (4)· δογμάτων βυθὸς βαθὺς, νοῦς δὲ ἡσυχαστοῦ ἄλλεται οὐκ ἀκινδύνως ἐν αὐτοῖς (5)· οὐκ ἀσφαλὲς μετ' ἐσθῆτος νήχεσθαι· οὐδὲ πάθος ἔχοντα θεολογίας ἅπτεσθαι. Κέλλη μὲν ἡσυχαστοῦ περιορισμὸς σώματος, ἔνδοθεν ἔχουσα οἶκον γνώσεως. Ὁ ψυχικὸν πάθος νοσῶν, καὶ ἡσυχίαν [ἡσυχίᾳ] ἐπιχειρῶν ὅμοιός ἐστι τῷ ἐν τῷ πελάγει ἐκ τῆς νηὸς ἐκπηδήσαντι, καὶ ἐν σανίδι ἐπὶ τὴν γῆν ἀκινδύνως φθάνειν δοκοῦντι· ὅσοι τῇ πηλῷ μάχονται, τούτοις ἐν καιρῷ οἰκείῳ ἡ ἡσυχία συντρέχεται [*al.* συνέρχεται], εἴπερ καὶ τὸν ἐφοδηγοῦντα κέκτηνται· τὸ γὰρ μεμονωμένον ἀγγελικῆς ἰσχύος δέεται· ἐμοὶ λόγος περὶ ὄντως ἡσυχαστῶν σώματι καὶ πνεύματι. Ἡσυχαστὴς ἀπορῥαθυμήσας λαλήσει ψεύδη, τοὺς ἀνθρώπους αὐτὸν τῆς ἡσυχίας παῦσαι διὰ τῶν αἰνιγμάτων προτρεπόμενος. Καταλείψας τὴν κέλλαν, αἰτιᾶται δαίμονας, λέληθε δὲ αὐτὸς ἑαυτῷ δαίμων γενόμενος. Εἶδον ἡσυχαστὰς, καὶ τὴν φλεγομένην αὐτῶν πρὸς Θεὸν ἐπιθυμίαν διὰ τῆς ἡσυχίας ἀπληρώτως πληρώ-

Quies corporis est motuum et sensuum cognitio et compositio. Quies animæ, est scientia cogitationum, et secura seu inviolabilis mentis meditatio. Solitudinis amans est fortis quædam et severa cogitatio, quæ in foribus cordis inconnivens excubat, et irruentes cogitationes aut opprimit aut rejicit. Qui in sensu cordis conquiescit, intelligit quod jam **403** dictum est. Infans autem seu tiro, quia hoc nunquam gustavit, quid sit ignorat. Prudens [peritus] quietis cultor non indiget multis verbis; factis enim ipsis verba interpretatur et illustrat. Principium quietis est omnes strepitus, ut qui ima cordis perturbant, removere. Finis autem [illegible], nec timere quidem ullos amplius [illegible]tus, sed immotos et sine sensu quasi in illis persistere. Qui progreditur et non loquitur, mansuetus est, et plenum charitatis domicilium. Qui ægre ad loquendum permovetur ad iram omnino permoveri non potest. His contraria sunt aperta. Solitarius seu quietis et solitudinis studiosus is est qui naturam incoream corporis sui domicilio (quod sane paradoxum et rarum est) circumscribere et concludere conatur. Aucupatur quidem murem venatrix hujus felis : sed murem spiritualem (seu dæmonem) solitarii intenta mens et cogitatio. Non videatur tibi quod dixi exemplum contemnendum : aut certe nescis quid sit solitaria vita. Monachus solitarius non est ut monachus cœnobita, ubi alter cum altero vivit. Solitarius multo jejunio multaque mentis constantia indiget. Priori (*a*) (seu cœnobitæ) sæpe alter opem tulit ; alteri autem seu solitario angelus succurrit. Angelicæ virtutes cum solitario [spirituali] libenter versantur, agunt et ministrant. Contrarium non est quod tibi dicam. Dogmatum altitudo est ingens et profunda in quæ mens solitarii non sine periculo se immittet. Non sine discrimine vestibus involutus natat, neque divina mysteria et arcana theologiæ capit vitiis obnoxius. Cella solitarii **404** continet corpus, et intus habet domicilium cogitationis. Qui morbis animi laborat, et tamen vitam solitariam audet aggredi, perinde facit ac qui in alto mari ex navi desilit in fluctus, et in tabula existimat se sine periculo in portum evasurum. Qui cum luto corporis et carnis suæ luctantur, his suo tempore vita solitaria convenit, si tamen religiosum vi-

(*a*) Voces *prior* et *posterior* essent commutandæ. Nempe prior est solitarius ; alter cœnobita.

tæ ducem habuerint. Quod enim solitarium est, angelica tutela et virtute indiget. Loquor ego iterum de veris solitariis corpore et spiritu (ab omni humano consortio sejunctis). Solitarius ignavus proferet mendacia, quando per obscuros sermones ab hominibus, ut a solitaria vita desistat, incitatur. Ubi cellam deseruit, culpam in diabolum confert, ignarus quod ipse sibi diabolus sit factus. Vidi ego solitarios qui ardens suum erga Deum desiderium, per solitariam quietem inexplebili modo explerent, cum ignem ex igne, amorem ex amore, desiderium ex desiderio procrearent et augerent. Solitarius est terrestris forma angeli, qui orationem suam ab ignavia et negligentia per chartam desiderii et litteras diligentiæ liberavit. Solitarius est qui libere exclamat : *Paratum cor meum, Deus* [91]. Solitarius ille est qui dicit : *Ego dormio, et cor meum vigilat* [92]. Cellæ januam occlude corpori, linguæ januam loquelæ, et animæ claustra interiora malis spiritibus. Serenitas et sol meridianus nautæ patientiam ostendunt ; rerum vero necessariarum inopia tolerantiam solitarii comprobant : nam ille impatientia **405** victus aquis innatat ; hic tædio solitudinis affectus hominum turbis se miscet. Non est quod vani strepitus ludibria formides, luctus enim temere aut terreri nescit. Quorum mens veræ orationi insuevit, illi cum Deo facie ad faciem tanquam in aurem regis loquuntur. Qui ore duntaxat precantur, illi velut in sæculo versantur, illi in medio tumultus præsente toto populo regi supplicant. Quod si precandi artem probe calles, non potes ignorare quod dictum est. In alta specula residens observa (si tamen hoc nosti) et tunc videbis quo pacto et quando, et unde, et quam multi, et cujusmodi latrunculi seu fures ad vineam tuam vastandam irrepant. Mente fatigata surget et precibus operam dabit, tum rursus residebit, et operi priori alacriter vacabit.

σαντας· καὶ πῦρ πυρὶ, καὶ ἔρωτι ἔρωτα, καὶ πόθῳ πόθον γεννήσαντας. Ἡσυχαστής ἐστι τύπος ἀγγέλου ἐπίγειος χάρτῃ πόθου καὶ σπουδῆς γράμμασι τὴν ἑαυτοῦ προσευχὴν ῥᾳθυμίας καὶ ὀλιγωρίας ἐλευθερώσας. Ἡσυχαστής ἐστιν ὁ βοήσας ἐναργῶς· *Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός*. Ἡσυχαστής ἐστιν ἐκεῖνος ὁ εἰπών· *Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ*. Κλεῖε μὲν θύραν κέλλης σώματι· καὶ θύραν γλώσσης φθέγμασι, καὶ ἔνδον πύλην πνεύμασι. Γαλήνη μὲν, καὶ μεσημβρία ἡλίου ὑπομονὴν ναύτου ἤλεγξεν (7)· ἀπορία δὲ χρειῶν, καρτερίαν ἡσυχαστοῦ ἐφανέρωσεν· ὁ μὲν ἀθυμῶν νήχεται ὕδασιν· ὁ δὲ ἀκηδιῶν φύρεται πλήθεσι (8). Μὴ φοβοῦ κτύπων ἀθύρματα· δειλίαν γὰρ πένθος οὐκ ἐπίσταται· οὐδὲ πτύρεται. Ὃν ὁ νοῦς μεμάθηκεν ἀληθῶς εὔχεσθαι, οὗτοι κυρίῳ ἐνωπίως ἐνωπίῳ λαλοῦσιν, ὡς πρὸς τὸ οὖς τοῦ βασιλέως. Ὃν τὸ στόμα εὔχεται, οὗτοι ἐπὶ πάσης τῆς συγκλήτου αὐτῷ προσπίπτουσιν. Ὅσοι ἐν κόσμῳ διατρίβουσιν, οὗτοι ἐν μέσῳ τοῦ θορύβου παντὸς τοῦ δήμου τὸν βασιλέα ἱκετεύουσιν. Εἰ τὴν τέχνην ἐπισταμένως μεμάθηκας, οὐκ ἀγνοεῖς τὸ λεγόμενον. Καθεζόμενος ἐφ' ὕψους τήρει, εἰ ἄρα καὶ ἐπίστασαι, καὶ τότε ὄψει πῶς, καὶ πότε, καὶ πόθεν· καὶ πόσοι, καὶ ποῖοι κλέπται εἰσελθεῖν, καὶ κλέψαι τοὺς βότρυας ἔχουσι. Ἀποκαμὼν ὁ σκοπὸς, ἀναστὰς προσεύχεται, καὶ πάλιν καθίσας τῆς προτέρας ἐργασίας ἀνδρείως ἔχεται.

Statuerat quispiam qui harum rerum usum et experientiam habebat, subtilius et accuratius super his disserere ; sed veritus est ne strenuos athletas segniores redderet, et alacriter currentes verborum strepitu deterreret. Qui de solitudinis quiete subtilius et eruditius disputat, dæmonum rabiem in se concitat : nemo enim alius horum turpes et absurdas machinationes tam luculenter potest in lucem proferre. Solitudinis quietæ sectator alta arcanorum divinorum penetrat, ad quæ non aspirat nisi prius tumultus fluctuum et dæmonum status ac turbines et viderit et audierit, et fortasse etiam fuerit iis respersus. Confirmat **406** hoc auctoritate sua Paulus, qui nisi in paradisum tanquam in solitariam quietem raptus fuisset, nunquam potuisset arcana verba audire. Auris in solitudine posita accipiet a Deo inusitata. Quapropter et apud Job sapientissima hæc quies dixit : *Utrum non accipiet auris mea inusitata ab eo* [93] ? Solitarius est, qui ita omnes (sine odio tamen) refugit, ut alius ad omnes facile accurrit. Quod solitarius facit, ne dulcedinis divinæ jacturam faciat. Abiturus omnia tua

Ἠβούλετό τις ἐν πείρᾳ περὶ τούτων γεγονὼς λεπτῶς καὶ ἠκριβωμένως εἰπεῖν· ἀλλὰ πεφόβηται, μήπως καὶ τοῖς ἐργάταις ῥᾳθυμίαν ἐμποιήσῃ, καὶ τοὺς προαιρουμένους τῷ κτύπῳ τῶν λόγων ἀποσοβήσῃ. Ὁ περὶ ἡσυχίας λεπτῶς καὶ γνωστικῶς ἐξηγούμενος, διήγειρε καθ' ἑαυτοῦ δαίμονας· οὐδεὶς γὰρ ἕτερος τὰς τούτων ἀσχημοσύνας θριαμβεῦσαι δύναται. Ὁ ἡσυχίαν καταλαβὼν ἔγνω βυθὸν μυστηρίων, οὐ κατελήλυθε δὲ ἐν τούτῳ εἰ μὴ πρώην τοὺς τῶν κυμάτων θορύβους καὶ πνευμάτων ἀνέμους, καὶ εἶδε καὶ ἤκουσεν· ἴσως καὶ ἐρραντίσθη. Κυρεῖ τὸ εἰρημένον Παῦλος· εἰ μὴ γὰρ ἐν παραδείσῳ ὡς ἐν ἡσυχίᾳ ἡρπάγη, οὐκ ἂν ἄρρητα ῥήματα ἀκοῦσαι ἠδύνατο. Τῆς ἡσυχίας τὸ οὖς δέξεται παρὰ Θεοῦ ἐξαίσια. Διὸ καὶ ἐν τῷ Ἰὼβ αὕτη ἡ πάνσοφος ἔλεγε· *Πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ' αὐτοῦ* (9). Ἡσυχαστής ἐστιν ὁ οὕτως φεύγων ἀμίσως, ὡς ἕτερος προστρέχων ῥᾳθύμως ἐκκοπὴν γλυκύτητος Θεοῦ λαβεῖν μὴ βουλόμενος. Ἀπελθὼν σκόρπισόν σου (a) συντόμως· τὸ γὰρ, *Πώλησόν σου, χρόνου, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς* (10), ἵνα δι' εὐχῆς πρὸς τὴν ἡσυχίαν συνδράμωσι· ἆρον τὸν σταυρὸν

[91] Psal. LVI, 8. [92] Cant. V, 2. [93] Job IV, 12.— Latina Sept. Interpr. habet *indecentia*, quod non est ad rem

(a) Al. deest σοῦ. Fortasse rescribendum τά σου, *tua*.

σου, διὰ τῆς ὑπακοῆς τοῦτον βαστάζων (11)· καὶ τὸ βάρος τῆς ἐκκοπῆς τοῦ σοῦ θελήματος ἰσχυρῶς ὑπομένων· καὶ *δεῦρο λοιπὸν, ἀκολούθει μοι* πρὸς τὴν συνάφειαν τῆς μακαριωτάτης ἡσυχίας, καὶ διδάξω σε νοερῶν δυνάμεων ὁρωμένην ἐργασίαν καὶ πολιτείαν· οὐ κορεσθήσονται αὗται εἰς αἰῶνα αἰώνων αἰνοῦσαι τὸν Ποιητήν, οὐδὲ ὁ ἐν οὐρανῷ ἡσυχίας εἰσεληλυθὼς, ἀνυμνῶν τὸν **Κτίσαντα.** Οὐ φροντίσουσι περὶ ὕλης οἱ ἄϋλοι, οὐδὲ περὶ τροφῆς οἱ ἔνυλοι ἄϋλοι· οὐκ αἰσθήσονται οἱ πρότεροι βρώσεως, οὐδὲ δεηθήσονται οἱ δεύτεροι ὑποσχέσεως. Οὐ φροντίσουσιν ἐκεῖνοι περὶ χρημάτων καὶ κτημάτων, οὐδὲ οὗτοι περὶ κακώσεως πνευμάτων. Οὐ πρόσεστι τοῖς ἄνω ἔφεσις ὁρατῆς κτίσεως· οὐδὲ τοῖς κάτω, ἄνω ἐπιθυμίᾳ αἰσθητῆς ὄψεως· οὔποτε παύσονται τῇ ἀγάπῃ προκόπτοντες ἐκεῖνοι· οὐδὲ οὗτοι καθημέραν ἐκείνοις ἀμιλλώμενοι. Οὐκ ἄγνωστος παρ' ἐκείνοις τῆς προκοπῆς ὁ πλοῦτος, οὐδὲ τούτοις τῆς ἀναβάσεως ὁ ἔρως· οὐ σταθήσονται μέχρι τὰ Σεραφὶμ φθάσωσιν [*al.* φθάσουσι]· οὐδὲ κοπάσονται, ἄχρις ἄγγελοι γένωνται. Μακάριος ὁ ἐλπίζων· τρισμακάριος ὁ μέλλων ἄγγελος ὁ καταλαβών.

statim dispergе (illud enim : *Vende tua*, tempore indiget) *et da pauperibus* [94] monachis (ut per preces ad quietem solitariam concurrant), et tolle crucem tuam, per obedientiam hanc portans, et onus exscindendæ voluntatis propriæ fortiter sustinens, et tum *veni, sequere me* [95] ad felicissimæ quietis familiaritatem et conjunctionem, et docebo te cœlestium virtutum oculis spectandam actionem et vivendi rationem, quæ non satiabuntur laudando Deum rerum conditorem in omnes sæculorum æternitates, nec is qui cœlum solitudinis est ingressus cessabit Effectorem suum collaudare. Qui corpore carent, de corpore non erunt solliciti, neque qui in corpore vivunt sine corpore, de cibo. Illi priores, angeli, inquam non sentiunt alimentum, nec posteriores (solitarii nempe) aliorum ope vel promisso. Non curant illi pecunias et possessiones et opes; nec isti dæmonum vexationem. Nullo superi tanguntur rerum oculis subjectarum desiderio; nec solitarii, qui in terra sunt, et mente in cœlo **407** ulla rerum ab ipsis sensibus subjiciuntur, cupiditate præ rerum cœlestium desiderio, afficiuntur. Nunquam illi non proficient in charitate : neque hi quotidie illo emulari cessabunt. Non nesciunt illi profectus sui copias et thesauros, neque hi ascendendi desiderium et amorem; neque enim prius consistent, quam ad Seraphim usque aspirent, neque fatigabuntur, donec angeli fiant. Beatus qui sperat, ter beatus qui quod sperat futurum, angelus factus, captus est.

non proficient in charitate : neque hi quotidie illo emulari cessabunt. Non nesciunt illi profectus sui copias et thesauros, neque hi ascendendi desiderium et amorem; neque enim prius consistent, quam ad Seraphim usque aspirent, neque fatigabuntur, donec angeli fiant. Beatus qui sperat, ter beatus qui quod sperat futurum, angelus factus, captus est.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΖ'.

Περὶ ἱερᾶς ἡσυχ...

Σχόλιον α'.

Ὡς ἐν ἅπασι, καὶ ἐν τῇ παρούσῃ προσωποποιΐᾳ σει ἡ τοῦ Πατρὸς δοξάζεται μεγαλοφυΐα· ὠνητὸν γὰρ καὶ ὑπόσπονδον ἑαυτὸν ὀνομάζει ἀεὶ τῶν παθῶν· καὶ ὡς διὰ πείρας τῶν παθῶν, τὴν ἐπιστήμην εἰληφ... τῶν τοιούτων διαμαρτύρεται· τῆς πρὸς ἡσυχίαν ... καθ' ἑαυτοὺς ἀταράχου διαγωγῆς δηλονότι.

SCHOLIA AD GRADUM XXVII.

De sacra quiete.

Scholion 1.

Quemadmodum in omnibus, ita et in præsenti loco et prosopopœia seu personæ suæ inductione Climaci religiosi Patris magnitudo animi laudatur. Emptum enim vitiis seu vitiosis affectibus obnoxium dicit, et se per ea, quæ sunt vitiorum ad scientiam hujusmodi, vitæ nempe quietæ, et ab omni perturbatione liberæ pervenisse laudatur.

Σχόλιον Ἰσαΐου β'.

Ὁ ἐνδημῶν ἀεὶ τῇ ἑαυτοῦ καρδίᾳ ἐνδημεῖ πάντως τῶν τοῦ βίου ὡραίων. Πνεύματι γὰρ περιπατῶν, τὰς τῆς σαρκὸς ἐπιθυμίας εἰδέναι οὐ δύναται, ἐπειδὴ ... πὸν ἐν τῷ φρουρίῳ τῶν ἀρετῶν τοὺς περιπ... τοιοῦτος ποιεῖται· αὐτὰ, ὥστερ τὰς ἀρετὰς πυλωροὺς ἔχων τοῦ τῆς ἁγνείας πολίσματος· διὸ δὴ καὶ ἄπρακτοι λοιπὸν αἱ τῶν δαιμόνων τότε ἐπ' αὐτῷ γίνονται μηχαναί· καὶ ἄχρι τῶν θυρίδων τῆς φύσεως τὰ τοῦ πανδήμου ἔρωτος καταφθάσουσί πως βέλη.

Scholion Isaiæ 2.

Qui semper domi suæ habitat, ab omnibus hujus vitæ commodis et voluptatibus peregrinatur. Nam qui spiritu ambulat, desideria carnis sc... non potest, quia deinceps talis in præsidio virtutum (securus) obambulat, virtutes enim ipsas janitrices habet civitatis castimoniæ. Itaque et dæmonum artes, et machinæ adversus hunc deinceps vim nullam habent, et non nisi ad fenestras seu fores naturæ (et sensuum) grassatoris illius cupiditis tela descendunt.

Σχόλιον.

Ἑρμηνευόντων τὰ πράγματα ὑπὸ τοῦ ἁγίου Πνεύματος.

Scholion.

Operibus interpretantibus res et opera a Spiritu sancto profecta.

Σχόλιον γ'.

Οἶμαι αὐτὸν τοῦτο λέγειν, ὅτι Οὐχ οὕτως σώζεται τοῦ ὀλισθαίνειν ὁ μόνος, ὡς ὁ ἔχων μοναχὸς ἕτερον μεθ' ἑαυτοῦ μοναχόν· *Οὐαὶ γὰρ ἑνὶ*, ἦγουν, τῷ μόνῳ, καὶ τὰ ἑξῆς. Διὸ οὐχ οὕτως μοναχὸς ὡς μοναχὸς μοναχῷ· τοῦτ' ἔστιν, οὐ καλὸν οὕτως τὸ μόναν

Scholion 3.

408 Hoc dicere Climacum existimo : Non sic is qui solus degit ab exitio servatur, sicut monachus qui socium secum habet monachum : *Væ enim uni*, sive soli, et quæ sequuntur [96]. Itaque non sic monachus ut monachus monacho, hoc est, non tam bonum

[94] Matth. xix 21. [95] ibid. [96] Eccle. iv, 10.

esse statum solitarii quam ejus qui habet unum secum. Salvi enim fiunt et conservantur, dum alter alterum ad virtutem excitat. Ille autem status extremus [omnino] solitarii, formidabilis est valde quin et alter non omnino solitarii.

εἶναι, ὡς τὸ ἔχειν καὶ ἄλλον ἕνα· σώζονται γὰρ ἀλλήλους διεγείροντες. Τὸ δὲ τοῦ τέλεον μόνου, φοβερὸν πάνυ· καὶ τὸ τοῦ μὴ ὅλως μόνου.

Scholion 4.

Contrarium, quia maligni spiritus circumfunduntur nugatori et garrulo, et solo corpore frustra et temere incluso.

Σχόλιον δ'.

Ἐναντίον, ὅτι πονηρίας πνεύματα περιάγουσι τῷ φλυάρῳ καὶ πολυλόγῳ καὶ σωματικῶς μόνῳ κεκλεισμένῳ εἰκῇ.

Scholion 5.

Solitarium in dogmatibus fidei occupari periculosum.

Σχόλιον ε'.

Οὐκ ἀκίνδυνον περὶ δόγματα ἀσχολεῖσθαι ἡσυχαστήν.

Scholion 6.

Propterea concurrunt jejunium, vigiliæ, humi cubatio, preces, statio, sitis, labor et quæ sequuntur.

Σχόλιον ς'.

Διὰ ταῦτα συνέρχεται νηστεία, ἀγρυπνία, χαμευνία, εὐχή, στάσις, δίψα, κόπος, καὶ τὰ ἑξῆς.

Scholion 7.

Diligere commoda mundi, offundit menti tenebras; despicere autem illa, parit in omnibus cognitionem.

Σχόλιον ζ'.

Τὸ ἀγαπᾷν τὴν χρείαν τοῦ κόσμου, ποιεῖ τὴν ψυχὴν σκοτισθῆναι· τὸ δὲ παραβλέπειν αὐτὴν ἐν πᾶσι φέρει τὴν γνῶσιν.

Evagrii 8.

Non est deserenda quies et solitudo tempore tentationum quamcunque bonam in speciem causam sibi mens aut diabolus tibi proponat, fingat; sed intus sedendum et sustinendum et generose fortiterque omnes dæmones irruentes excipiendi, præsertim spiritus acediæ; qui super omnes molestus est et (victus) animam laudatissimam efficit. Declinare autem hujusmodi certamina et hosti cedere, rudem animum et ignavum et fugacem esse docet.

Σχόλιον Εὐαγρίου η'

Οὐ δεῖ κατὰ καιρὸν τῶν πειρασμῶν καταλιμπάνειν τὴν ἡσυχίαν, προφάσεις εὐλόγους δῆθεν πλαττόμενον· ἀλλ' ἔνδοθεν καθῆσθαι, καὶ ὑπομένειν, καὶ δέχεσθαι γενναίως τοὺς ἐπερχομένους ἅπαντας· ἐξαιρέτως δὲ τὸν τῆς ἀκηδίας δαίμονα, ὅστις ὑπὲρ πάντας βαρύτονος ὢν, δοκιμωτάτην μάλιστα ψυχὴν ἀπεργάζεται· τὸ δὲ φεύγειν τοὺς τοιούτους ἀγῶνας, καὶ περίστασθαι, ἄτεχνον τὸν νοῦν, καὶ δειλὸν, καὶ δραπέτην διδάσκει.

Scholion 9.

Hoc est : hoc aut illud sive suscipiet aut non suscipiet. Vox enim πότερον, id est, *utrum*, significat hoc aut illud.

Σχόλιον θ'.

Τοῦτ' ἔστι· τοῦτο ἢ ἐκεῖνο, ἤγουν δέξεται ἢ οὐ δέξεται· τὸ γὰρ, *πότερον* τοῦτο ἢ ἐκεῖνο σημαίνει.

Scholion 10.

Da pio, nec succurre peccatori (opibus tuis quibus abutatur) Benefac humili, et non impio.

Σχόλιον ι'.

Δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλαμβάνου τοῦ ἁμαρτωλοῦ· εὖ ποίησον ταπεινῷ, καὶ μὴ δῷς ἀσεβεῖ.

Scholion Isaaci 11.

Neque enim ita intellige quasi debeas teipsum in crucem agere et suspendere, atque ita sequi Christum, sed 409 teipsum cruci affiges extricando ab sæcularibus negotiis, ne illa amplius attingas. Et tuam semper mentem in anima tua crucifigas, ut ne sis negligens salutis tuæ. Nec recipiendæ tibi sunt improbæ cogitationes, sed prudenter cognoscendæ discernendæque, quod a diabolo sint profectæ. Expedienda enim mens est ab omni cura seu distractione ne ab illis interpelletur. Nisi enim expediveris, frustra precaris. Mens enim in curis illis versatur et occupatur: quamvis enim preceris, precatio tamen ad Deum non ascendit. Nisi enim orationem mundam fideque plenam obtuleris, a Deo non recipitur.

Σχόλιον Ἰσαάκ ια'.

Μηδὲ γὰρ ὡς ὀφείλων ἑαυτὸν ἐν ξύλῳ κρεμάσαι, καὶ ἀκολουθεῖν τῷ Κυρίῳ, οὕτως νόει· ἀλλὰ σταυρώσεις ἑαυτὸν ὀνομάζων ἐκ τῶν κοσμικῶν πραγμάτων, τοῦ μὴ ἅψασθαι· καὶ πάλιν ἵνα σταυρώσῃς τὸν νοῦν σου διὰ παντὸς ἐν τῇ ψυχῇ, ὅπως μὴ ἀμελήσῃς τῆς σωτηρίας σου. Καὶ οὐκ ὀφείλει καταδέχεσθαι τοὺς πονηροὺς λογισμοὺς, ἀλλὰ διακρίνειν εἰδέναι ὅτι τοῦ πονηροῦ εἰσιν· ἀπὸ παντὸς γὰρ περισπασμοῦ χρὴ λῦσαι τὸν νοῦν σου, ἵνα μὴ ὀχλῆται ὑπ' αὐτῶν· ἐὰν γὰρ μὴ λύσῃς, μάτην εὔχῃ. Ὁ γὰρ νοῦς περὶ ἐκεῖνα ῥέμβεται· κἂν δῆθεν εὔχεται, καὶ ἡ εὐχὴ αὐτοῦ πρὸς Θεὸν οὐκ ἀναβαίνει· ἐὰν γὰρ μὴ εὐχὴ εὐχὴν καθαρὰν ἐν πίστει πεπληρωμένην, οὐ προσδέχεται ὁ Θεός.

Scholion 12.

Vox ἀμιλλώμενοι, id est æmulantes, significat una currentes seu cursu certantes, contendentes, contra certantes de gloria cœlesti depugnantes.

Σχόλιον ιβ'.

Τὸ, *ἀμιλλώμενοι*, δηλοῖ τὸ, συντρέχοντες, ἐρίζοντες, ἀνταγωνιζόμενοι, φιλονεικοῦντες.

Περὶ διαφορᾶς καὶ διακρίσεως ἡσυχιῶν. A *De differentia et discrimine religiosæ solitudinis.*

(Sub eodem gradu.)

Εἰσὶ (καὶ τοῦτο πᾶσι γνώριμον) ἐν πάσαις ταῖς τῶν ἐπιστημῶν καταστάσεσι, γνωμῶν καὶ βουλῶν διαφοραί· οὐ γὰρ πάντων πάντα τὰ τέλεια δι' ἔνδειαν σπουδῆς, ἢ καὶ δι' ἀπορίαν δυνάμεως. Εἰσὶν οἱ ἐπὶ τὸν λιμένα τοῦτον, μᾶλλον δὲ τὸ πέλαγος ἢ τάχα τὸν βυθὸν, εἰσερχόμενοι δι' ἀσθένειαν τοῦ ἑαυτῶν στόματος (1), καὶ σώματος διὰ πρόληψιν· ἕτεροι ἀκρατῶς πρὸς θυμὸν ἔχοντες, καὶ μετὰ πλήθους κρατῆσαι τοῦτον μὴ δυνάμενοι οἱ τάλανες· ἄλλοι ἰδιορυθμίᾳ μᾶλλον (2), ἢ ὁδηγίᾳ ἐξ οἰκήσεως πλέειν σκεψάμενοι· ἕτεροι μὴ δυνάμενοι ἐν μέσῳ τῆς ὕλης τῶν ὑλῶν ἀπέχεσθαι· τινὲς μὲν, ἵνα σπουδαῖοι ἐκ τῆς ἰδιάσεως γένωνται· ἄλλοι ἵνα ἀγνώστως ἑαυτοὺς ὑπὲρ εὐθυνῶν αἰκίσωσι [κολάσωσι]· τινὲς δὲ, ἵνα διὰ ταύτης δόξαν ἑαυτοῖς περιποιήσωνται. Εἰσὶ δὲ B ἕτεροι (εἰ ἄρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τοιούτους ἐπὶ τῆς γῆς) διὰ τρυφὴν καὶ δίψαν τῆς τοῦ Θεοῦ ἀγάπης, καὶ γλυκύτητος τῇ ὁσίᾳ ταύτῃ συζευχθέντες, οὐ πρότερον τοῦτο ποιήσαντες πρὶν πάσῃ ἀκηδίᾳ ἀποστάσιον δεδώκασι (3). Ταύτης γὰρ ἡ συνάφεια, πορνεία παρὰ τῇ προτέρᾳ κρίνεται· κατὰ τὴν γνῶσιν τὴν ψιλὴν τὴν δοθεῖσάν μοι, ὡς οὐ σοφὸς ἀρχιτέκτων κλίμακα ἀναβάσεως πεπελέκηκα· ἕκαστος δὲ λοιπὸν βλεπέτω ἐν ποίᾳ βαθμίδι ἕστηκεν, ἐξ ἰδιορυθμίας, διὰ δόξαν ἀνθρώπων, δι' ἀσθένειαν γλώσσης· δι' ἀκρασίαν θυμοῦ, διὰ πλῆθος προσπαθείας, ἵνα εὐθύνας τίσωσιν, ἵνα σπουδαῖοι γένωνται, ἵνα πῦρ πυρὶ προσλάβωνται. *Ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι.* Αἱ μὲν ἑπτὰ τῆς C ἑβδόμης, τοῦ νῦν εἰσιν ἐργασίαι· αἱ μὲν δεκταὶ, αἱ δὲ ἄδεκτοι· ἡ δὲ ὀγδόη δηλονότι τοῦ μέλλοντος αἰῶνος σημαντικὴ ὑπάρχει. Ἐπιτήρει, ὦ μοναχὲ, μεμονωμένε θηρίων ὥρας· εἰ δὲ μὴ, οὐ δυνήσῃ ἁρμοζούσας τὰς παγίδας ἱστᾷν, εἰ ἀπέστη τελείως ἢ τὸ ἀποστάσιον λαβοῦσα, περιττὸν τὸ ἔργον· εἰ δὲ ἔτι προπετεύεται, οὐ γινώσκω πῶς ἡσυχάσω. Τί δή ποτε οὐ τοσοῦτοι παρὰ τοῖς ὁσίοις Ταβεννησιώταις οἱ φωστῆρες (4), ὅσοι παρὰ τοῖς Σκητιώταις γεγόνασιν; Ὁ νοῶν νοείτω· ἐγὼ γὰρ λέγειν οὐ δύναμαι (5), μᾶλλον δὲ οὐ βούλομαι. Οἱ μὲν τὰ πάθη μειοῦντες (6), οἱ δὲ ψάλλοντες, καὶ τὸ πλεῖστον ἐν τῇ προσευχῇ χαρτεροῦντες [τῇ προσευχῇ προσχαρτεροῦντες]· οἱ δὲ τῇ θεωρίᾳ ἀτενίζοντες [*al.* deest ἐν τῷ βυθῷ] διάγουσι, κατὰ τὸν τῆς κλίμακος τρόπον ζητηθήτω D τὸ πρόβλημα· ὁ χωρῶν, ἐν Κυρίῳ χωρείτω.

Solent esse (quod ignorat nemo) in omni scientiarum genere sententiarum et voluntatum discrimina. Neque enim omnium omnia sunt perfecta, partim quod aliis desit studium et diligentia; partim propter facultatem et ingenium. Sunt qui ad hunc portum (solitariæ vitæ), vel potius pelagus aut maris profundum ingrediuntur propter incontinentiam linguæ et inveterata corporis et carnis vitia (*a*). Sunt qui iram frenare inter multos non possint, quod ad eam præcipites feruntur; qui sane miseri sunt. Sunt qui ex animi elatione malint suo arbitratu, quam alieno ductu et magisterio navigare. Alii quod in præsenti corporum et materiæ copia non possunt ab illa abstinere; alii ut ex quietis **410** solitudine diligentiores fiant; alii ut in secreto pœnas a se ipsis per verbera propter culpas et noxas exigant; alii ut gloriam sibi per hanc comparent. Alii denique (si tamen ullos ejusmodi Filius hominis ubi venerit, in terra reperturus est) propter delicias cœlestes, et sitim divinæ charitatis et dulcedinis cum hac se sanctissima quiete velut conjuge devinxerunt, quod tamen non ante fecerunt, quam libellum repudii desidiæ et acediæ, dederunt. Nam ejus cum priore, acedia inquam, conjunctio, fornicatio censetur. Ego velut non sapiens architectus pro tenui cognitione mihi data scala hanc ascensus exstruxi. Cæterum singuli videant in quo gradu consistant. An ex ratione pro suo arbitratu vivendi; an propter gloriam ab hominibus exspectandam; an propter linguæ incontinentiam; an ob iracundum ingenium; an affectuum improborum copiam; an ut culpas luant; an ut diligentiores fiant; an ut ignem igni (per charitatem) addant. *Erunt novissimi primi, et primi novissimi* [97]. Ex his septenæ sunt hebdomadis hujus præsentis vitæ operationes, aliæ Deo gratæ; aliæ ingratæ: octava sine dubio est futuri sæculi index. Observa, o monache, qui solus degis, ferarum tempora. Quod nisi feceris, non poteris aptas illis laqueorum insidias nectere. Si ignavia quæ libellum repudii accepit, penitus abscessit, non erit opus multo labore. Si adhuc importune se ingerit, non video quomodo solitudinem colam [conquiescam]. **411** Quid est quod non tam multa apud sanctos Tabennesiotas sanctorum lumina fuerint, quam apud Scetiotas? Qui intelligit intelligat, ego causam pronuntiare non possum, aut potius nolo. Eorum qui in hoc profundo solitudinis (tanquam pelago) versantur; alii vitiosos affectus sensim imminuunt; alii in psalmodia et in precibus plurimum temporis et studii ponunt; alii contemplationi se dedunt. Quod problema ex proposito scalæ modo disquirendum est: qui capit, in Domino capiat.

Εἰσὶ ῥᾳθυμοι ψυχαὶ ἐν κοινοβίῳ παραγενόμεναι, καὶ τῶν ὑλῶν τῆς ἑαυτῶν ῥᾳθυμίας εὐπορήσασαι, εἰς τελείαν ἀπώλειαν κατήντησαν. Καὶ εἰσὶ πάλιν, εἰ τὴν ἑαυτῶν ῥᾳθυμίαν διὰ τῆς ἑτέρων συνδιαγω-

Sunt in cœnobiis animæ quædam desides et ignavæ, quæ materiam pigritiæ suæ nactæ in ultimum exitium præcipites abierunt. Sunt et aliæ quæ segnitiem suam per aliorum convictum et contu-

[97] Matth. xix, 30.

(*a*) Quietem et otium corporis scholiastes intelligit.

bernium castigarunt et exuerunt. Quod non solum negligentioribus, sed studiosioribus etiam sæpe usu venit. Eadem norma in solitaria vita uti licet cum dicimus, quod multos, qui apti videbantur, receperit et postea damnarit, cum illos suo arbitratu vivere volentes voluptatum studiosos deprehendit et redarguit, alios vero susceptos timore et cura ferendi oneris, id est judicii propriarum actionum, sollicitos aliquos et in rebus divinis ardentes effecit. Nemo iræ et elationi animi et simulationi seu hypocrisis et injuriarum recordationi obnoxius, audeat in solitudinem vestigium ponere, ne stuporem animi incurrat, et illum solum ex solitudine fructum reportet. Ab his si quis fuerit repurgatus, ille deinceps intelliget, quid sibi expediat, imo nec iste satis, opinor, assequetur. **412** Signa porro et exercitationes et argumenta eorum qui non sine ratione solitudinem sequuntur, hæc sunt: mens nullis perturbationum fluctibus agitata, cogitationes castæ, raptus in Deum, suppliciorum æternorum præsens semper memoria, mortis instantis consideratio, inexplebile precandi studium, custodia sui inexpugnabilis, veneris exstinctio, appetitionum ignoratio, mundi mors, nullum cibi desiderium, rerum divinarum cognoscendarum materia, fons discretionis, lacrymarum facultas [pignus seu arrha], loquacitatis exterminatio, et si quid hoc genus est aliud quod vulgo est ingratum et infestum. Eorum vero, qui hanc solitudinis palæstram absque ratione aggrediuntur, signa hæc sunt. Cœlestium gratiarum seu opum inopia, iræ incrementum, injuriarum toleratarum alte reposita memoria, charitatis defectio, elationis augmentum, et alia complura quæ silentio involvam. Jam cum hæc oratio ita [huc] decurrerit, necesse est, ut de iis hic qui sub obedientia vivunt, disputare pergam, ac tanto magis quod ad ipsos potissimum hic noster sermo pertineat.

A γης ἀπεδύσαντο· οὐ μόνον δὲ ἐπὶ ἀμελεστέρων, ἀλλὰ καὶ ἐπὶ σπουδαίων πολλάκις τὸ αὐτὸ γέγονε. Τῷ αὐτῷ κανόνι καὶ ἐπὶ τῆς ἡσυχίας χρησώμεθα λέγοντες, πολλοὺς δοκίμους δεξαμένη, ἀπεδοκίμασε διὰ τῆς ἰδιορυθμίας, φιλησύχους αὐτοὺς ἐλέγξασα· ἑτέρους δὲ λαβοῦσα τῷ φόβῳ καὶ τῇ μερίμνῃ τῆς τοῦ ἑαυτῶν κρίματος βασταγῆς (7), σπουδαίους τινὰς, καὶ ζέοντας εἰργάσατο. Μηδεὶς ὑπὸ θυμοῦ καὶ οἰήσεως, ὑποκρίσεώς τε καὶ μνησικακίας ὀχλούμενος, ἴχνος ἡσυχίας ἰδεῖν τολμῆται μήπως ἔκστασιν, καὶ μόνον κερδήσῃ. Εἰ δέ τις τούτων καθαρὸς, αὐτὸς λοιπὸν γνώσεται τὸ συμφέρον, οἶμαι δὲ οὐδ' αὐτός· τῶν λόγῳ τὴν ἡσυχίαν μετερχομένων σημεῖα, καὶ στάδια, καὶ τεκμήρια ταῦτα· νοῦς ἀκύμαντος, ἔννοια ἡγνισμένη, ἁρπαγὴ πρὸς Κύριον, κολάσεων παράστασις, θανάτου ἔπειξις, προσευχὴ ἀκόρεστος, φυλακὴ ἄσυλος, πορνείας θνῆσις, προσπαθείας ἀγνοια, θάνατος κόσμου, γαστριμαργίας ἀνορεξία, θεολογίας ὑπόθεσις, διακρίσεως πηγὴ, δάκρυον ὑπόσπονδον, πολυλογίας ἀπώλεια (8), καὶ εἴτι τῶν τοιούτων, οἷς τὰ πλήθη φιλεῖ ἀντικεῖσθαι. Τοῖς δὲ οὐ λόγῳ ταύτην μετερχομένοις (9), αὕτη, τοῦ πλούτου ἡ πενία (10) ὀργῆς· αὔξησις μνησικακίας ἀποθήκη, ἀγάπης μείωσις, τύφου πρόσληψις, καὶ τὸ ἐξῆς σιωπήσομαι (11). Ἐπεὶ δὲ οὕτως ὁ λόγος κατέδραμεν, ἀνάγκη καὶ περὶ τῶν ἐν ὑποταγῇ ἐνταῦθα ἐνθέσθαι, καὶ μάλιστα, πρὸς αὐτοὺς γὰρ καὶ ὁ λόγος ὡς ἐπιπολὺ ἀποτείνεται.

Eorum qui se legitime et caste et pure huic ornatæ et decentissimæ subjectionis virtuti desponderunt et conjunxerunt, hæc argumenta et signa sunt, et a sanctis Deoque plenis Patribus (singula tamen suo tempore perficienda) definiuntur (nisi quod in dies interim illa augeamus, et magis magisque in eisdem proficiamus). Quando humilitas inchoata semper augetur, ira defervescit (quomodo enim id non fiat, cum bilis et fel penitus exinanitur), tenebræ mentis sensim evanescunt, **413** charitas augetur, vitiosi affectus exuuntur et emendantur, odium corde cedit, lascivia propter assiduas reprehensiones minuitur, desidiæ locus nullus relinquitur, diligentia crescit, commiserationis affectus charitatem ostendit, superbia proscribitur. Quod virtutis genus omnibus quidem indagandum et quærendum, quod tamen a paucis reperitur. Fons aqua destitutus frustra nomen fontis retinet; quod inde sequitur prudens facile intelligit. Adolescentula, quæ a toro suo exerravit, corpus polluit. Anima quæ violavit voti sui pactum, inquinavit spiritum; et illam quidem sequuntur vituperatio, odium, flagra, et quod omnium est luctuosissimum, divortium. Hanc vero, animam, inquam, inquinationes, mortis oblivio, ventris inexplebilis ingluvies, oculorum petulantia, vanæ gloriæ studium, per-

C Τῶν νομίμως, ἀμοιχεύτως καὶ ἀμολύντως τῇ κοσμίῳ ταύτῃ (ὑποταγῇ) καὶ εὐρεπεῖ συζευχθέντων, ταῦτα τὰ τεκμήρια καὶ εἰσὶ, καὶ ὁρίζονται παρὰ τοῖς θεοφόροις Πατράσιν, ἰδίῳ μέντοι καιρῷ τελειούμενα· πλὴν ὅτι καθημέραν προσενηνόχαμεν προσθήκην, καὶ προκοπὴν λαμβάνοντες. Ταπεινώσεως εἰσαγωγικῆς αὔξησις, θυμοῦ μείωσις· πῶς γὰρ καὶ μὴ γεννήσεται τῆς χολῆς κενουμένης, σκοτισμῶν ἔλλειψις, ἀγάπης πρόσληψις, παθῶν ἀλλοτρίωσις, μίσους λύτρωσις, ἐξ ἐλέγχου λαγνείας μείωσις, ἀκηδίας ἄγνοια, σπουδῆς πρόσληψις, συμπαθείας ἀγάπη, ὑπερηφανίας ξενιτεία, τὸ πᾶσι ζητητέον, καὶ ὀλίγοις εὑρητέον, κατόρθωμα· ὕδατος μὴ παρόντος ἐν πηγῇ ἀνοίκειον τὸ ὄνομα (12). Καὶ τὸ ἐξῆς νενόηται τοῖς νοῦν ἔχουσι· νεᾶνις μὲν μὴ φυλάξασα κοίτην, ἐμίανε σῶμα· καὶ ψυχὴ μὴ φυλάξασα συνθήκην, ἐμίανε πνεῦμα· καὶ τῇ μὲν ἀκολουθεῖ ψόγος, μῖσος, μάστιγες, χωρισμοὶ, τὸ πάντων ἐλεεινότατον· τῇ δὲ, μολυσμοὶ, θανάτου λήθη, κοιλίας ἀπληστία, ὀφθαλμῶν ἀκρατεια, κενοδοξίας ἐργασία, ὕπνου ἀχορτασία, σκληροκαρδία, ἀναισθησία, λογισμῶν ἀποθήκη, καὶ συγκαταθέσεως προσθήκη, αἰχμαλωσία καρδίας, ταραχῆς ἐργασία, ἀνηκοΐα, ἀντιλογία, προσπάθεια, ἀπιστία, ἀπληροφορία, πολυλογία, παρρησία (13), ἡ πάντων χαλεπωτέρα· τὸ δὲ πάντων ἐλεεινότερον, ἀκατάνυκτος καρδία, ἣν διαδέχεται ἐν τοῖς μὴ προσ-

ἔχουσιν ἡ ἀναλγησία, ἡ μήτηρ τῶν πτωμάτων. A petuum somni desiderium, cordis duritiâ, stupor animi, cogitationum horreum, consensus facilitas seu augmentum, cordis captivitas, officina strepitus et tumultus, contumacia, contradictio, vitiosa ad res affectio, infidelitas, nulla fiducia, loquacitas, effusa libertas et confidentia quæ est omnium gravissima : sed quod est omnibus miserabilius, cor omni gratia luctus seu compunctionis destitutum, quod sequitur in iis qui non attendunt, stupor sensus seu indolentia, quæ lapsus omnis est parens et causa.

Καὶ πνευμάτων τοῖς μὲν ἡσυχάζουσιν οἱ πέντε (14)· τοῖς δὲ ὑποτασσομένοις, οἱ τρεῖς τῶν ὀκτὼ προσπαλαίουσιν. Ὁ ἡσυχάζων, καὶ ἀκηδίᾳ πολεμῶν ζημιοῦται πολλάκις· καιρὸν γὰρ προσευχῆς καὶ θεωρίας ἐν ταῖς πρὸς αὐτὴν μηχαναῖς ἐξαναλώσει, καὶ πάλαις· ῥᾳθυμήσαντί μοί ποτε ἐν τῇ κέλλῃ καθεζομένῳ (15), καὶ ταύτην σχεδὸν καταλιμπάνειν λογιζομένῳ, ἄνδρες τινὲς παραβαλόντες, ἱκανῶς ὡς ἡσυχαστήν με ἐμακάρισαν· καὶ θᾶττον ὁ τῆς ῥᾳθυμίας λογισμὸς ὑπὸ τῆς κενοδοξίας ἐχώρησε, καί γε τεθαύμακα πῶς πᾶσιν ἐναντιοῦται τοῖς πνεύμασιν ὁ τρίβολος δαίμων. Ὅρα καθ' ὥραν τοῦ σοῦ συζύγου τοὺς ῥιπισμοὺς, καὶ παραριπισμοὺς, καὶ ῥοπὰς, καὶ τροπὰς, τὸ πῶς καὶ ποῦ τὴν ῥοπὴν κέκτηνται. Ὁ διὰ Πνεύματος ἁγίου γαλήνην κτησάμενος, οὐκ ἀγνοεῖ τὸ θεώρημα. Ἔρχον ἡσυχίας ἀμεριμνία προηγουμένη πάντων τῶν πραγμάτων εὐλόγων καὶ ἀλόγων (16). Ὁ γὰρ τοῖς προτέροις ἀνοίγων, ἐν τοῖς δευτέροις πάντως περιπεσεῖται. Δεύτερον προσευχὴ ἄσχνος· καὶ τρίτον ἐργασία καρδίας ἄσυλος. Ἀδύνατον τὸν μὴ γράμματα μεμαθηκότα φυσικῶς ἐν δέλτοις μελετᾷν· ἀδυνατώτερον δὲ, τοὺς μὴ τὸ πρότερον κτησαμένους τὰ δύο, λόγῳ μετελθεῖν. Μετερχόμενος τὸ μέσον, ἐν μέσοις γέγονα· καὶ ἐφώτιζε διφῶντα· καὶ ἰδοὺ πάλιν ἦν ἐν ἐκείνοις· τί μὲν ἦν πρὸ τῆς ὁρατῆς ἐν αὐτῷ μορφῆς διδάσκειν οὐκ ἠδύνατο· οὐδὲ γὰρ ἠφίετο ὁ ἄρχων· πῶς δὲ νῦν πέλει ἠρώτων λέγειν· ἐν τοῖς ἰδίοις μὲν ἔλεγεν, ἀλλ' οὐκ ἐν τούτοις. Ἐγὼ δέ· Τίς ἡ δεξιὰ στάσις καὶ καθέδρα ἐπὶ τοῦ αἰτίου; Ἀδυνατον, ἔφη, ἀκοῇ μυσταγωγεῖσθαι ταῦτα. Πρὸς ὃ δέ με ὁ πόθος εἶλκε, προσαγαγεῖν τῷ καιρῷ ἐκείνῳ ἠρώτων, οὔπω ἔφραζεν ἥκειν τὴν ὥραν, δι' ἔλλειψιν πυρὸς ἀφθαρσίας. Ταῦτα εἴτε σὺν τῷ χοΐ οὐκ οἶδα· εἴτε τούτου χωρὶς, λέγειν εἰς ἅπαν οὐκ ἔχω. Χαλεπὸν τὸν τῆς μεσημβρίας ἀποτινάξασθαι ὕπνον ἐν ταῖς θερειναῖς μάλιστα ὥραις· τότε γὰρ καὶ μόνον ἴσως τὸ τῶν χειρῶν οὐκ ἀπόβλητον ἔργον. Ἔγνων τὸν ἀκηδίας δαίμονα προποιοῦντα καὶ προοδοποιοῦντα τὸν τῆς πορνείας, ἵνα ἰσχυρῶς τὸ σῶμα ἑλκύσας, καὶ τῷ ὕπνῳ βαπτίσας, ὥσπερ τοὺς μολυσμοὺς ἐν τοῖς ἡσυχάζουσιν ἐργάσηται. Ἐὰν ἀντιστῇς αὐτοῖς ἰσχυρῶς, πολεμήσουσί σε πάντως κραταιῶς, ἵν' ὡς μηδὲν ὠφελοῦντα, παύσωσι τῶν ἀγώνων. Οὐδὲν δὲ τὴν τῶν δαιμόνων ἧττων, ὡς ὅπερ αὐτῶν πρὸς ἡμᾶς χαλεπὸς πόλεμος ἐνδείξασθαι δύναται. Ἐν ταῖς προόδοις τὰ συναχθέντα φύλαττε (17)· τῆς θύρας γὰρ ἀνοιγομένης αἱ κατάκλειστοι ὄρνις πέτανται. Καὶ τότε λοιπὸν, οὐδὲν τῆς ἡσυχίας ὠφελήθημεν. Μικρὰ θρὶξ ταράσσει ὀφθαλμὸν, καὶ μικρὰ φροντὶς ἀφανίζει ἡσυχίαν.

Ex octo capitatibus vitiis et spiritibus quinque potissimum solitarios oppugnant; tres eos qui sub obedientia vivunt. Solitarius dum cum acedia seu desidia luctatur, sæpenumero detrimento afficitur: tempus enim precibus et **414** contemplationi dedicandum sæpe inter pugnam et luctam cum acedia consumet. Ego cum olim residens in cella mea tædio laborarem, et eo jam descenderem ut de cella deserenda deliberarem, percommode accidit, ut B hospites quidam adventantes me ob vitam hanc solitariam beatum prædicarent, et subito cogitatio desidiæ a vana gloria fugata recessit, magnopere me demirante quod tribulus iste seu vanæ gloriæ dæmon omnibus spiritibus adversaretur. Observa singulis horis conjugis seu contubernalis tui motus et ventilationes, subreptiones et momenta inclinationum, et conversiones, quomodo habeant, quo et quam in partem vergant. Qui per Spiritum sanctum animi tranquillitatem adeptus est, non nescit hoc theorema seu considerationem. Princeps quietæ solitudinis studium est, ut solitudinis cultor omnibus curis quæ negotia præcedunt, sive illa rationis sint, sive non sint vacet. (Nam qui prioribus aditum dederit, in sequentibus hærebit, et omnino C cadet.) Alterum opus est impigra oratio : tertium, inviolabilis cordis actio Fieri per naturam non potest, ut expers litterarum in libris se exerceat : sed multo minus, ut qui primo caret, duo altera per rationem acquirat; medium assecutus in mediis constiti, et [angelus] sitientem illuminabat. Et ecce rursus eram inter illos, cumque rogassem quid fuerit ante aspectabilem in illo (Christo) formam, docere me non potuit, nec sinebatur ille princeps (angelus nempe.) Tum rogabam ut diceret, quomodo nunc esset [haberet]. In propriis, inquiebat, **415** sed non his. Tum ego : Quæ est et qualis illa ad dextram, Christi auctoris statio et sedes? Hæc, inquit, auris humana doceri non potest. (*a*) Rogabam ergo ut me ad id occasione deduceret D quo me desiderium trahebat. Nondum, inquit, venit hora, propter defectionem ignis incorruptionis. Hæc an in corpore an extra corpus facta sint, nec scio, nec omnino habeo dicere. Difficile est pomeridianum somnum præsertim æstivis horis arcere. Tunc enim, et fortasse tantum, aliquid operis manu faciendum est. Novi ego spiritum acediæ præcedere, et viam munire spiritui fornicationis, ut corpus valide trahat, et somno prope irriget, et velut per somnium in quiescentibus inquinet. Quod si his acriter et fortiter obluctatus fue-

(*a*) Ad hunc obscurum locum vide quid Elias Cretensis dicat in commentario quem inde deprompsi, et scholiis inter 16 et 17 adjunxi.

ris, impotenter te oppugnabunt, perinde quasi nihil ex solitaria vita utilitatis referas, ut ab lucta et certamine desistas. Sed quo acrius in nos consurgunt, hoc magis apparet illos a nobis victos (*b*). Cum in publicum prodis collecta custodi. Nam janua aperta aves inclusæ avolant, unde quidquid commodi in solitudine partum est, perditur. Parvus pilus oculum infestat et turbat, et parva cura quietem tollit. Quies enim est cogitationum abjectio, et curarum humanarum etiam justarum abdicatio. Qui ex animo solitariam vitam complexus est, neque corporis quidem sui curam aget, mentiri enim nescit, qui curam se nostri habiturum spopondit. Qui puram Deo mentem sistere cupit, et curis **416** interim agitatur, persimilis est illi, qui injectis sibi ipsi validis compedibus, celeriter tamen curere conatur. Rari sunt qui in studio sapientiæ et philosophiæ sæcularis magnopere excelluerunt, et quasi ad fastigium ejus pervenerunt; sed pauciores existimo qui veram solitariæ vitæ philosophiam exacte pernoverunt. Qui Deum nondum novit ad solitudinem ineptus est, seseque multis periculis exponit. Solitudo imperitos suffocat, cœlestium enim consolationum delicias non gustant, et tempus in captivitate, distractionum seu mœroris furtis, desidia, et animi defatigatione absumunt. Qui orationis gratiam assecutus est, turbas hominum non secus atque onager fugit. Quis enim nisi hæc (oratio) ferum onagrum ab omni hominum societate liberum dimisit? Qui vitiosis affectibus est occupatus, iis revolvendis et exercendis totum solitariæ vitæ tempus terit, ut mihi sanctus pater, Georgius, inquam, Arsilaites, quem et dignitas tua non penitus ignorat, hic olim exposuit et edocuit, cum inutilem animam meam ad solitariam vitæ disciplinam institueret et informaret

Mane, inquit, ut plurimum Spiritus vanæ gloriæ et concupiscentiæ impetum in nos facere solitos animadverti. Sub meridiem vero desidiæ et tristitiæ et iræ. Vesperi autem ventris et stercorum dominos ac tyrannos. Melior est qui paret alteri pauper, quam vanis cogitationibus distractus solitarius. Qui ratione justa ductus solitariam vitam est ingressus, nec quotidie **417** in virtutibus progressum seu fructum notat, aut non cum ratione illud vitæ genus prosequitur, aut per animi elationem deluditur. Vita solitaria est Deo per indissolubilem cultum perpetuo assistere. Jesu memoria cum tuo spiritu copuletur, et tunc cognosces solitudinis et quietis fructum. Obedienti lapsus causa, propria voluntas exsistit: solitario orationis remissio. Ubi frequentia hospitum in cella tua fueris delectatus, scito te non Deo, sed soli desidiæ operari. Sit tibi forma precandi vidua illa evangelica ab suo adversario afflicta; vitæ autem solitariæ exemplum magnus ille cœlitum æmulus Arsenius solitarius. Memor esto in solitudine vitæ quam angelicus hic anachoreta traduxit, et nota quomodo non raro adventores ab se dimiserit, ne quod melius et majus erat, perderet. Notavi ego dæmones sæpe vagabundos solitarios, et qui nullo consilio so-

A Ἡσυχία γάρ ἐστιν ἀπόθεσις νοημάτων καὶ ἄρνησις εὐλόγων φροντίδων. Ὁ ὄντως ἡσυχίαν κατειληφὼς, οὐδὲ τῆς ἑαυτοῦ σαρκὸς φροντίσει· ἀψευδὴς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος. Ὁ νοῦν καθαρὸν παραστῆσαι (18) τῷ Θεῷ βουλόμενος, καὶ φροντίσαι δονούμενος, ὅμοιός ἐστι τῷ τοὺς ἑαυτοῦ πόδας ἰσχυρῶς πεδήσαντι, καὶ ὀξέως βαδίζειν δοκιμάζοντι. Σπάνιοι μὲν οἱ τὴν κατὰ κόσμον φιλοσοφίαν εἰς ἄκρον παιδευόμενοι· ἐγὼ δὲ λέγω, βραχύτεροι οἱ τὴν τῆς ὄντως ἡσυχίας φιλοσοφίαν ἐπιστάμενοι· ὁ οὕπω Θεὸν γνοὺς, εἰς ἡφυχίαν ἀδόκιμος, καὶ πολλοὺς κινδύνους ὑφιστάμενος. Ἡσυχία ἀπείρους ἀποπνίγει· ἄγευστοι γὰρ γλυκύτητος Θεοῦ ὑπάρχουσιν, εἰς αἰχμαλωσίας, καὶ κλοπὰς, καὶ ἀκηδίας, καὶ ῥεμβασμοὺς τὸν καιρὸν ἐξαναλίσκοντες. Ὁ προσευχῆς κάλλος ἁψάμενος, φεύξεται ὄχλους ὡς ὄναγρος· τίς γὰρ εἰ μὴ αὕτη, εἶασεν ὄνον ἄγριον ἐλεύθερον πάσης συνουσίας ἀνθρώπων; Ὁ τὰ πάθη περικείμενος, καὶ τῇ τούτων ἀδολεσχίᾳ ἐν ἐρήμῳ διατρίβει (19), ὡς καὶ γέρων μοι ἅγιος τὸ τοιοῦτον ἐφθέγξατο, καὶ ἐδίδαξε, Γεώργιον λέγω τὸν Ἀρσιλαΐτην, ὃν καὶ ἡ σὴ τιμιότης οὐδ' ὅλως ἠγνόησεν· οὗτος ἀχρείαν ψυχήν ποτε στοιχειῶν, καὶ ποδηγῶν πρὸς ἡσυχίαν ἔλεγε.

B

C Τῇ μὲν πρωΐᾳ, φησὶν, ἐπεσημηνάμην ὡς ἐπίπαν τοὺς τῆς κενοδοξίας καὶ ἐπιθυμίας ἐπιδημεῖν δαίμονας· τῇ δὲ μεσημβρίᾳ τοὺς ἀκηδίας, καὶ λύπης, καὶ ὀργῆς· τῇ δὲ ἑσπέρᾳ τοὺς φιλοκόπρους καὶ τυράννους τῆς γαστρός· κρείσσων ὑποταχτικὸς πτωχὸς ὑπὲρ ἡσυχαστὴν (20) περισπώμενον (21). Ὁ λόγῳ τὴν ἡσυχίαν μετιὼν, καὶ τὸ αὐτῆς κέρδος καθ' ἡμέραν μὴ καθορῶν, ἢ οὐ λόγῳ ἡσύχασεν, ἢ οἰήσει κλέπτεται. Ἡ ἡσυχία ἐστὶ ἀδιάσπαστος Θεῷ λατρεία, καὶ παράστασις· ἡ Ἰησοῦ μνήμη ἑνωθήτω τῇ πνοῇ σου (22) καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν. Πτῶμα μὲν ὑπηκόῳ τὸ οἰκεῖον θέλημα· ἡσυχίῳ δὲ προσευχῆς διάστασις. Ἐὰν ἐπιχαίρῃ παρουσίαις ἐν κέλλῃ, γίνωσκε σεαυτὸν ἀκηδίᾳ μόνῃ, καὶ οὐ Θεῷ σχολάζοντα. Ὑπογραμμός σοι ἔστω προσευχῆς, ἡ ἀδικουμένη χήρα ἀπὸ τοῦ ἀντιδίκου αὐτῆς· ἡσυχίας δὲ τύπος ὁ μέγας καὶ ἰσάγγελος ἡσυχαστὴς Ἀρσένιος. Μέμνησο ἐν τῇ μονίᾳ τῆς τοῦ ἰσαγγέλου τούτου ἡσυχαστοῦ διαγωγῆς (23), καὶ ὅρα ὡς καὶ παραβάλλοντας πολλάκις ἀπεπέμψατο, ἵνα μὴ τὸ μεῖζον ἀπολέσῃ (24). Ἔγνων τοὺς δαίμονας τοῖς λόγῳ ἡσυχάζουσι τοὺς ἀλόγους τῶν γυρευτῶν παραβάλλειν συχνότερον ἀναπείθοντας, ἵνα τοῖς ἐργάταις, κἂν δι' ἐκείνων μικρὸν ἐμποδίσαι δυνηθῶσι. Σημείου τοὺς τοιούτους (25), ὦ οὗτος, καὶ μὴ παραιτοῦ λυπεῖν

D

(*b*) Melius, *sed nihil ita ostendit illos a nobis victos quam cum acrius in nos (quasi irritati) consurgunt.*

εὐσεβῶς ῥᾳθύμους· ἴσως γὰρ ἐκ τῆς λύπης τοῦ γυρεύειν παύσονται. Ὅρα μὴ τοῦ προειρημένου σκοποῦ χάριν, εἰκῇ λυπήσῃς ψυχὴν (26), ὕδωρ ἐκ δίψης ἐρχομένην παρὰ σοῦ ἀρύσασθαι. Ἐν παντὶ δὲ λύχνου σοι δέον· βίους ἡσυχαζόντων, μᾶλλον δὲ μοναζόντων κατὰ συνείδησιν (27) καὶ αἴσθησιν γινέσθω· ὁ λόγῳ τρέχων τὰ ἐπιτηδεύματα, καὶ τὰ ἀποφθέγματα, καὶ τὰ ἐνθυμήματα, καὶ τὰ διαβήματα, καὶ τὰ κινήματα πάντα κατὰ Κύριον, καὶ διὰ Κύριον αὐτῷ ἐπιτηδευόμενα ἐν αἰσθήσει ψυχῆς, καὶ προσώπῳ Κυρίου ἐργάζεται· εἰ δὲ κλέπτεται, οὕπω κατὰ ἀρετὴν πολιτεύεται. Ἀνοίξω, φησί τις, *ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου*, καὶ τὸ βούλημά μου, διὰ τὸ ἀτελὲς ἔτι τῆς διακρίσεως· ἐγὼ δὲ ἀνοίσω διὰ προσευχῆς τὸ θέλημά μου (28), κἀκεῖθεν τὴν πληροφορίαν μου ἐκδέξομαι. Πίστις πτερὸν προσευχῆς· τοῦτο γὰρ μὴ ἔχουσα, *πάλιν εἰς κόλπον μου ἀποστραφήσεται*· πίστις ἐστὶν ἀνενδοίαστος ψυχῆς στάσις, ὑπὸ οὐδεμιᾶς ἐναντιότητος χλονουμένη. Πιστός ἐστιν, οὐχ ὁ οἰόμενος Θεὸν δύνασθαι, ἀλλ' ὁ πιστεύων πάντων τεύξεται. Πίστις ἐστὶ ἀνελπίστων πρόξενος, καὶ τοῦτο ὁ λῃστὴς ἀπέδειξε. Πίστεως μήτηρ μόχθος, καὶ εὐθὺς καρδία· ἡ μὲν γὰρ ἀδίσταχτον ποιεῖ· ὁ δὲ δημιουργεῖ· ἡσυχαστῶν μήτηρ πίστις· εἰ μὴ γὰρ πιστεύσει (29), πῶς ἡσυχάσει; ἐν εἱρκτῇ πεδηθείς, φόβον κολάζοντος δέδοικε. Ὁ δὲ ἐν κέλλῃ ἠρεμῶν φόβον Κυρίου τέτοκεν. Οὐχ οὕτως ὁ πρότερος τὸ δικαστήριον, ὡς ὁ δεύτερος τὸ τοῦ κριτοῦ κριτήριον δέδοικεν.

A litudinem sunt ingressi, excitare ut ad veros et justos anachoretas sæpius adeant, ut pugiles Christi per illos errones vel modicum ab studiis suis pietatis impediant. Hos tu vagones, bone vir, observa, nec recusa hosce inertes pie contristare, fortasse enim ex tristitia hac circumcursare et vagari desinent. Cave tamen ne ex occasione dictorum animam temere tristitia affligas, quæ sitiens ad aquam vitæ hauriendam ad te venit. In omnibus tibi lucerna discretionis opus est. Vita solitariorum vel potius monachorum per conscientiam et verum cordis **418** sensum regatur. Qui viam Domini cum ratione currit, omnia sua studia, verba, cogitationes, incessus, motus ad amussim divinam componit, et omnia propter Dominum ipsi Domino operatus in vero cordis sensu coram Dei facie exsequitur. Si autem fallitur et deluditur, nondum ex virtutis præscripto vivit. *Aperiam*, inquit ille, *in psalterio propositionem meam*, et consilium meum ob imperfectam adhuc discretionem. Ego autem offeram per orationem voluntatem meam, et inde me exauditum esse certum testem et indicium accipiam. Fides ala est orationis, qua si caruero, *oratio mea in sinum meum revertetur* [98]. Fides est firmissimus animæ status, ut nullis rebus adversis commoveri possit. Fidelis est, non qui putat Deum omnia posse, sed qui credit, se omnia (quæ petit) consecuturum. Fides est rerum insperatarum pignus, quod latro ille comprobavit. Fidei procreatrix est labor, et cor rectum: hoc enim constantem et firmum facit, ille vero efficit. Solitariorum parens est fides: si enim non crediderit, quomodo solitudinem colet? In carcere compedibus districtus judicem metuit. Qui vero in cella quiescit, Dominum timet. Non tam vehementer ille locum judicii reformidat, quam iste supremi judicis tribunal.

Φόβου σοι πολλοῦ καθ' ἡσυχίαν χρὴ, ὦ θαυμάσιε· οὐδὲν γὰρ οὕτως ἀκηδίαν ἐκδιώκειν δύναται (30). Ἀτενίζει μὲν κατάκριτος διὰ παντὸς, πότε ἐν τῷ δεσμωτηρίῳ ὁ κριτὴς παραγίνεται· ὁ δὲ ὄντως ἐργάτης, πότε ὁ κατεπείγων ἐλεύσεται. Δεδέσμευται τῷ προτέρῳ φορτίον λύπης· τῷ δὲ δευτέρῳ πηγὴ δακρύων. Ἐὰν κτήσῃ ὑπομονῆς ῥάβδον, θᾶττον ὑπολήξουσιν οἱ κύνες ἀναιδεύεσθαι. Ὑπομονή ἐστιν ἄθραυστος πόνος ψυχῆς, ὑπ' εὐλόγων, κτύπων μηδαμῶς σαλευομένη. Ὑπομονητικός ἐστιν ἐργάτης ἄπτωτος (31), καὶ διὰ πτωμάτων τὴν νίκην ποιούμενος. Ὑπομονή ἐστιν ὁρισμὸς θλίψεως καθ' ἡμέραν ἐκδεχόμενος. Ὑπομονή ἐστι προφάσεων ἐκκοπὴ, καὶ οἰκεία προσοχή· οὐχ οὕτως τῆς ἑαυτοῦ τροφῆς, ὡς ὑπομονῆς, ὁ ἐργάτης δέεται. Ἐπὶ μὲν γὰρ τῆς δευτέρας λήψεται στέφανον· ἐπὶ δὲ τῆς προτέρας ὅλεθρον κομίσεται. Ὑπομονητικὸς ἀνὴρ πρὸ μνήματος τέθνηκε, μνῆμα ἑαυτοῦ τὴν κέλλαν ποιησάμενος. Ὑπομονὴν ἔτεκεν ἐλπὶς καὶ πένθος· ὁ γὰρ τῶν δύο χωρὶς, ἀκηδίας δοῦλος.

C Magno tibi, vir admirande, opus est timore in solitudine: nihil enim potentius est ad acediam pellendam et persequendam. Reus semper circumspicit an judex veniat ad carcerem: verus vero operarius quando **419** venturus sit, qui exire (de carcere corporis) jubeat et urgeat. Reum illum semper comitatur tristitiæ pondus; solitarium fons lacrymarum. Si patientiæ virgam acquisieris, canes mox desistent impudentius ludere. Patientia est labor qui nunquam frangit animam, nec tumultibus quamvis rationabilibus excitatis perturbatur. Patiens religiosus cadere non potest: quin etiam per ipsos casus vincendi occasionem sumit. Patientia est definita quotidianæ afflictionis exspectatio. Patientia est occasionum amputatio, et ad suas res attentio. Non tantopere cibo suo, quam patientia indiget religiosus; nam per patientiam reportabit præmium, propter priorem (sæpe) incurrit in exitium. Vir patiens ante mortem est mortuus, qui cellam suam in sepulcrum vertit. Patientiam spes et luctus pepererunt; nam qui his duabus virtutibus caret, mancipium est pigritiæ.

Γινώσκειν δεῖ τὸν τοῦ Χριστοῦ παλαιστὴν (33), ποίους μὲν τῶν ἐχθρῶν ἐκ μακρόθεν διώκειν, ποίους

· Sciendum est athletæ Christi, quinam hostium eminus persequendi sunt, quibuscum cominus con-

[98] Psal. xxxiv, 13.

grediendum. Nonnunquam lucta coronam meruit ; aliquando fuga pugnæ improbos reddidit. Hæc et hujusmodi verbo doceri non possunt : neque omnes ad unum modum affecti sumus, neque unus omnium idemque naturæ habitus est et qualitas. Unum (præ reliquis) observa spiritum attentius, quod is te sine ullis induciis assidue oppugnet, sive stes, sive ambules, sive sedeas, sive te commoveas, sive recumbas, sive ores, sive dormias. Nonnulli eorum qui in stadio **420** solitariæ quietis versantur, illud Psalmistæ secum semper exercent : *Proridebam Dominum meum in conspectu meo semper*[99]. Neque enim omnes panes spiritualis alimenti ex cœlesti frumento facti, sunt ejusdem formæ. Alii enim illud Christi exercent : *In patientia vestra possidebitis animas vestras*[1]. Alii : *Vigilate et orate*[2]. Alii illud : *Præpara in exitum opera tua*. Alii : *Humiliatus sum, et salvavit me*[3]. Quidam illud assidue revolvunt : *Non sunt condignæ passiones hujus temporis ad futuram gloriam*[4]. Alii rursum illud : *Ne quando rapiat, et non sit qui eripiat*[5], semper intentissime meditantur. Omnes quidem currunt, sed unus horum accipit bravium[6]. Qui profecit (in solitaria vita) jam sine labore non solum vigilans, sed etiam dormiens, operatur. Unde quidam in ipso etiam somno subrepentes dæmonas contumeliose tractant, et feminas lascivas ad castitatem hortantur. Nec est quod exspectes horum adventum aut te adversus illos multum aut sollicite munias. Status enim vitæ solitariæ simplex et ab omni vinculo prorsus expeditus et liber est. Nemo qui vult turrim aut cellam religiosæ quietis excitare, prius rem aggreditur, quam sedens computet, et per orationem accurate scrutetur, an habeat ad opus perficiendum necessaria et aptam naturam ; ne post jactum fundamentum fiat ludibrium hostibus suis, et aliis exercitatoribus impedimentum. Attende ad suavitatem, seu dulcedinem advenientem, ne ab amaris medicis, imo vero ab insidiatoribus per dolum temperrata **421** sit. Per noctem ut plurimum precibus et meditationibus da operam, psalmodiæ parum. De die vero accingere rursum ad opus tuum pro viribus tuis peragendum. Non mediocriter solet illustrare et colligere mentem lectio. Verba enim Spiritus sancti sunt, et lectores omnino dirigunt et moderantur. Sit tibi operanti lectio accommodata ad actionem. Nam actionis propositum facit ut jam nihil opus sit amplius lectione reliquorum : laboribus potius quam libris doctrinam salutis illustrare contende. Libros ab tuo instituto alienos, priusquam virtute Spiritus [sancti instructus es, noli attingere. Verba quippe obscuriora imbecillis animis tenebras offundunt. Unicus calicis haustus genus vini per gustum prodit ; et unica familiaris colloquutio omnem interiorem solitarii vitæ rationem

A οὲ προσπαλαίειν συγχωρεῖν. Ποτὲ μὲν ἡ πάλη στέφανον προεξένησε· ποτὲ δὲ ἡ παραίτησις ἀδοκίμους πεποίηκεν· οὐ λόγῳ τὰ τοιάδε ἐφικτὸν παιδεύεσθαι· οὐ γὰρ πάντες τοῖς αὐτοῖς, οὐδὲ ὡσαύτως πεποιώμεθα ἕνα· τῶν πνευμάτων ἐπιτήρει νηφόντως (34), ἐπειδὴ καὶ αὐτός σε πολεμεῖ ἀπαύστως ἐν στάσει, καὶ μεταβάσει, καὶ καθέδρᾳ, καὶ κινήσει, καὶ ἀνακλίσει, καὶ εὐχῇ, καὶ ὕπνῳ. Οἱ μὲν τῶν ἐν τῷ δρόμῳ τῆς ἡσυχίας καθεζομένων (35)· *Προωρώμην τὸν Κύριόν μου ἐνώπιόν μου διὰ παντὸς*, ἐν ἑαυτοῖς ἐργασίαν κατέχουσιν. Οὐ γὰρ πάντες οἱ ἄρτοι τῆς πνευματικῆς τοῦ οὐρανίου σίτου ἐργασίας, μονοειδεῖς ὑπάρχουσι. Ἕτεροι δέ· *Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσεσθε τὰς ψυχὰς ὑμῶν*· ἄλλοι· *Γρηγορεῖτε, καὶ προσεύχεσθε*· ἕτεροι· *Ἑτοίμαζε εἰς*
B *τὴν ἔξοδον τὰ ἔργα σου*· ἄλλοι· *Ἐταπεινώθην, καὶ ἔσωσέ με*· τινὲς μέν· *Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν*· ἄλλοι πάλιν· *Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος*, διὰ παντὸς σκέπτονται. Πάντες μὲν τρέχουσιν (36). Εἷς δὲ τούτων λαμβάνει τὸ βραβεῖον (37). Ἀκόπως, οὐ μόνον ἐγρηγορὼς, ἀλλὰ καὶ καθεύδων ὁ προκόψας ἐργάζεται. Ὅθεν τινὲς καὶ ἐν αὐτοῖς τοῖς ὕπνοις τοὺς δαίμονας προσερχομένους ἀτιμάζουσι, καὶ ἀκόλαστα γύναια περὶ σωφροσύνης νουθετοῦσι. Μὴ ἀνάμενε, μηδὲ προπαρασκευάζου παρουσίας· ἁπλῆ γὰρ ὅλη καὶ ἄδετος τῆς ἡσυχίας ἡ κατάστασις. Οὐδεὶς θέλων οἰκοδομῆσαι πύργον, καὶ κέλλαν ἡσυχίας ἐπιχειρεῖ, εἰ μὴ πρότερον καθήσας ψηφίσει καὶ
C ψηλαφίσει [*al.* ψηλαφήσει], διὰ προσευχῆς, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμὸν ἰδιώματα, μήποτε γένηται μετὰ τὴν τοῦ θεμελίου καταβολὴν γελεῖον τοῖς ἐχθροῖς αὐτοῦ, καὶ ἐμπόδιον ἑτέροις ἐργάταις· σκόπει τὴν ἐπιδημοῦσαν ἡδύτητα, μήπως ἐκ πικρῶν ἰατρῶν, μᾶλλον δὲ ἐπιβούλων δολίως συνεκράθη. Νύκτωρ μὲν τὰ πολλὰ τῇ προσευχῇ δίδου (38), τὰ δὲ βραχέα τῇ ψαλμῳδίᾳ· ἡμέρα[ς] δὲ πρὸς τὴν σὴν πάλιν παρασκευάζου δύναμιν· οὐ μετρίως φωτίζειν καὶ ἐπισυνάγειν τὸν νοῦν ἡ ἀνάγνωσις πέφυκε (39)· λόγοι γὰρ Πνεύματος ἁγίου ὑπάρχουσι, καὶ τοὺς μετερχομένους πάντως ῥυθμίζουσιν· ἔστω σοι ἐργάτῃ ὄντι τὰ ἀναγινωσκόμενα πρακτικά· τούτων γὰρ ἡ ἐργασία περιττὴν ποιεῖ τὴν τῶν λοιπῶν ἀνάγνωσιν· πόνοις μᾶλλον, καὶ μὴ δέλτοις τοὺς τῆς ὑγείας λόγους
D φωτίζεσθαι ζήτει· ἀλλοτριονόους πρὸ δυνάμεως πνευματικῆς (40), μὴ μετέρχου λόγους. Σκότους γὰρ ὄντα ῥήματα, τοὺς ἀδυνάτους σκοτίζουσι· μία κύλιξ πολλάκις γεῦσιν οἴνου ἐσήμανε· καὶ εἷς λόγος ἡσυχαστοῦ τοῖς γεύσασθαι δυναμένοις πᾶσαν αὐτοῦ τὴν ἔνδον ὑπέδειξεν ἐργασίαν, καὶ κατάστασιν. Ἄρεπτον [ἀρέμβαστον] ψυχῆς ὅμμα κέκτησο πρὸς οἴησιν· οὐ γάρ ἐστιν ἐν κλοπαῖς τι ταύταις ὀλεθριώτερον (41). Φείδου τῆς γλώσσης προϊών· οἶδε γὰρ συντόμως πολλοὺς καμάτους σκορπίζειν. Ἀπερίεργον ἄσκει κατάστασιν· μολύνειν γὰρ τὴν ἡσυχίαν περιεργία ὡς οὐκ ἄλλο τι δύναται. Τοῖς παραβάλλουσι τὰ χρειώδη παράβαλλε (42), σώματι λέγω καὶ πνεύ-

[99] Psal. xv, 8. [1] Luc. xxi, 19. [2] Matth. xxvi, 41. [3] Psal. cxiv, 6. [4] Rom. viii, 6. [5] Psal. xlix, 22. [6] I cor, ix, 24.

ματι· εἰ μὲν σοφώτεροι καθεστήκασι, διὰ σιωπῆς τὴν φιλοσοφίαν ἐπιδειξώμεθα. Εἰ δὲ ἀδελφοὶ τῇ καταστάσει, συμμέτρως τὴν θύραν ἀνοίξωμεν. Πλὴν ἄμεινον πάντας ὑπερέχειν λογίζεσθαι. Βουλόμενόν με πάντῃ ἀποτρέπειν ἐν ταῖς συνάξεσι τὸ τοῦ σώματος ἔργον τοῖς ἔτι νηπιώδεσιν, ἐπέσχεν ὁ τὴν ψάμμον ἐν τῇ ἀναβολίδι πανυχὶ φέρων. Ὥσπερ ἐναντιοῦται τῷ λόγῳ τῶν δογμάτων τῆς ἁγίας καὶ ἀκτίστου (43), καὶ προσκυνητῆς Τριάδος τὰ περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς αὐτῆς πανυμνήτου μονάδος [Τριάδος]· τὰ μὲν γὰρ ἐκεῖ πληθυντικὰ, ἐν τούτῳ ὑπάρχουσι ἑνικά· τὰ δὲ ἐκεῖ ἑνικὰ, ἐνταῦθά εἰσι πληθυντικά· οὕτως ἕτερα τὰ τῇ ἡσυχίᾳ, καὶ ἄλλα τὰ τῇ ὑπακοῇ πρέποντα ἐπιτηδεύματα. Ὁ μὲν θεῖός φησιν Ἀπόστολος· *Τίς ἔγνω νοῦν Κυρίου;* ἐγὼ δὲ λέγω· Τίς ἔγνω νοῦν ἀνθρώπου ἡσυχαστοῦ σώματι καὶ πνεύματι;

A et statum, iis qui judicare possunt, ostendit. Intortum animæ oculum geras adversus animi elationem: nulla enim fraus hac est perniciosior. In publicum progressurus linguam coerce. Solet enim momento temporis omnes virtutum labores pessumdare. Abstine ab omni curiosa et non necessaria occupatione. Tam enim inquinare solitudinis quietem solet ista negotiosa curiositas, quam ulla res alia potest. Adventoribus et peregrinis necessaria qua corporis, qua spiritus præbe, qui si sapientia præpolleant, nos nostram illis sapientiam per silentium demonstremus. Si autem fratres religiosi fuerint, tum moderate januam sapientiæ aperiamus. **422** Quanquam præstat existimare omnes nobis excellentiores esse. Cum junioribus in conventibus B omnino vellem opere faciendo interdicere, prohibuit is qui per totam noctem arenam in pallio tulit. Sicut adversantur doctrinæ pronuntiatorum de sancta et increata et adoranda Trinitate, pronuntiata de humanitate Christi unius ex tribus personis ejusdem laudatissimæ Trinitatis: quæ enim in Trinitate sunt pluralia, sunt in Christo singularia: et quæ in illa sunt singularia, in Christo sunt pluralia: ita alia conveniunt studia solitariæ vitæ, alia iis qui sub obedientia vivunt. Divinus quidem Apostolus ait: *Quis cognovit sensum Domini*[1]? Ego vero dico: Quis cognoscit mentem hominis qui corpore et animo in solitudine vivit?

Κράτος βασιλεῖ πλοῦτος καὶ πλῆθος· κράτος δὲ ἡσυχαστῇ προσευχῆς πλῆθος.

Potentia regis in opibus et multitudine sita est; potentia vero solitarii in precum copia et frequentia.

ΣΧΟΛΙΑ

SCHOLIA

Εἰς λόγον περὶ διαφορᾶς ἡσυχίας.

Ad gradum de differentia et discretione vitæ solitariæ.

Σχόλιον α'.

Scholion 1.

Οἶμαι ὅτι διὰ τὴν προπέτειαν λέγει τῆς γλώσσης, καὶ ταύτην καλεῖ ἀσθένειαν στόματος· σώματος δὲ πρόληψιν τὴν ἀργίαν, ὡς ἐθίσαντος ἀργεῖν, καὶ σωματικῶς ἀναπαύεσθαι.

Existimo petulantiam seu procacitatem linguæ intelligendam, et hanc a Climaco infirmitatem seu morbum oris vocari. Per corporis vero pravam et præceptam consuetudinem, intelligit otium, cui corpus, quod amat corporalem quietem, assuevit.

Σχόλιον β'.

Scholion 2.

Ἰδιορυθμία ἐστὶ τὸ ἔχειν τινὰ ἰδίαν τάξιν, καὶ ἐκπληροῦν τὸ ἴδιον θέλημα.

Propria vivendi ratio est sequi suam vivendi ra- C tionem, et suam explere voluntatem.

Σχόλιον γ'.

Scholion 3.

Εἰ ἀπέστη, φησὶν, ἀπὸ σοῦ ἡ ἀκηδία· περὶ ταύτης γὰρ καὶ πρὸ μικροῦ ἔφη, ὅτι οἱ μετὰ λόγον ἡσυχάσαντες, μὴ πρότερον ἡσύχασαν, πρὶν πάσῃ ἀκηδίᾳ ἀπόστασιν δεδώκασιν· εἰ οὖν ἀπέστη αὕτη, περισσὸν τὸ ἐργάζεσθαι.

Profligata abs te acedia seu pigritia (de hac enim paulo ante dixit quod qui cum ratione solitariam **423** vitam sectantur, non prius ad eam pervenerint, quam omni inertiæ nuntium remitterent), hac ergo, inquit, profligata, nihil est quod labores.

Σχόλιον δ'.

Scholion 4.

Οἱ μὲν κοινοβιακοί· οἱ δὲ ἡσυχαστικαί.

Hi quidem cœnobitæ, isti vero solitarii.

Σχόλιον ε'.

Scholion 5.

Δηλονότι μέγα τὸ τῆς ἡσυχίας ἔργον, καὶ πλείονος προκοπῆς αἴτιον, ἢ τὰ κοινόβια· οὐ βούλεται δὲ τοῦτο εἰπεῖν διὰ τοὺς ἀσθενεστέρους.

Haud dubie ingens opus est solitaria vita, et multo majoris profectus causa et occasio quam vita cœnobitica. Non pronuntiavit autem hoc Climacus propter imperfectiores.

Σχόλιον ς'.

Scholion 6.

Τὰς ἐργασίας τῶν καθ' ἡσυχίαν ὄντων ἀπαριθμεῖται, καὶ ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζονα πρόεισιν· οἱ μὲν γὰρ, φησὶ, διὰ τὸ τὰ πάθη ἐλαττῶσαι ταύτην ἐργάζονται, καὶ ἴσως, καὶ δι' ἐργοχείρου κοπιῶσιν, ὅπερ ἐστὶ τῶν ἀρχομένων· οἱ δὲ τῇ ψαλμῳδίᾳ ἐνασχολοῦνται, ὅπερ ἐστὶ τῶν προκοπτόντων· οἱ δὲ τῇ προσευχῇ προσκαρτεροῦσι, ὅπερ ἐστὶ τῶν

Studia solitariorum enumerat, et a minoribus ad majora progreditur. Alii enim, inquit, hanc exercent, ut pravas animi cupiditates temperent, et fortasse ut corporis labore fatigent ac debilitent: id quod est incipientium. Alii psalmorum cantui vacant, quod est proficientium. Alii precibus dant operam, in iisque perseverant et durant: quod est

[1] Rom. xi, 34.

eorum qui jam profecerunt. Alii ad contemplationem incumbunt; quod est jam perfectorum. Ergo ab humilioribus cœptando ad altiora recurrit sermonis ratione velut scala usus. Nam scala ab infimis gradibus et radiis ad altiora consuevit ascendere.

A ἤδη προκοψάντων· οἱ δὲ τῇ θεωρίᾳ ἐνατενίζουσιν, ὅπερ ἐστὶν ἤδη τῶν τελείων. Ἀπὸ οὖν τῶν ταπεινοτέρων ἀρξάμενος ἐπὶ τὰ ὑψηλότερα ἤδη ἀνέδραμεν, ὥσπερ κλίμακι τινὶ τῷ λόγῳ χρησάμενος· ἡ γὰρ κλίμαξ ἀπὸ τῶν ταπεινοτέρων ἐπὶ τὰ ὑψηλότερα ἀναβιβάζειν πέφυκε.

Scholion 7.

Animo concipere dolorem et tristitiam superat omnem corporis laborem et fatigationem.

Σχόλιον Ἰσαὰκ ζ'.

Τὸ λυπεῖσθαι κατὰ διάνοιαν, ὑπερβάλλει τὸν κόπον τοῦ σώματος.

Scholion 8.

Non secus ac servum venientem quando vult dominus.

Σχόλιον η'.

Οἱονεὶ δοῦλον, ὅτε θέλει ὁ κεκτημένος, ἐρχόμενον.

Scholion 9.

Corporis [membrorum] remissionem sequitur cogitationum evagatio et inquinatio; immodicum laborem pigritia; pigritiam illa evagandi libertas, quarum altera differt ab altera. Primam enim sequitur pugna luxuriæ; alteram loci solitarii relictio, et e loco in locum migratio (moderatum autem et constantem laborem non sequitur pœna). Horum autem laborum remissio auget voluptatem, excessus vero discursum. Quapropter difficile est assequi, quæ sequuntur ea quæ enumeravit, quibus qui caret sine ratione vitam quietam seu solitariam sectatur. . . . .

B

Σχόλιον θ'.

Ἕπεται τῇ ἀνέσει τῶν μελῶν ἡ τῶν λογισμῶν ἔκτασις, καὶ φύρσις, καὶ τῇ ἀμέτρῳ ἐργασίᾳ ἀκηδία, καὶ τῇ ἀκηδίᾳ ἔκτασις· διαφέρει δὲ ἔκτασις ἐκτάσεως· τῇ μὲν γὰρ πρώτῃ ἐκτάσει ἕπεται ὁ πόλεμος τῆς πορνείας· τῇ δὲ δευτέρᾳ τοῦ ἰδίου ἡσυχαστηρίου κατάλειψις, καὶ ἀπὸ τόπου εἰς τόπον μετακίνησις· τῇ δὲ ἐμμέτρῳ καὶ ἐπιμόνῳ ἐργασίᾳ τιμὴ οὐκ ἔστι· τούτων δὲ ἡ μείωσις μὲν πληθύνει τὴν ἡδονήν, ἡ ἀμετρία δὲ τὴν ἔκτασιν· καὶ διὰ τοῦτο δύσκολον τὸ μετὰ (*a*) ταῦτα ποῖα ἅπερ ἀπηριθμήσατο· ἅπερ μὴ ἔχων οὐ κυρίως λόγῳ ταύτην μετελθεῖν. . . . . .

Scholion 10.

Ubi vitiorum copia, ibi virtutum inopia.

Σχόλιον ι'.

Ἡ ἐν τῷ πλούτῳ τῆς κακίας, τῶν ἀρετῶν πενία.

Scholion 11.

Et, quod inde sequitur, intelligit, opinor, lapsum carnis, aut mentis **424** stuporem : hæc enim ex inflato et elato animo, quemadmodum et blasphemia, solent exsistere.

C Τὸ ἐξῆς οἶμαι, ἢ πτῶμα σωματικὸν, ἢ νοὸς ἔκτασιν· γέννημα γὰρ τύφου ταῦτα, ὡς καὶ ἡ βλασφημία.

Scholion 12.

Qui his caret, obediens seu subjectus non est.

Σχόλιον ιβ'.

Ὅτι μὴ ἔχων ταῦτα, οὐκ ἔστιν ὑποτακτικός.

Scholion 13.

Quia deterior est omnibus nimia libertas et defectus compunctionis, quam sequitur scurrilitas.

Σχόλιον ιγ'.

Ὅτι χεῖρον πάντων ἡ παῤῥησία καὶ τὸ ἀκατάνυκτον, ὅ ἐστιν εὐτραπελία.

Scholion 14.

Octo sunt capitales vitiorum cogitationes, e quibus solitarios oppugnant, vitium acediæ, vanæ gloriæ, superbiæ, tristitiæ, iræ; eos autem qui sub obedientia vivunt, gula, luxuria, avaritia.

Σχόλιον ιδ'.

Ὀκτὼ οἱ γενικοὶ τῆς κακίας λογισμοί· καὶ τοῖς μὲν ἡσυχάζουσι πολεμοῦσιν· ὁ ἀκηδίας, ὁ κενοδοξίας, ὁ ὑπερηφανίας, ὁ λύπης, ὁ ὀργῆς· τοῖς δὲ ἐν ὑποταγῇ, ὁ τῆς γαστριμαργίας, ὁ τῆς πορνείας, ὁ τῆς φιλαργυρίας.

Scholion 15.

Parens quædam vitiorum est pigritia : quæ enim bona tibi comparasti, facile eripit; quibus cares, cavet ne acquiras.

D *Σχόλιον ιε'.*

Μήτηρ κακῶν [κακιῶν] τις ἐστιν ἡ ῥᾳθυμία· ἃ μὲν γὰρ ἔσχες χρηστὰ, συλᾷ ῥᾳδίως· ἃ δ' οὐκ ἔχεις ἴδεισε λαβεῖν κωλύει (*b*).

Scholion 16.

Nam qui non extra curas est, quomodo potest precibus vacare, aut cor animumque eo intendere?

Σχόλιον ις'.

Τὸν γὰρ μὴ κτησάμενον ἀμεριμνίας, πῶς δυνατὸν ἐπιμεληθῆναι προσευχῇ, ἢ καρδιακῆς προσοχῆς·

Eliæ Cretensis.

Τοῦ Ἐλίου.

Tres profectus seu ordines seu gradus præsentibus (seu adductis) verbis docet divinus hic pater : omnium vitæ curarum abdicationem, et quæ vitam

Τρεῖς προκοπὰς εἴτε τάξεις εἴτε βαθμοὺς ἐν τοῖς παροῦσι, διδάσκει ὁ θεῖος οὗτος πατὴρ, ἀμεριμνίαν ἐν τῷ βίῳ καὶ οἷς οὗτος συγκαταλύεται, προσευχὴν

(*a*) Aliter μέτρον. Difficile est medium attingere in iis quæ enumeravit, quibus tamen qui caret, non cum ratione solitariam vitam sectatur. Cæterum scholiastes ipse fatetur se hunc Climaci locum non assequi, et locus ipse hic in scholiaste non est justus et integer.

(*b*) Ἴσως, ἃ δ' οὐκ ἔχειν ἤδει σε, λαβεῖν κωλύει; *quæ te novit non habere, prohibet acquirere.*

ἄοκνον, καὶ τρίτον ἐργασίαν καρδίας ἄσυλον· ὥστε ὅῆλον, ὅτι μέσον ἑκατέρων τῶν ἄκρων ἡ προσευχὴ κεῖται. Ὁ τοίνυν τὴν ἀμεριμνίαν κτησάμενος, καὶ τὰ ἐξῆς δύναται μετελθεῖν. Τὸ μέσον οὖν τῶν δύο, ἤτοι τὴν προσευχὴν· φησὶ μετεχόμενος, ἐν μέσοις γέγονα τοῖς καλοῖς, καὶ μήπω πρὸς τὸ ἕτερον ἀναβέβηκα τῶν ἀγαθῶν (*b*)

A ad mortem usque comitantur orationem impigram; cordis inviolabile studium seu operationem, ut manifeste pateat, medium inter duo extrema positum esse, orationem. Qui ergo omnibus vitæ curis se abdicavit, poterit etiam ad ea quæ sequuntur eniti. Medium ergo e duobus, inquit, assecutus ego, in mediis constiti bonorum seu virtutum bonis, extremumque gradum bonorum seu virtutum nondum conscendi.

Σχόλιον ιζ'.

Προερχόμενος, φησὶ, τῆς κέλλης φύλαττε μὴ θριαμβεύσῃς τὰς ἀρετάς, ἃς εἰργάσω ἐν ἡσυχίᾳ. Τοῦ γὰρ στόματος ἀφυλάκτως ἀνοιγομένου, καὶ προπετευομένου, αἱ ἐν κρυπτῷ ἀρεταὶ, αἱ τὸν νοῦν πρὸς Θεὸν ἀνυψοῦσαι, ἀπόλλυνται καὶ ἄφαντοι γίνονται· στόμα γὰρ, φησὶ, προπετεῖ ἐγγίζει συντριβῇ.

Scholion 17.

E cella tua egressus cave ne jactes palam, quas in silentio et solitudine exercuisti virtutes. Ore enim incaute reserato, temereque præcipitante virtutes in occulto partæ, quæ mentem ad Deum sublimabant, pereunt et evanescunt. Os enim, inB quit, invitat ad procacem collocutionem seu garriendi consuetudinem.

Ἄλλο.

Ἡ ἔξω τῆς κέλλης συνεχὴς διατριβὴ ἔστω παραιτητέα, εἴπερ ἡσυχάζειν ᾑρετίσω. Ἔστι γὰρ ἐπιζήμιος πάνυ· ἀφαιρεῖται τὴν ψυχὴν, σκοτοῖ τὸ φρόνημα, μαραίνει τὸν πόθον· διὰ τοῦτο εἴρηται· *Ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.* Τοιγαροῦν κόπτε τῶν πολλῶν τὰς σχέσεις, μή σου ὁ νοῦς περιστατικὸς γένηται, καὶ ταράξῃ τὸν τῆς ἡσυχίας τρόπον.

Aliud.

Longa et frequens extra cellam mora tibi penitus repudianda est, siquidem solitariam vitam delegisti; est enim perniciosa valde, et animam perdit, menti tenebras offundit [animi sensum obtundit], desiderium rerum cœlestium exstinguit. **425** Unde dictum est: *Inconstantia concupiscentiæ transvertit sensum sine malitia*[8]. Quapropter rescinde omnes erga alios affectus, ne mens fluctuare incipiat, et habitum quietis et solitudinis perturbet

Σχόλιον Ἰσαὰκ ιη'.

Καθάπερ οὐ δύναται ὁ τὴν κεφαλὴν ἔχων ὑπὸ τὸ ὕδωρ ἀναπνεῦσαι τὸν ἀέρα, τὸν λεπτὸν, τὸν ἐπιχεόμενον ἐν τῷ κόλπῳ τῷ κενῷ τούτῳ, οὕτως οὐ δύναται C ὁ βαπτίζων τὴν διάνοιαν αὐτοῦ ἐν τῇ μερίμνῃ τῇ ἐνταῦθα εἰσδέξασθαι τὴν ἀναπνοὴν τῆς αἰσθήσεως ἐκείνης τοῦ κόσμου τοῦ καινοῦ.

Scholion Isaaci 18.

Quemadmodum qui caput sub aqua habet, subtilem et in hoc vacuo mundi spatio diffusum aerem captare non potest, ita qui mentem suam curis vitæ præsentis demersam habet, non potest respirare ex sensu illo novi et alterius mundi.

Σχόλιον ιθ'.

Ἔρημός ἐστιν ἡ φρενῶν ἀκοσμία.

Scholion 19.

Solitudo est neglectus ingenii seu prudentiæ callidæ.

Ἄλλο.

Εἰ βούλει διηνεκῶς μνημονεύειν Θεοῦ, μὴ ἀπόθου ὡς ἀδίκους τὰς ἐπιφοράς· ἀλλὰ δικαίας ἐπιφερομένας ὑπόφερε· ἡ μὲν γὰρ ὑπομονὴ δι' ἑκάστης συμβάσεως τὴν μνήμην ἀνακινεῖ· ἡ δὲ παραίτησις μειοῖ τὸν ἐφεδρεύοντα τῆς καρδίας πόνον, καὶ διὰ τῆς ἀνέσεως τὴν λήθην ἐργάζεται.

Aliud.

Si vis semper Dei memoriam tecum circumferre, non rejicias tanquam immerito tibi illatas calumnias, sed tanquam juste irrogatus fortiter sustine: patientia enim per quemcunque casum et eventum memoriam refricat. Recusatio vero minuit opportunum cordis laborem, et per cessaD tionem, oblivionem inducit.

Σχόλιον κ'

Πτωχὸν τὸν ἀκτήμονα τίς λέγει; Ἐγὼ δὲ οἶμαι τὸν ταπεινόν.

Scholion 20.

Quis vocat illum qui se bonis abdicavit mendicum? Ego humilem interpretor.

Σχόλιον κα'.

Χώρημα καρδίας ἐλπὶς εἰς Θεόν· στενοχωρία δὲ αὐτῆς φροντὶς σώματος.

Scholion 21.

Cordis perfugium seu receptaculum est spes in Deum. Carcer cordis est cura corporis.

Σχόλιον Μάρκου κβ'.

Μνήμη Θεοῦ ἐστι πόνος καρδίας ὑπὲρ εὐσεβείας γινόμενος· πᾶς δὲ ὁ ἐπιλανθανόμενος τοῦ Θεοῦ ἡδυπαθὴς καὶ ἀνάλγητος γίνεται.

Scholion Marci 22.

Memoria Dei est labor cordis pietatis causa susceptus. Quicunque autem Dei obliviscitur, voluptate corporis et animi stupore occupatur.

[8] Sap. IV, 12.

(*b*) Disputat deinde Elias Cretensis copiose de visione Climaco oblata, quam apud eumdem leges. Est subobscura, ita ut commentarius commentario indigeat.

Aliud Isaaci.

Quando vini vis membra occupavit, mens omnium rerum curam abolet. Et memoria Dei ubi imperium acceperit in animam, abjicit omnem saniem seu vomicam cordis, quam per visum haurit.

Scholion 23.

Bonum est discendi cupidos verbo docere, sed melius est eosdem virtutibus, precibus et factis juvare : qui enim seipsum per hæc Deo offert, per suam virtutem et auxilium simul succurrit proximo. Si per compendium vis docere studiosum disciplinæ, propone illi studium precandi et rectam fidem.

426 *Scholion* 24.

Dei nutum nempe et colloquium.

Scholion 25.

In aures stulti non effundas sermonem, ne aliquando suggillet et subsannet adjutores tuos. Admodum enim noxius est et valde perniciosus leviorum seu vaniorum hominum convictus. Quemadmodum enim qui infectum et pestiferum aerem hauriunt, omnino morbis vexantur ; ita qui cum quovis genere hominum sine discrimine versantur, vitiis illorum imbuuntur : *Corrùmpunt enim mores bonos colloquia prava* [9].

Scholion Isaaci 26.

Non objurges durius eos qui preces tuas expetunt, nec mollium verborum consolatione destituas, ne pereant, et abs te ratio animarum exigatur ; sed imitare medicos qui morbos ardentiores frigidioribus, et frigidiores calidioribus pharmacis curant.

Scholion 27.

Quæst. Quid sit solitarius ? Resp. Qui solus est foris, extra res et negotia sæcularia ; intus autem (et mente) etiam cogitationibus ab eisdem negotiis sejunctus, ut ne cogitationes quidem curarum profanarum admittat. Deinde solitarius est, qui animo ad verum Deum versus et intentus, cogitationes omnes a malitia protectas repellit.

Scholion 28.

Ubi vere sincereque precatus fueris, optimum intus conscientiæ testimonium reperies. Et angeli tecum versabuntur, et rationes rerum quæ fiunt docebunt, mentemque illuminabunt.

Aliud.

Quod aliud est bonum præter Deum ? Quin ergo reddimus illi omnia nostra quæ habemus, et bene erit nobis. Cum enim sit summe bonus, omnia quoque nobis bona dona largietur

Scholion 29

Qui credit ea (quæ post hanc vitam) futura sunt, sine controversia abstinet a præsentis vitæ voluptatibus. Incredulus autem luxuriosus fit, et omnem animi sensum perdit.

Scholion Isaiæ 30.

Homo qui confidit in aliquo qui non est cum Deo

[9] Sap. II, 6 ; I Cor. XV, 33.

Ἄλλο Ἰσαάκ.

Ὅταν ἡ δύναμις τοῦ οἴνου εἰς τὰ μέλη εἰσέλθῃ, ἐπιλανθάνεται ὁ νοῦς τῆς ἀκριβείας τῶν πάντων· καὶ ἡ μνήμη τοῦ Θεοῦ, ὅταν κρατήσῃ νόμον εἰς τὴν ψυχήν, ἀποβάλλει πᾶσαν νομὴν ὁράσεως ἐκ τῆς καρδίας.

Σχόλιον κγ'.

Καλὸν τὸ διὰ λόγου ὠφελεῖν τοὺς πυνθανομένους· κρεῖσσον δὲ τὸ δι' ἀρετῆς καὶ προσευχῆς συνεργεῖν αὐτοῖς· ὁ γὰρ διὰ τούτων προσφέρων Θεῷ, βοηθεῖ καὶ τῷ πέλας διὰ τοῦ ἰδίου βοηθήματος. Εἰ θέλεις συντόμῳ λόγῳ ὠφελεῖν τὸν φιλομαθῆ, ὑπόδειξον αὐτῷ προσευχὴν καὶ πίστιν ὀρθήν.

Σχόλιον κδ'.

Τὴν πρὸς Θεὸν νεῦσιν, καὶ ὁμιλίαν δηλονότι.

Σχόλιον κε'.

Εἰς ὥτα ἄφρονος μηδὲν λέγε, μήποτε μυκτηρίσῃ τοὺς συνεργούς σου. Ἐπιβλαβὴς γὰρ, καὶ πάνυ φθοροποιὸς ἡ μετὰ τῶν εἰκαιοτέρων συνδιαίτησις· καθάπερ γὰρ οἱ ἐν ἀέρι λοιμικῷ γενόμενοι πάντως νοσοῦσιν· οὕτως οἱ ἐν ἀνθρώποις ἀδιαφόροις ἐνδιατρίβοντες, μεταλαμβάνουσι τῆς ἐκείνων κακίας· *Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί.*

Σχόλιον Ἰσαὰκ κς'.

Μὴ ἐπίπληττε τοὺς δεομένους τῆς σῆς εὐχῆς, καὶ τῶν μαλθακῶν λόγων τῆς παρακλήσεως μὴ ἀποστέρει, ἵνα μὴ ἀπόλωνται, καὶ ἀπαιτηθῇς τὰς ψυχὰς αὐτῶν· ἀλλὰ μίμησαι τοὺς ἰατροὺς, οἵτινες τὰ θερμότερα πάθη τοῖς ψυχροτέροις ἰῶνται φαρμάκοις, καὶ τὰ ψυχρότερα τοῖς ἐναντίοις.

Σχόλιον κζ'.

Ἐρώτησις. Τί ἐστι μονάζων ; Ἀπόκρ. Ὅτι μόνος ἐστὶν, ἔξωθεν μὲν ταῖς ὕλαις, καὶ τοῖς κοσμικοῖς πράγμασιν· ἔσωθεν δὲ τοῖς τούτων διανοήμασι, ἵνα μὴ καταδέχηται τοὺς λογισμοὺς τῆς κοσμικῆς φροντίδος· δεύτερον δὲ, ἵνα γένηται μονάζων ὁ νοῦς πρὸς τὸν ἀληθινὸν Θεὸν, μὴ καταδεχόμενος τοὺς ἐκ τῆς κακίας λογισμούς.

Σχόλιον κη'.

Ἐὰν ἀληθῶς προσεύχῃ, πολλὴν πληροφορίαν εὑρήσεις· καὶ ἄγγελοι συνελεύσονταί σοι, καὶ τοὺς λόγους τῶν γινομένων φωτιοῦσιν.

Ἄλλο.

Τί ἄλλο ἀγαθὸν ἀλλ' ἢ Θεός ; οὐκ οὖν αὐτῷ ἀποδῶμεν πάντα τὰ καθ' ἡμᾶς, καὶ εὖ ἡμῖν ἔσται· ὁ γὰρ ἀγαθὸς πάντως, καὶ ἀγαθῶν ἔσται ὁ παροχεὺς δωρεῶν.

Σχόλιον κθ'.

Ὁ πιστεύων περὶ τῶν μελλόντων, τῶν ὧδε ἡδέων ἀδογματίστως ἀπέχεται· ὁ δὲ ἀπίστων ἡδὺς καὶ ἀνάλγητος γίνεται.

Σχόλιον Ἰσαΐου λ'.

Ἄνθρωπος πειθόμενος μετά τινος μὴ ὄντος τοῦ

Θεοῦ, οὗτος οὐκ ἔχει ἐν ἑαυτῷ φόβον Θεοῦ· καὶ ἐν ὅσῳ τις δουλεύει τοῖς πάθεσιν, οὔπω ἐλογίσθη εἰς δοῦλον τοῦ Θεοῦ, ἀλλ' ἐκείνου δοῦλός ἐστιν, ἐν ᾧ καταχυριεύεται.

Ἄλλο Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Διαιρεῖται ὁ φόβος εἰς ἕξ· εἰς ὄκνον, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἀγωνίαν, εἰς ἔκπληξιν. Ὄκνος μὲν οὖν ἐστι φόβος μελλούσης ἐνεργείας· αἰδὼς δὲ φόβος ἐπὶ προσδοκίᾳ ψόγου· κάλλιστον δὲ τοῦτο τὸ πάθος· αἰσχύνη δὲ φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ· οὐδὲ τοῦτο ἀνέλπιστον εἰς σωτηρίαν· κατάπληξις δὲ φόβος ἐκ μεγάλης φαντασίας· ἔκπληξις δὲ φόβος ἐξ ἀσυνήθους φαντασίας· ἀγωνία δὲ φόβος δι' ἀπτώσεως ἤγουν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως ἀγωνιῶμεν.

Σχόλιον Ἰσαάκ λα'.

Πρὸς τὸ μέτρον τῆς ταπεινοφροσύνης δίδοταί σοι καὶ ὑπομονὴ ἐν ταῖς συμφοραῖς σου. Καὶ κατὰ τὴν ὑπομονήν σου ἐλαφρύνεται (*a*) τὸ βάρος τῆς θλίψεώς σου, καὶ παραμυθίαν κτήσῃ

Σχόλιον λβ'.

Δευτέραν, τὴν ὑπομονήν λέγει. Διὰ μὲν τῆς ὑπομονῆς, φησί, στεφανωθήσεται· διὰ δὲ τῆς τροφῆς, εἰ ἀμέτρως αὐτῇ χρήσεται θανατωθήσεται· ἐκ τῶν ἑπτὰ ὁ λαμβάνων τὸ βραβεῖον ἀκόπως ὁ εἰπών, *ἐταπεινώθην*, ἢ καὶ ὁ πρῶτος ὁ *προορώμενος τὸν Κύριον*· ἢ πάλιν εἷς, ὁ τελειῶν τὸν σκοπὸν κἂν ὁποιοσοῦν ἐκ τούτων ᾖ.

Σχόλιον λγ'.

Ἰστέον ὅτι ἔργῳ χρὴ πειράσαι τὸν βουλόμενον (παιδεύεσθαι)· οὐ γὰρ δυνατὸν τοῦτο καταλαβεῖν λόγῳ.

Σχόλιον λδ'.

Ἓν τῶν πνευμάτων τὸν τῆς πορνείας λέγει· ἄλλοι δέ φασι τὸν τῆς κενοδοξίας· ἕτεροι δὲ τὸν τῆς ἀκηδίας δαίμονα.

Σχόλιον λε'.

Ὁ πρῶτος, ἤγουν ὁ προορώμενος· ἢ πάλιν εἷς ὁ προορῶν τὸν σκοπὸν, κἂν ὁποιοσοῦν ἐκ τούτων ἦν.

Σχόλιον λς'.

Ὅτι ἁπλῶς διὰ ταῦτα πάντα, καὶ οὐ δι' ἓν ἡτοίμασται τὸ βραβεῖον τοῖς προτρεχομένοις.

Σχόλιον λζ'.

Φρων λογιστὴς δεικνύει τίς λαμβάνει, ἢ δημοσίων συλλογεὺς τελεσμάτων τὴν ὑψοποιὸν ἀσπασάμενος κλίσιν.

Σχόλιον λη'.

Τὸ ἱλαρὸν καὶ ἄλυπον ὑπὸ τῆς ψυχῆς κατάστημα, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται.

conjunctus, hic non habet timorem Dei. Et in quocunque quis suis malis affectibus indulget, **427** nondum est relatus in censum servorum Dei, sed servus illius est, qui imperium in illum exercet.

Aliud Joannis Damasceni.

Sex genera sunt metus : segnities, pudor, verecundia, stupor, angor et terror. Segnities est metus impendentis actionis. Pudor metus ex vituperationis exspectatione susceptus, optimusque est hic affectus. Verecundia metus ob admissam rem obscenam, et ne hic quidem affectus est extra spem salutis. Stupor metus ex ingenti aliqua rei specie animo oblata. Terror metus ex nova aliqua seu inusitata rei specie contractus. Angor demum metus ne vota nostra nobis non succedant, aut infeliciter excidant, cum timemus, ne quod aggressi sumus, ex sententia non cadat.

Scholion Isaaci 31.

Pro modo humilitatis tuæ datur tibi et patientia in rebus adversis tuis. Et pro ratione patientiæ tuæ sublevabitur onus afflictionis tuæ, et consolationem obtinebis.

Scholion 32.

Per vocem (alteram) patientiam intelligit. Per patientiam, inquit, coronabitur, per cibum (immodice nempe sumptum) morte mulctabitur. E septem (quos enumeravit) præmium accipit sine fatigatione is qui dixit : Ego *humiliatus* sum : aut primus etiam, qui *providebat Dominum* (*in conspectu suo semper* [10]) : item unus aliquis qui perfecit quod destinarat quodcunque fuerit ex his.

Scholion 33.

Sciendum, facto opus esse ei qui velit institui; hoc enim verbo non assequetur.

Scholion 34.

Unum e malis geniis intelligit, spiritum nempe luxuriæ; alii inanis laudis; alii pigritiæ præsidem dæmonem interpretantur.

Scholion 35.

Primus qui providebat Dominum : aut item unus qui finem spectabat, quicunque ex his fuerit.

Scholion 36.

Quod absolute propter hæc omnia et non propter unum, præmium sit destinatum præcurrentibus seu cursu vincentibus.

Scholion 37.

428 Tributorum curator ostendit quis accipiat, aut publicorum vectigalium exactor, qui humilem amat inclinationem quæ sublimem facit (inclinatum).

Scholion 38.

Hilarem et lætum animæ statum et habitum hymnorum consolationes præstant.

[10] Psal. xv, 8, 10.

(*a*) Ultima verba octo abrasa fuerant, quæ ex conjectura Latinæ Isaaci translationis adjecimus.

Scholion 39.

Quemadmodum qui luce hac carent, non possunt recta incedere : ita qui sacrarum Litterarum lumine sunt destituti, cum ad harum splendorem non respiciunt, frequenter offendunt, et sæpe errare coguntur, ut qui in altis tenebris incedunt.

Scholion 40.

Improborum nempe et impostorum, quales sunt hæreticorum sermones.

Aliud.

Sive illos intelligit qui aliud verbis præ se ferunt, aliud intelligendum relinquunt, quales sunt anagogici sensus et sublimes. Verba enim obscura sive tenebris ænigmatum involuta et recondita (juxta illud : *Posuit tenebras latibulum suum* [11]) iis qui ultra litterarum sensum non possunt ascendere, nec quod intus latet animo capere aut penetrare intellectum rei, nocent, cum ut jacent verba accipiuntur, quemadmodum Cantica canticorum, et hoc genus alia.

Scholion Theodoreti 41.

Ventus levissima corpuscula in aerem tollere solet : et homines vanos tumor animi, seu sui existimatio.

Aliud Theol. Nazianz

Utres vacuos ventus distendit, fatuos sui existimatio.

Aliud.

(Hujus) existimationis sui et vana jactatio.

Aliud.

Dissipat per ostentationem et jactantiam.

Aliud.

Ne tibi subrepat rem ita esse, quemadmodum tibi videtur.

Aliud.

Aristoteles cum videret adolescentem elato et superbo supercilio incedentem, sed rudem et imperitum : Adolescens, qualis, inquit, tibi videris, esse sane cupiam ; qualis autem revera es, hostes meos esse velim.

429 *Scholion* 42.

Hospites [peregrini] adventantes neque varietate ciborum, neque magno verborum apparatu excipiendi sunt, quocunque habitu sint aut moribus, sed tenui simplicique modo tractandi.

Aliud Josephi abbatis.

Quando volueris aliquem ad bonum adhortari, primum exhibe illi officia corporis ut conquiescat ; deinde verbis charitate plenis illum cole et honora. Nihil enim ita hominem ad reverentiam et verecundiam morum inducit, ut officia charitatis externa corporis, et honor quem abs te proficisci vident.

Scholion 43.

In sancta Trinitate tres hypostases sive subsistentias, et tres personas profitemur, naturam au-

[11] Psal. XVII, 12.

Σχόλιον λθ'.

Ὥσπερ οἱ τοῦ φωτὸς τούτου ἐστερημένοι οὐκ ἂν ὀρθὰ βαδίσαιεν· οὕτως οἱ τῶν θείων Γραφῶν ἐστερημένοι, καὶ πρὸς τὴν ἀκτῖνα τούτων μὴ βλέποντες, πολλὰ προσκόπτουσι, καὶ ἀναγκάζονται συνεχῶς ἁμαρτάνειν, ἅτε δὴ ἐν σκότει χαλεπῷ βαδίζοντες.

Σχόλιον μ'.

Ἀλιτηριονοοὺς, ἢ πλανολόγους· οἵοί εἰσι τῶν αἱρεσιωτῶν.

Ἄλλο.

Ἤτοι ἀναγωγικοὺς τοὺς ἄλλο μὲν ἔχοντας τὸ φαινόμενον, ἄλλο δὲ τὸ νοούμενον· σκότους γὰρ ὄντα ῥήματα· ἤγουν αἰνιγματώδη καὶ ἀσαφῆ (κατὰ τό· *Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ*) τοὺς μὴ δυναμένους ὑπερβῆναι τὸ γράμμα, καὶ ἔνδον χωρῆσαι τοῦ πνεύματος, βλάπτουσι κατὰ τὸ πρόχειρον λαμβανόμενα· ὡς τὸ Ἄσμα τῶν ᾀσμάτων, καὶ τὰ τοιαῦτα.

Ἄλλο Θεοδωρήτου μα'.

Ὁ μὲν ἄνεμος τὰ ἐλαφρότατα τῆς ὕλης εἰς ἀέρα κουφίζειν εἴωθεν· τοὺς δὲ κενοὺς τῶν ἀνθρώπων ἡ οἴησις.

Ἄλλο τοῦ Θεολόγου.

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι· τοὺς δὲ ἀνοήτους ἡ οἴησις.

Ἄλλο.

Τῆς οἰήσεως καὶ καυχήσεως.

Ἄλλο.

Σκορπίζει γὰρ διὰ φαντασμοῦ καὶ καυχήσεως.

Ἄλλο.

Μή σοι τὸ εἶναι τὸ δοκεῖν ὑποφρέοι.

Ἄλλο.

Ἀριστοτέλης θεασάμενος νεανίσκον κατωφρυώμενον, μηδὲν δὲ ἐπιστάμενον· Νεανίσκε, φησὶ, οἷος μὲν δοκεῖς σεαυτὸν εἶναι, ἐγὼ γενοίμην· οἷος δὲ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μοι οἱ ἐχθροὶ γένοιντο.

Σχόλιον μβ'.

Οὐ χρὴ τοῖς παραβάλλουσι, οὔτε ποικιλίας βρωμάτων, οὔτε κομψείας ῥημάτων παρατιθέναι, ὁποῖοι ἂν σχῆμα, ἢ τὸν τρόπον τυγχάνουσι· λιτότητι δὲ πάντας ἐκδέχεσθαι.

Ἄλλο Ἰωσήφου ἀββᾶ.

Ὅταν θελήσεις νουθετῆσαί τινα εἰς τὸ ἀγαθὸν, πρῶτον ἀνάπαυσον αὐτὸν σωματικῶς· καὶ τίμησον αὐτὸν ἐν λόγῳ ἀγάπης· οὐδὲν γὰρ οὕτως πείθει τὸν ἄνθρωπον αἰδεῖσθαι καὶ μεταλλαγῆναι ποιεῖ ἀπὸ τῆς κακίας αὐτοῦ ἐπὶ τὰ βελτίονα, ὡς τὰ σωματικὰ ἀγαθὰ, καὶ ἡ τιμὴ ἥνπερ θεωρεῖ ἀπὸ σοῦ.

Σχόλιον μγ'.

Ἐπὶ μὲν τῆς ἁγίας Τριάδος τρεῖς ὑποστάσεις λέγομεν, καὶ τρία πρόσωπα, φύσιν δὲ μίαν καὶ

θέλημα· ἐπὶ δὲ τοῦ Χριστοῦ, μίαν μὲν ὑπόστασιν, καὶ ἓν πρόσωπον, δύο δὲ φύσεις, θελήματα, κἂν οὐχ οὕτω δοκῇ τοῖς αἱρετικοῖς καὶ βλασφήμοις.

tem et voluntatem unam. In Christo vero unam hypostasin sive subsistentiam et unam personam, duas vero naturas et duas voluntates, quamvis haretici et blasphemi aliter sentiant.

ΛΟΓΟΣ ΚΗ'.

Περὶ τῆς ἱερᾶς καὶ μητρὸς τῶν ἀρετῶν τῆς μακαρίας προσευχῆς· καὶ περὶ τῆς ἐν αὐτῇ νοερᾶς, καὶ αἰσθητῆς παραστάσεως.

Προσευχή ἐστι κατὰ μὲν τὴν αὐτῆς ποιότητα συνουσία καὶ ἕνωσις ἀνθρώπου καὶ Θεοῦ· κατὰ δὲ τὴν ἐνέργειαν, κόσμου σύστασις· Θεοῦ καταλλαγή, δακρύων μήτηρ καὶ πάλιν θυγάτηρ, ἁμαρτημάτων ἱλασμός, πειρασμῶν γέφυρα, θλίψεων μεσότοιχον, πολέμων θραῦσις, ἀγγέλων ἔργον, ἀσωμάτων πάντων τροφή· ἡ μέλλουσα εὐφροσύνη, ἀπέραντος ἐργασία, ἀρετῶν πηγή, χαρισμάτων πρόξενος, προκοπὴ ἀόρατος, τροφὴ ψυχῆς, νοῦ φωτισμός, ἀπογνώσεως πέλυξ, ἐλπίδος ἀπόδειξις, λύπης λύσις, πλοῦτος μοναχῶν, ἡσυχαστῶν θησαυρός, θυμοῦ μείωσις, ἔσοπτρον προκοπῆς, μέτρων (*a*) ἐμφάνεια, καταστάσεως δήλωσις, τῶν μελλόντων μηνυτής, κλέους σημασία. Προσευχή ἐστι τῷ ὄντως εὐχομένῳ δικαστήριον καὶ κριτήριον, καὶ βῆμα Κυρίου, πρὸ τοῦ βήματος μέλλοντος· ἀναστάντες ἀκούσωμεν, τῆς ἱερᾶς ταύτης βασιλίσσης τῶν ἀρετῶν πρὸς ἡμᾶς ὑψηλῇ τῇ φωνῇ βοώσης καὶ λεγούσης· *Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν, καὶ ἴασιν ταῖς πληγαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ πταισμάτων μεγάλων ἰαματικὸς ὑπάρχει.* Ὅσοι βασιλεῖ, καὶ Θεῷ παραστῆναι, καὶ συλλαλῆσαι πορευόμεθα, μὴ ἀπαρασκεύαστοι τὸν δρόμον ποιησώμεθα, μήπως θεασάμενος ἡμᾶς μακρόθεν μὴ ἔχοντας ὅπλα καὶ στολὴν βασιλικῆς παραστάσεως, τοῖς ὑπηρέταις καὶ λειτουργοῖς ἐπιτρέψῃ πόρρω που τοῦ αὐτοῦ προσώπου δεθέντας ἐξορίζεσθαι, καὶ τὰς ἡμῶν δεήσεις εἰς πρόσωπον ἡμῶν διαῤῥηγνυμένας [*al.* διαρησσομένας] ἀντιπέμπεσθαι. Ἔστω ὁ σὸς χιτὼν τῆς ψυχῆς ἐνώπιον Κυρίου παρασταθῆναι [*al.* παραστῆναι] πορευομένῳ ὅλος νήματι, μᾶλλον δὲ λύματι ἀμνησικακίας ἐξυφασμένος. Εἰ δὲ μή, οὐδὲν τῆς προσευχῆς ὠφεληθήσῃ. Ἔστω σοι ὅλον τὸ τῆς δεήσεως ἀποίκιλον· ἑνὶ γὰρ λόγῳ τελώνης, καὶ ἄσωτος τὸν Θεὸν διήλλαξαν· μία μὲν ἡ τῶν παρισταμένων παράστασις· πολὺ δὲ ἐν αὐτῇ τὸ ποικίλον, καὶ τὸ διάφορον κέκτηται· οἱ μὲν ὡς φίλῳ καὶ Δεσπότῃ ἐντυγχάνουσι, τῆς ἑτέρων λοιπὸν, καὶ οὐ τῆς αὐτῶν ἀντιλήψεως ἕνεκα, τὸν ὕμνον, καὶ τὴν ἱκεσίαν προσάγοντες· ἄλλοι πλοῦτον καὶ δόξαν, καὶ παῤῥησίαν πλείονα ἐπιζητοῦντες· ἕτεροι τοῦ ἀντιδίκου τοῦ ἑαυτῶν εἰς τέλεον ἀπαλλαγῆναι αἰτοῦντες· τινὲς μὲν ἀξίαν τινὰ λήψεσθαι δυσωποῦντες· ἄλλοι τελείαν τὴν τοῦ χρέους ἀμεριμνίαν· τινὲς μὲν φυλακῆς ἐλευθερίαν· ἄλλοι δὲ ἐγκλημάτων

GRADUS XXVIII.

De sacra et virtutum procreatrice beata oratione: et de mentis et corporis in illa præsentia.

Oratio, si ipsius naturam seu qualitatem spectes, est familiaris conversatio et conjunctio hominis cum Deo; si autem vim seu efficaciam, mundi conservatio, Dei reconciliatio, mater lacrymarum et iterum filia, propitiatio peccatorum, pons tentationum, propugnaculum adversus impetum afflictionum, bellorum oppressio et exstinctio, officium angelorum, omnium spirituum alimentum, futura lætitia, actio sempiterna, virtutum scaturigo, gratiarum divinarum conciliatrix, **430** profectus spiritualis, nutrimentum animæ, mentis illustratio, securis desperationis, spei demonstratio, tristitiæ solutio, divitiæ monachorum, thesaurus solitariorum, iræ diminutio, speculum religiosi profectus, dimensionum index, status declaratio, futurorum significatio, gloriæ futuræ indicium. Oratio est vere precantis curia, locus judicii et Domini ante generale judicium tribunal. Exsurgentes audiamus sacram hanc virtutum reginam ad nos excelsa voce clamitantem: *Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos: tollite jugum meum super vos, et invenietis requiem animabus vestris* [12], et medicinam plagis vestris. *Jugum enim meum suave est* [13], et magna peccata sanat. Quicunque imperatori et Deo assistere, et cum illo colloqui properamus, ne imparati curriculum hoc ingrediamur, ne nos eminus sine armis, et regiis insignibus astare prospiciens, ministris imperet, ut nos procul a facie sua rejectos, et vinctos in exsilium amandet, et preces nostras laceratas et damnatas nobis in faciem rejiciant. Quando precatum abis, sit vestis et tunica tua tota, in Domini conspectu, ex filo vel potius hilo oblivionis omnium injuriarum contexta. Quod nisi fiat nullum operæ pretium ex oratione tua referes. Sit tota oratio tua sincera et sine fuco. **431** Unico enim verbo et publicanus et prodigus Deum sibi reconciliarunt. Unus quidem est precantium status, sed in illo mille formæ et varietates continentur. Alii quippe colloquuntur et agunt cum Deo velut amico et Domino, non suam jam amplius, sed aliorum causam actitantes, laudes Deo canunt et supplicant: alii divitias cœlestes et gloriam et fiduciam majorem petunt: alii rogant ut ab hoste suo penitus liberentur; alii dignitatem aliquam desiderant ac petunt; alii, ut ab omni debitorum cura eximantur; alii, ut ab carcere expediantur; alii criminum solutionem quærunt. Ante

[12] Matth. xi, 28, 29. [13] ibid. 30.

(*a*) Modorum seu mediorum.

omnia in exordio chirographi petitionis nostræ sinceram gratiarum actionem collocemus. In altero dein versu confessionem, et contritionem ex vero animæ sensu proficiscentem ponamus, atque ita deinceps preces nostras omnium regi aperiamus. Optimus enim precandi modus est quem dixi, quemadmodum ab angelo cuidam e fratribus est significatum. Quod si olim reus tuam causam apud judicem mortalem egisti, non indigebis alia forma in precibus tuis coram Deo. Si vero nunquam ad tribunal ullius judicis astitisti, neque alios examinari vidisti, saltem hoc ab ægris disce, quando medicum rogant, mox vel secandi, vel urendi. Nihil est quod in precibus exquisita excogites verba : sæpius enim infantium [puerorum *seu* parvulorum] simplicia et tertiata verba Patrem illorum qui in cœlis est propitiarunt. **432** Neque multa verba facias, ne, dum quæris quod dicas, mens ipsa distrahatur. Unicum publicani verbum Deum placavit. Et una vox fidelis latronem in cruce salvum fecit. Verbositas enim inter preces sæpe mentem phantasmatibus involvit et dissipat. Pauca verba mentem distractam sæpius colligere solent. Ubi inter preces verbo aliquo delectatus fueris, aut compunctus etiam mane in eo verbo : custos enim noster angelus tunc nobiscum precatur. Ne confidentius aut licentius agas cum Deo, etiamsi purus fueris : sed accede cum multa potius humilitate, et majorem experieris fiduciam. Quamvis jam omnes virtutum gradus enixus per scalam superaveris, pete tamen veniam peccatorum, audiasque Paulum de peccatoribus clamantem : *Quorum primus ego sum* [14]. Cibos oleum et sal condire solent : orationem elevare temperantia et lacrymæ. Ubi plenam animi mansuetudinem indueris et omnem iram exueris, non multum laborabis, ut mentem e servitute liberes. Quandiu non expeditam et certam precandi rationem acquisiverimus, similes sumus iis qui infantes primum ad incessum exercent. Labora ut mentem eleves, imo vero ut cogitationes in certa verborum septa oratione concludas, et quamvis per imbecillitatem propter infantiam cecideris, erige tamen illam rursus et reducito in viam : propria enim est mentis inconstantia. Sed qui omnia potest, potest et hanc stabilire et firmare. Profecto si constanter et absque cessatione decertaveris, veniet ad te qui mari mentis tuæ terminos posuit, **433** et dicet illi in oratione tua : *Huc usque venies* [15], et non transibis ulterius. Spiritus nullis vinculis coerceri potest. Ubi autem est conditor spiritus, tunc omnia illi subjiciuntur. Si unqnam solem inspexisti, tunc cum illo poteris uti decet colloqui. Quod enim non vidisti, quomodo poteris vere cum illo agere ?

Principium orationis est obstrepentes [objectas] menti distractiones, statim ab initio, solo mentis nutu repellere. Medium vero cum mens in iis tantum hæret quæ meditanda et tractanda proposuit. Finis est raptus in Deum. Alia est lætitia [jubilum, exsultatio] orationis eorum qui simul in plurium

[14] I Tim. I, 15.

λύσιν. Πρὸ πάντων ἐν τῷ τῆς ἡμετέρας δεήσεως χάρτῃ εὐχαριστίαν εἰλικρινῆ κατατάξωμεν. Δεύτερον δὲ στίχον, ἐξόμολόγησιν, καὶ συντριμμὸν ψυχῆς ἐν ἀναισθήσει· εἶθ' οὕτως τὴν αἴτησιν ἡμῶν τῷ Παμβασιλεῖ γνωρίσωμεν. Ἄριστος γὰρ ὁ εἰρημένος προσευχῆς τρόπος, ὥς τινι τῶν ἀδελφῶν ὑπὸ ἀγγέλου Κυρίου δεδήλωται. Εἰ μὲν ὑπεύθυνος γέγονάς ποτε ὁρατῷ δικαστῇ, οὐ δεηθήσῃ ἑτέρου τύπου ἐν τῇ παραστάσει τῆς προσευχῆς σου. Εἰ δὲ οὐδέπω, οὐδὲ παρέστηκας, οὐδὲ ἐξεταζομένους ἐθεάσω, κἂν ἐκ τῆς πρὸς ἰατροὺς τῶν νοσούντων ἱκεσίας, τὸ τοιοῦτον παιδεύθητι, ἡνίκα ὑπ' αὐτῶν μέλλουσι τέμνεσθαι, ἢ καίεσθαι. Μὴ σοφίζου ἐν εὐχῆς σου ῥήμασι (1)· παίδων γὰρ πολλάκις ἁπλᾶ ψελλίσματα καὶ ἀποίκιλα τὸν Πατέρα αὐτῶν, τὸν ἐν τοῖς οὐρανοῖς ἐθεράπευσαν. Μὴ πολυλογεῖν ἐπιχείρει (2), ἵνα μὴ πρὸς ζήτησιν λόγων διασκεδασθῇ ὁ νοῦς. Εἷς λόγος τελωνικὸς τὸν Θεὸν ἐξιλεώσατο· καὶ ἓν ῥῆμα πιστὸν τὸν λῃστὴν διέσωσε. Πολυλογία μὲν πολλάκις ἐν προσευχῇ τὸν νοῦν, καὶ ἐφάντασε καὶ διέχυσε. Μονολογία δὲ πολλάκις τὸν νοῦν συνάγειν πέφυκε· καθηδυνόμενος, ἢ κατανυσσόμενος ἐν λόγῳ προσευχῆς, μένε ἐν αὐτῷ· ὁ γὰρ φύλαξ ἡμῶν τό τε ὑπάρχει ὁ συμπροσευχόμενος ἡμῖν· μὴ παῤῥησιάζου, κἂν καθαρότητα κέκτησαι· ταπεινοφροσύνῃ δὲ μᾶλλον πολλῇ πρόσελθε, καὶ πλεῖον παῤῥησιασθήσῃ· κἂν πᾶσαν τὴν κλίμακα τῶν ἀρετῶν ἀναβέβηκας, ὑπὲρ ἀφέσεως ἁμαρτιῶν προσεύχου· ἀκούων Παύλου περὶ ἁμαρτωλῶν βοῶντος· *Ὧν πρῶτος εἰμὶ ἐγώ.* Ἐξαρτύειν ὄψα ἔλαιον καὶ ἅλες πεφύκασι· πτεροῦν δὲ προσευχὴν σωφροσύνη καὶ δάκρυα. Ἐὰν πᾶσαν πραΰτητα καὶ ἀοργησίαν ἀμφιάσῃ· οὐ πολλὰ κοπωθήσῃ ἐλευθεροῦν αἰχμαλωσίας τὸν νοῦν σου. Ἕως οὖ προσευχὴν ἐναργῆ οὐ κεκτήμεθα τοῖς γυμνάζουσι τὰ νήπια βαδίζειν ἐν προοιμίοις ἐοίκαμεν (3). Πύκτευε ἀναφέρειν, μᾶλλον δὲ ἀποκλείειν τὴν ἔννοιαν ἐν τοῖς τῆς προσευχῆς ῥήμασι, κἂν ἐξατονήσασα διὰ τὸ νηπιῶδες πέσῃ, πάλιν αὐτὴν εἰσάγαγε· ἴδιον γὰρ τοῦ νοὸς τὸ ἄστατον. Δυνατὸν δὲ τοῦτον στῆσαι τῷ πάντα δυναμένῳ ἱστᾶν. [Ναὶ μὴν] ἐὰν ἀνελλιπῶς τὸν ἀγῶνα κέκτησαι, ἐπιδημήσῃ [ἐπιδημήσει] καὶ ἐν σοὶ ὁ τὴν θάλατταν τοῦ νοὸς περιορίζων· καὶ ἐρεῖ πρὸς αὐτὴν ἐν τῇ προσευχῇ σου· *Μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ.* Ἀδύνατον πνεῦμα δεσμεῖν· ὅπου δὲ ὁ τοῦ πνεύματος κτίστης, πάντα ὑποτέτακται. Εἰ μὲν ἥλιόν ποτε τεθέασαι (4), δυνήσῃ αὐτῷ καὶ συλλαλῆσαι πρεπόντως· ὃ γὰρ οὐχ ἑώρακας, πῶς ἐντυγχάνειν ἀψευδῶς δύνασαι ;

Ἀρχὴ μὲν προσευχῆς προσβολαὶ μονολογίστως διωκόμεναι ἐκ προοιμίων αὐτῶν (5). Μεσότης τὸ ἐν τοῖς λεγομένοις ἢ νοουμένοις μόνοις εἶναι τὴν διάνοιαν. Τὸ δὲ ταύτης τέλειον ἁρπαγὴ πρὸς Κύριον. Ἄλλη ἡ ἀγαλλίασις ἡ ἐν προσευχῇ τοῖς ἐν συνοδίᾳ διάγουσιν ἐπισυμβαίνουσα, καὶ ἑτέρα ἡ τοῖς καθ' ἡσυ-

χίαν προσευχομένοις προσγινομένη. Ἡ μὲν γὰρ ἴσως πεφάνταται μικρόν· ἡ δὲ ὅλη ταπεινοφροσύνης πεπλήρωται. Ἐὰν ἀεὶ γυμνάζῃς τὸν νοῦν μὴ μακρύνειν, καὶ ἐν τῇ τῆς τραπέζης παραθήκῃ πλησίον σου γενήσεται· εἰ δὲ ἀκωλύτως πλάζεται, οὐδέποτέ σοι παραμένειν πέφυκεν· ὁ μὲν μέγας τῆς μεγάλης καὶ τελείας προσευχῆς ἐργάτης φησί (6) · *Θέλω εἰπεῖν πέντε λόγους τῷ νοΐ μου*, καὶ τὰ ἑξῆς. Νηπιωδεστέρων δὲ τὸ τοιοῦτον ἀλλότριον· διόπερ ἡμεῖς μετὰ τῆς ποιότητος, καὶ τοῦ πλήθους τῆς ποσότητος ὡς ἀτελεῖς δεόμεθα· τὸ γὰρ δεύτερον τοῦ προτέρου πρόξενον· διδοὺς γάρ, φησίν, εὐχὴν καθαρὰν τῷ ἀόκνως εὐχομένῳ ῥυπαρῶς (*a*) καὶ πεπονημένως· ἄλλο ῥύπος προσευχῆς, καὶ ἄλλο ἀφανισμὸς (*b*), καὶ ἄλλο κλοπή, καὶ ἕτερον μῶμος. Ῥύπος ἐστὶ Θεῷ παρίστασθαι, καὶ ἀτόπους ἐννοίας φαντάζεσθαι· ἀφανισμός ἐστι, τὸ εἰς φροντίδας ἀνωφελεῖς αἰχμαλωτίζεσθαι· κλοπή ἐστι τὸ ἀνεπαισθήτως τὴν ἔννοιαν ῥέμβεσθαι· μῶμός ἐστι προσβολὴ ἡ οἱαοῦν τότε πρὸς ἡμᾶς ἐγγίζουσα. Εἰ μὲν οὐ κατὰ μόνας [*al.* καταμόνας] τυγχάνωμεν τῷ καιρῷ τῆς παραστάσεως, ἔνδοθεν τὸ σχῆμα τῆς ἱκεσίας ἀνατυπώσωμεν. Εἰ δὲ οὐ πάρεισι τῶν ἐπαίνων οἱ ὑπηρέται, καὶ τὸ ἔξωθεν εἶδος εἰς πρεσβείαν τυπώσωμεν. Ἐν τοῖς γὰρ ἀτελέσι πολλάκις ὁ νοῦς τῷ σώματι συσχηματίζεται· πάντες μέν, ἐπὶ πλείω δὲ οἱ τὴν ἄφεσιν τοῦ χρέους λαβεῖν πρὸς βασιλέα πορευόμενοι, ἀμυθήτου συντριμμοῦ δέονται. Ἐὰν ἐν εἱρκτῇ ἔτι τυγχάνωμεν, ἀκούσωμεν τοῦ λέγοντος Πέτρῳ· Ζῶσαι λέντιον ὑπακοῆς, καὶ ἀπόδυσαι τὰ θελήματά σου, καὶ γυμνὸς τούτων πρόσελθε Κυρίῳ ἐν προσευχῇ σου· τὸ αὐτοῦ μόνου ἐπικαλούμενος θέλημα, καὶ τότε λήψῃ Θεὸν τὸν τῆς σῆς ψυχῆς κατέχοντα οἴακα, καὶ ἀκινδύνως κυβερνῶντά σε· ἀναστὰς ἐκ φιλοκοσμίας καὶ φιληδονίας, ἀπόῤῥιψε φροντίδας· ἀπόδυσαι ἐννοίας· ἀπάρνησαι σῶμα· οὐδὲν γὰρ ἕτερόν ἐστι προσευχή, εἰ μὴ κόσμου ὁρατοῦ καὶ ἀοράτου ἀλλοτρίωσις. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; Οὐδέν. Καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; Οὐδέν, ἀλλ' ἢ ἀπερισπάστως διὰ παντὸς ἐν προσευχῇ προσκολλᾶσθαί σοι. Τισὶ μὲν πλοῦτος, ἑτέροις δόξα, ἄλλοις δὲ κτῆσις ἐραστὴ καθέστηκεν· *Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἐπιθύμητόν ἐστι, καὶ τίθεσθαι ἐν αὐτῷ τὴν ἐλπίδα τῆς ἀπαθείας μου.* Πίστις προσευχὴν ἐπτέρωσε· χωρὶς γὰρ ταύτης εἰς οὐρανὸν πεταθῆναι οὐ δύναται. Αἰτήσωμεν οἱ ἐμπαθεῖς ἐπιμόνως τὸν Κύριον· πάντες γὰρ οἱ ἐμπαθεῖς ἐξ ἐμπαθείας εἰς ἀπάθειαν προέκυψαν. Εἰ καὶ μὴ τὸν Θεὸν φοβεῖται ὁ κριτὴς (7), ἀλλά γε διὰ τὸ κόπους αὐτῷ παρέχειν δι' ἁμαρτίας, καὶ πταίσματος χηρεύσασαν ἐξ αὐτοῦ ψυχὴν, ποιήσει τὴν ἐκδίκησιν αὐτῆς ἐκ τοῦ ἀντιδίκου αὐτῆς σώματος, καὶ τῶν πολεμίων αὐτοῦ πνευμάτων. Τοὺς μὲν εὐγνώμονας ὁ ἀγαθὸς ἡμῶν πραγματευτὴς διὰ τῆς συντόμου τοῦ αἰτήματος παροχῆς, πρὸς τὴν ἑαυτοῦ ἀγάπην ἐφέλκεται· τὰς δὲ ἀγνώμονας τῶν κυνῶν ψυχὰς διὰ τῆς πείνης (8) καὶ

cœtu degunt : alia eorum, quæ solitariis precantibus usuvenire solet. Illa quippe fortasse nonnullis phantasmatis laborat ; hæc vero tota humilitate completur. Quod si mentem tuam assidua exercitatione eo deduxeris, ut nunquam longius evagetur, tum etiam mensa posita collectus eris. Si autem impune vagari permiseris, nunquam ad officium præsentem habebis. Magnus ille magnæ et perfectæ orationis cultor : *Volo*, inquit, *quinque verba sensu meo loqui* [16], et quæ sequuntur. Sed hoc a tironibus et simplicioribus adhuc alienum est. Itaque nos quoque cum certo quodam modo adhuc et multitudine quantitatis [verborum] tanquam imperfecti obsecramus. Secundum enim est via ad primum. Qui dat, inquit, orationem mundam impigre, quamvis cætera sordidè et laboriose, oranti. Aliud est sordes orationis, aliud exstinctio, aliud furtum, aliud illusio. **434** Sordes seu immunditia est, cum inter preces divinas absurdæ cogitationes animo volvuntur. Exstinctio est, cum sub oratione mens [sibi subducta] in curas inutiles captiva trahitur. Furtum est, cum mens sine sensu et animadversione vagatur. Illusio est impetus qualiscunque tunc, cum oramus, in nos irruens. Quotiescunque inter precandum cum pluribus versamur, tum intus in animo formemus imaginem et habitum supplicantis. Si nulli fuerint nobiscum socii seu administri orationis, etiam speciem et habitum foris ad orationem aptum præ nobis ferimus. In imperfectis enim sæpe mens corpori conformatur [corpus imitatur et sequitur mens]. Omnes quidem sine exceptione, sed illi potissimum qui ad regem obtinendæ peccatorum veniæ causa accedunt, summa indigent contritione. Dum adhuc in carcere sumus, audiamus eum qui dixit Petro : Accingere linteo obedientiæ [17], et exue voluntates tuas, et nudus accede ad Dominum in oratione tua [18]. Si enim ipsius unius voluntatem imploraveris, suscipies Dominum qui gubernaculum animæ tuæ reget, et te sine ullo periculo diriget. Ubi ab amore sæculi, et voluptatum desideriis exsurrexeris, rejice omnes curas, exue cogitationes, abdica corpus, nihil enim aliud est oratio, quam omnis mundi tam qui sub oculos cadit, quam qui aspectum fugit, corporei quam incorporei abdicatio : *Quid enim mihi est in cœlo ?* nihil, *et quid a te volui super terram* [19] ? nihil ; nisi ut semper et a te nunquam divulsus per orationem tibi adhæream, et agglutiner. Quibusdam opes, aliis gloria, **435** aliis possessiones expetuntur : *Mihi autem adhærere Deo expetendum est, et ponere spem tranquillitatis animæ meæ in eo* [20]. Fides orationi alas addit, sine fide enim nemo in cœlum evolare potest. Quicunque adhuc vitiorum perturbationibus et affectibus laboramus, Dominum unice deprecemur ; omnes enim ex pertur-

[15] Job XXXVIII, 11. [16] 1 Cor. XIV, 19. [17] Joan. XXI, 18. [18] Joan. XIII, 4. [19] Psal. LXXII, 24. [20] Psal. LXXII, 27.

(*a*) Miror a Camaldulensi ὑπαρῶς verti *sobrie*, cum significet *sordide*.

(*b*) Ἀφανίζειν est disparere, cum aliquid subito evanidum fit et disparet, ac tollitur ab oculis.

bationum pelago ad portum demum tranquillitatis aspirarunt. Etsi non timet Deum judex ut Deum, nihilo minus propter molestiam, quam illi per preces exhibet, per peccatum illius gratia viduata et destituta anima ultionem faciet ejus ex adversario illius corpore, atque hostibus ejus spiritibus immundis. Bonos quidem et beneficii memores negotiator noster illorum preces statim exaudiendo ad sui amorem pertrahit; improbas autem et ingratas canum animas per famem et sitim petitionis assidere sibi diutius per preces curat. Ingratus enim canis accepto pane statim ab largitore suo recedit. Ne dixeris, te ex diuturnis precibus nihil profecisse, satis enim jam profecisti. Quod enim sublimius et præstantius bonum est, quam cum Deo conjungi, et in illius conjunctione perpetuo perseverare? Non ita reus ac damnatus formidat sententiam supplicii, sicut qui curam orationis habet, trepidat dum in oratione versatur. Unde qui sapit, et acutior est, ex orationis memoria omnem contumeliam, **436** iram, curas, negotia, afflictionem, cibi satietatem, tentationem, et cogitationes eludere et subterfugere potest. Præpara te per nunquam intermissam mentis orationem, ut Deo assistas in precibus tuis, et statim progressum facies.

A τῆς τοῦ αἰτήματος δίψης πρὸς αὐτὸν παρακαθέζεσθαι διὰ προσευχῆς παρασκευάζει. Ὁ γὰρ ἀγνώμων κύων κομισάμενος ἄρτον εὐθέως ἀναχωρεῖ τοῦ δεδωκότος. Μὴ λέγε χρονίζων ἐν τῇ δεήσει μηδὲν κατωρθωκέναι (9)· ἤδη γὰρ καὶ κατώρθωκας. Τί γὰρ καὶ ὑψηλότερον ἀγαθὸν τοῦ τῷ Κυρίῳ πρωσκολλᾶσθαι, καὶ ἐν τῇ πρὸς αὐτὸν ἑνώσει ἀδιαλείπτως προσκαρτερεῖν. Οὐχ οὕτως κατάκριτος δέδοικε τῆς ἑαυτοῦ τιμωρίας τὴν ἀπόφασιν (10), ὡς ὁ προσευχῆς ἐπιμελούμενος τὴν ταύτης παράστασιν. Ὅθεν εἰ σοφός τις καὶ ἀγχίνους ὑπάρχει ἐκ τῆς ἐκείνης μνήμης, πᾶσαν λοιδορίαν, καὶ ὀργήν, καὶ μέριμναν, καὶ ἀσχολίαν, καὶ θλῖψιν, καὶ κόρον, καὶ πειρασμὸν, καὶ λογισμὸν ὑποστρέφεσθαι δύναται. Προπαρασκευάζου διὰ ἐννάου ἐν ψυχῇ προσευχῆς πρὸς τὴν παράστασιν τῆς σῆς ἱκεσίας, καὶ συντόμως προκόψεις.

Vidi ego coruscantes virtute obedientiæ, et memoriam Dei quantum fieri potuit, nunquam ex animo deponentes, qui certatim ad preces simul incumbebant, et brevissimo tempore omnes mentis distractiones superarunt, et totos quasi fontes lacrymarum profuderunt. Parati enim ad orationem per sanctam obedientiam fuerunt. Psalmodiam quidem quæ in multorum cœtu fieri solet, sequuntur animæ captivitates et cogitationum distractiones, privatam vero et solitariam non item, sed hanc acedia oppugnat, illam alacritas animi juvat. Amorem militis erga regem suum ostendit bellum; monachi vero charitatem erga Deum orationis tempus, dum astat Deo, probat; statum tuum ostendit tibi oratio tua. Orationem enim theologi illi speculum monachi esse affirmarunt. Qui quodcunque opus casu inchoat, et sub horam orationis appetentem in opere pergit, a dæmonibus illuditur. Hoc enim student illi fures ut horam ex hora nobis subducant et perdant. Noli rogatus recusare pro alterius anima precari, quamvis gratiam orandi non habeas. Sæpe enim fides petentis etiam precantem cum animi contritione servavit. Nihil est quod pro altero precatus, et exauditus extollaris: **437** illorum enim fides id fecit et effecit. Pueri quotidie ab ludi moderatore coguntur accuratissime reddere, quæ ab illo didicerunt, et a mente nostra, quam a Deo vim et virtutem accepit, in omnibus precibus ratio exigetur. Quocirca diligenter attendas oportet, quando sobrie precaberis, citius per iram oppugnaberis; hoc enim spectant dæmones (ut nos omni orationis fructu privent.) Omnis quidem virtus, sed potissimum oratio cum magno animi affectu et sensu nobis semper peragenda est. Tunc autem anima cum sensu precatur, quando iracundiam vincit. Bona multis precibus et annis parta solida et constantia sunt. Qui Deum possederit, non erit

Ἑώρακα ἐν ὑπακοῇ ἐξαστράπτοντας, καὶ τῆς κατὰ νοῦν ὅση δύναμις μνήμης Θεοῦ μὴ ἀμελοῦντας ἀθρόον ἐπὶ προσευχὴν παρασταθέντας, καὶ συντόμως τοῦ ἑαυτῶν νοὸς περιγενομένους καὶ κρουνηδὸν δάκρυα προχεομένους. Προπαρεσκευασμένοι γάρ ὑπὸ τῆς ὁσίας ὑπακοῆς ἐτύγχανον· τῇ μὲν μετὰ πλήθους ψαλμῳδίᾳ, αἰχμαλωσίαι καὶ ῥεμβασμοὶ παρέπονται· τῇ δὲ ἰδιαζούσῃ οὐχ οὕτως· ἀλλὰ τῇ μὲν ἀκηδίᾳ πολεμεῖ (11), τῇ δὲ προθυμίᾳ συνεργεῖ (12). Ἀγάπην μὲν στρατευομένου πρὸς βασιλέα ἀνέδειξε πόλεμος· ἀγάπην δὲ μοναχοῦ πρὸς Θεὸν ἤλεγξε προσευχῆς καιρὸς καὶ παράστασις· τὴν σεαυτοῦ κατάστασιν, ἡ σὴ προσευχὴ ἐμφανίσει σοι· ἔσοπτρον γὰρ αὐτὴν τοῦ μοναχοῦ οἱ θεολόγοι ἐκεῖνοι ἐκδεδώκασιν· ὁ τὸν τυχὸν μετερχόμενος ἔργον καὶ προσευχῆς ὥρας καταλαμβανομένης ἐν αὐτῷ προσασχολούμενος, ὑπὸ δαιμόνων ἐμπαίζεται. Σκοπὸς γὰρ τοῖς κλέπταις ὥραν δι' ὥρας ἐξ ἡμῶν ἀποσυλῆσαι. Μὴ παραιτούμενος, καὶ ὑπὲρ ψυχῆς προσεύχεσθαι, κἂν προσευχὴν μὴ κέκτησαι· ἡ γὰρ πίστις πολλάκις τοῦ αἰτοῦντος καὶ τὸν εὐχόμενον μετὰ συντριμμοῦ ἔσωσε. Μὴ ἐπαίρου ὑπὲρ ἄλλων δεόμενος καὶ εἰσακουόμενος· ἡ γὰρ ἐκείνων πίστις ἐνήργησε καὶ ἴσχυσε. Παῖς μὲν πᾶς πᾶσαν, ἥνπερ ἐκ τοῦ παιδοτρίβου μεμάθηκε σοφίαν, καθ' ἡμέραν ἀπαραλείπτως ὑπ' αὐτοῦ ἐκζητηθήσεται· νοῦς δὲ πᾶς, ἥνπερ δύναμιν ἐκ Θεοῦ εἴληφεν, ἐν πάσῃ προσευχῇ ἀπαιτηθήσεται· διὸ προσεκτέον, ὅταν νηφόντως προσεύξῃ, θᾶττον εἰς ὀργὰς πολεμηθήσῃ (13). Σκοπὸς γὰρ οὗτος τῶν ἐχθρῶν ἡμῶν· πᾶσαν μὲν ἀρετὴν, ἐπὶ πλείω δὲ τὴν προσευχὴν αἰσθήσει πολλῇ ποιησώμεθα πάντοτε· τότε ψυχὴ ἐν αἰσθήσει προσεύχεται, ὅταν θυμοῦ κρείττων γένηται· τὰ πολλαῖς ἱκεσίαις καὶ χρόνοις περιποιούμενα μόνιμα. Ὁ κύριον κτησάμενος (14), οὐκ ἔτι ἑαυτοῦ ἐν προσευχῇ τὸν μῦθον ὑφηγήσεται· τὸ γὰρ πνεῦμα τότε ἐντυγχάνει ὑπὲρ αὐτοῦ ἐν ἑαυτῷ στεναγμοῖς ἀλαλήτοις. Πᾶσαν αἰσθητὴν φαντασίαν ἐν τῇ προσευχῇ μὴ προσδέξῃ (15), ἵνα μὴ

ἔκστασιν ὑποστῇς· ἀπαλλαγὴ ἀμφιβολίας, ἀδήλου δήλωσις ἄσειστος.

A sollicitus de reperiendis orationis verbis : spiritus enim tunc in seipso pro illo gemitibus inenarrabilibus interpellat [21]. Inter preces nullam sensuum imaginem admittes, ne in stuporem animi incurras. Omnis petitionis exauditæ in oratione signum et indicium apparet. Signum exauditionis, est dubitationis solutio et incerti certa declaratio.

Ἐλεήμων γίνου σφόδρα προσευχῆς ἐπιμελούμενος (16)· ἐν αὐτῇ γὰρ μοναχοὶ τὰ ἑκατονταπλάσια λήψονται· τὸ δὲ ἐξῆς ἐν τῷ ἐξῆς (17). Πῦρ μὲν ἐπιδημῆσαν ἐν καρδίᾳ προσευχὴν ἀνέστησε (18)· ταύτης διεγερθείσης, καὶ εἰς οὐρανὸν ἀναληφθείσης πυρὸς ἐν ἀνωγέῳ ψυχῆς κατάβασις γέγονε. Φασὶ μέν τινες κρεῖττον εἶναι προσευχὴν μνήμης ἐξόδου· ἐγὼ δὲ μιᾶς ὑποστάσεως δύο οὐσίας ὑμνῶ. Ἵππος μὲν δόκιμος κατὰ πρόσβασιν [πρόβασιν] διαθερμαίνεσθαι, καὶ τῷ δρόμῳ προστιθέναι πέφυκε· δρόμον δὲ νοῶ, ὑμνῳδίαν· ἵππον δὲ τὸν ἀνδρεῖον νοῦν· πόρρωθεν ὁ τοιοῦτος ὀσφραίνεται πολέμου (20), καὶ προπαρασκευασθεὶς μένει λοιπὸν εἰς ἅπαν ἀνίκητος. Χαλεπὸν ἐκ στόματος διψῶντος ὕδωρ ἁρπάσαι· χαλεπώτερον δὲ ψυχὴν μετὰ κατανύξεως προσευχομένην, πρὶν τῆς ταύτης περαιώσεως ἑαυτὴν τῆς παραστάσεως, τῆς πολυποθήτου ἀποκόψαι· μὴ ἀποπηδήσῃς ἄχρις οὗ τὸ πῦρ καὶ τὸ ὕδωρ οἰκονομικῶς ὑπολήξαντα ἴδῃς (21)· οὐ γὰρ λήψῃ καιρὸν τοιοῦτον πρὸς ἄφεσιν πταισμάτων ἴσως ἐν πάσῃ τῇ ζωῇ σου· ὁ προσευχῆς γευσάμενος, ὑπὸ λόγου ἑνὸς πολλάκις προερχομένου, τὸν νοῦν ἐμόλυνε, καὶ ἐν προσευχῇ παραστὰς, τὸ πεθούμενον οὐχ εὗρε συνήθως· ἄλλο ἐπισκοπεῖν συχνοτέρως τῇ καρδίᾳ (22)· καὶ ἄλλο ἐπισκοπεῦσαι καρδίας διὰ νοὸς ἄρχοντος, καὶ ἀρχιερέως λογικὰς θυσίας Χριστῷ προσάγοντος· τοὺς μὲν, ὡς φησί τις τῶν θεολογίας προσηγορίαν λαχόντων, τὸ ἅγιον καὶ ὑπερουράνιον πῦρ ἐπιδημοῦν καταφλέγει, διὰ τὸ ἔτι ἐλλιπὲς τῆς καθάρσεως· τοὺς δὲ πάλιν φωτίζει διὰ τὸ μέτρον τῆς τελειότητος· τὸ αὐτὸ γὰρ πῦρ καταναλίσκον καὶ φωτίζον φῶς ὀνομάζεται· ὅθεν καί τινες ἐκ προσευχῆς ἐξιόντες ὡς ἀπὸ πυρὸς καμίνου ποιοῦνται τὴν ἔξοδον· κουφισμὸν ῥύπου τινὸς καὶ ὕλης αἰσθόμενοι· ἕτεροι δὲ ὡς ἐκ φωτὸς πεφωτισμένοι, καὶ διπλοΐδα ταπεινώσεως, καὶ ἀγαλλιάσεως ἠμφιεσμένοι. Οἱ γὰρ ἐκτὸς τῶν δύο τούτων ἐνεργειῶν ἐκ προσευχῆς ἐξεληλυθότες σωματικῶς, ἵνα μὴ εἴπω, Ἰουδαϊκῶς προσηύξαντο, καὶ οὐ πνευματικῶς. Εἰ σῶμα σώματος προσψαῦον ἀλλοιοῦται τῇ ἐνεργείᾳ, πῶς δ' ἂν καὶ οὐκ ἀλλοιωθήσεται ὁ Θεοῦ σώματος ἀθώοις χερσὶ προσψαύων (23);

Cuicunque cordi est oratio, erga alios misericors esto : per hanc enim misericordiam monachi centuplum recipient, et quod sequitur in futuro. Ignis cœlestis orationem in cor penetrantem accendit, qua accensa et in cœlum assumpta, rursum fit descensus ignis in animæ cœnaculum. Sunt qui censeant utiliorem esse orationem, quam sit meditatio mortis seu exitus animæ; ego vero geminas in una subsistentia laudo naturas. **438** Equus generosus quo magis progreditur, hoc magis incalescere et currere solet. Cursum intelligo divinas precum laudes, equum interpretor generosum animum, qui eminus etiam, et remotior odoratur bellum, et inde animatus et præparatus invictus et insuperabilis deinceps persistit. Durum est ex ore sitientis aquam rapere, sed durius animæ cum compunctione orantis ante orationis finem, optatissimum et desideratissimum ejus cum Deo agentis congressum et colloquium abrumpere. Non exsilias ab oratione, quoad divino nutu lacrymæ calere et fluere per se cessent et desinant. Fortasse enim per omnem reliquam vitam tuam, non acquires talem occasionem ad impetrandam veniam peccatorum tuorum. Qui gustum orationis cepit, uno sæpe verbo temere emisso inquinavit mentem, ut quod in oratione de more quæsivit, non inveniret. Aliud est secum frequenter cum corde meditari, aliud ipsum cor per mentem velut principem et pontificem rationabiles Christo hostias offerentem inspicere et visitare. Illos qui meditantur, ignis sanctus et divinus invadens incendit et comburit (ut quidam eorum qui theologi nomen sortiti sunt, testantur), quod adhuc inveniat sordium reliquias quas repurget. Hos vero rursum pro modo et ratione perfectionis illuminat. Idem enim ignis et consumens [22] et illuminans lumen appellatur. Unde fit ut quidam ab oratione digressi videantur quasi ex ardente fornace prodire, dum sentiunt quod ab aliqua labe, **439** et vitiorum fomite sint repurgati. Alii vero lumine illustrati, et gemina veste seu diploide humilitatis et exsultationis amicti ex oratione prodeunt. Qui enim sine harum duarum virtutum vi et efficacia ab oratione discedunt, corpore tantum, non spiritu, Judaicum prope dixerim in morem orarunt. Si corpus ad contactum corporis immutatur, quomodo non immutabitur, qui puris manibus Dei corpus attigerit?

Ἔστι κατὰ τὸν ἐπὶ γῆς βασιλέα, καὶ τὸν ἡμέτερον πανάγαθον βασιλέα θεάσασθαι, ποτὲ μὲν δι' ἑαυτοῦ, ποτὲ δὲ διὰ φίλου· ἄλλο τε δὲ διὰ δούλου· ἔστι δὲ ὅτε καὶ ἀγνώστως τὰς αὐτοῦ δωρεὰς τοῖς στρατιώταις αὐτοῦ χαριζόμενον· λοιπὸν δὲ καὶ κατὰ τὸν χιτῶνα τῆς προσούσης ἡμῖν ταπεινώσεως· ὥσπερ τῷ ἐπὶ γῆς βασιλεῖ ὁ αὐτῷ παριστάμενος, καὶ τὸ πρόσωπον τὸ οἰκεῖον ἀποστρέφων, καὶ τοῖς ἐχθροῖς τοῦ δεσπότου διαλεγόμενος βδελυκτός· οὕτως ὑπὸ Κυρίου βδελύσσε-

Videre est apud regem terrestrem, nostrumque optimum et cœlestem regem, quod munera sua nunc per seipsum, nunc per amicum aliquem, alias per servum etiam, quandoque vero arcano et incognito modo, militibus suis dilargiatur, pro ratione nempe tunicæ nostræ quam gerimus humilitatis. Quemadmodum is qui mortali regi assistit, et faciem suam ab illo avertit, ac cum hostibus ejus colloquitur, exsecrabilis est regi suo; ita Do-

[21] Rom. VIII, 26. [22] Deut. IV, 24.

minus Deus exsecratur illum qui dum in oratione versatur, impuras cogitationes admittit, vel adsciscit. Canem venientem armis insequere, et impudentius oblatranti ne unquam cede. Pete per luctum, quære per obedientiam, pulsa per longanimitatem. Qui enim sic petit, accipit; qui ita quærit, invenit; sic pulsanti aperietur. Cave ne temere pro femina quavis preces suscipias, ne te hostis a dextris invadat et spoliet. Noli corporis actiones (*a*) sigillatim, ut se habent percensere, ne tute **440** tui ipsius insidiator fias. Non tibi præscribas tempus illud orationi, quod necessariis rebus et negotiis spiritualibus impendendum est. Quod nisi feceris, id quod melius est tibi subductum est. Qui scipione orationis semper nititur, non offendet; et si offendere contingat, non cadet in finem. Oratio enim est quædam pia tyrannis Dei, cujus utilitatem tum experimur, cum nos dæmones tempore communionis impedire conantur. Fructum autem orationis ex devicto hoste percipimus: *In hoc enim cognovi, quoniam voluisti me, quoniam* tempore belli *non gaudebit inimicus meus super me* [23]. *Clamavi*, inquit Psaltes, *in toto corde meo* [24], hoc est, corpore et anima et spiritu. *Ubi enim sunt duo* postremi [minimi] *congregati, ibi est Deus in medio eorum* [25]. Non est unus omnium neque qua corporis, neque qua spiritus in omnibus idemque status. Quibusdam enim prodest in psallendo celeritas, aliis tarditas: nam hi se adversus mentis distractiones seu captivitates, illi vero adversus inscitiam decertare affirmant. Si hostibus in te ingruentibus Regem cœlestem assidue in auxilium vocaveris, habe bonum animum, non fatigaberis: celerius enim abs te per se recedent: verentur enim impii ne ex pugna coronam reportes per orationem, fugient proinde ab oratione tanquam ab igne cruciati. Forti semper animo sis et habebis præceptorem Deum in oratione tua. Facultatem **441** videndi non possumus per sermonem discere, naturam enim ipsam sequitur: ita nec orationis præstantiam per doctrinam alterius assequimur: ipsa enim in se ipsa doctorem habet Deum, qui docet hominem scientiam, et suggerit precanti orationem, et benedicit annis justorum.

A ται ὁ ἐν προσευχῇ παριστάμενος, καὶ ἀκαθάρτους λογισμοὺς προσλαμβανόμενος ἐρχομένου τοῦ κυνὸς [ἐρχόμενον τὸν κύνα] τῷ ὅπλῳ δίωκε (24)· καὶ ὁσάκις ἀναιδεύεται, μὴ ἐνδώσεις αὐτῷ· αἴτει διὰ πένθους, ζήτει δι' ὑπακοῆς· κρούε διὰ μακροθυμίας· οὐ γὰρ οὕτως αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Φυλάττου μὴ, ὡς ἔτυχεν, ὑπὲρ εὔξασθαι θήλεως ἐν προσευχῇ σου, μήπως ἐκ δεξιῶν συληθήσῃ. Μὴ θέλε τὰς σωματικὰς πράξεις ἐξαγορεύειν, ὥς εἰσιν (25), ἵνα μὴ ἑαυτῷ ἀντεπίβουλος γίνῃ. Μὴ γένηταί σοι ὁ τῆς προσευχῆς καιρὸς, σκέψεως ἀναγκαίων καὶ πνευματικῶν πραγμάτων ὥρα. Εἰ δὲ μὴ τὸ κρεῖττον ἐκλάπῃς, ὁ κρατῶν ἀπαύστως τὴν τῆς προσευχῆς βακτηρίαν, οὐ προσκόψει. Εἰ δὲ καὶ συμβῇ, ὅμως οὐ πεσεῖται εἰς τέλος· προσευχὴ γάρ

B ἐστι Θεοῦ τυραννὶς εὐσεβὴς, τὴν ταύτης ὠφέλειαν ἐκ τῶν δαιμονικῶν ἐμποδίων ἐν καιρῷ συνάξεως τεκμαιρόμεθα. Τὸν δὲ ταύτης καρπὸν ἐκ τῆς τοῦ ἐχθροῦ ἥττης· *Ἐν τούτῳ γὰρ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχάρῃ* ἐν καιρῷ πολέμου *ὁ ἐχθρός μου ἐπ' ἐμέ. Ἐκέκραξα*, φησὶν ὁ Ψάλλων, *ἐν ὅλῃ καρδίᾳ μου*· τοῦτ' ἔστι, σώματι, καὶ ψυχῇ, καὶ πνεύματι. *Ὅπου γάρ εἰσι δύο* οἱ ἔσχατοι *συνειλεγμένοι, ἐκεῖ ἐστιν ὁ Θεὸς ἐν μέσῳ αὐτων*. Οὐδὲ τὰ κατὰ σῶμα, οὐδὲ τὰ κατὰ πνεῦμα πάντα ὅμοια. Τισὶ μὲν γὰρ τὸ σύντομον· τισὶ δὲ τὸ σχολαιότερον ἐν

C τῇ ψαλμῳδίᾳ συνέρχεται· οἱ μὲν γὰρ τῇ αἰχμαλωσίᾳ, οἱ δὲ τῇ ἀμαθίᾳ λέγουσι πολεμεῖν. Ἐὰν ἀδιαλείπτως κατὰ τῶν σῶν ἐχθρῶν ἐντυγχάνῃς τῷ βασιλεῖ, ἡνίκα πρὸς σὲ παραγίνωνται, θάρσει, οὐ κοπιάσεις· αὐτοὶ γὰρ ἐφ' ἑαυτοῖς συντόμως σου ἀποστήσονται· οὐ γὰρ θέλουσιν οἱ ἀνόσιοι καθορᾶν σε στέφανον λαμβάνειν διὰ προσευχῆς ἐκ τῆς πρὸς αὐτοὺς μάχης· πρὸς δὲ τούτοις, καὶ ὡς ἀπὸ πυρὸς μαστιζόμενοι ὑπὸ τῆς προσευχῆς φεύξονται. Ἀνδρείαν κτῆσαι πᾶσαν, καὶ ἕξεις Θεὸν διδάσκαλον προσευχῆς σου (26). Οὐκ ἔστι τὸ βλέπειν, διὰ λόγου μανθάνειν, τῇ φύσει γὰρ ἔπεται· οὐδὲ προσεύχῃς κάλλος δι' ἑτέρας διδαχῆς· αὐτὴ γὰρ ἐφ' ἑαυτῆς διδάσκαλον τὸν Θεὸν ἔχει τὸν διδάσκοντα ἄνθρωπον γνῶσιν, καὶ διδόντα εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλογοῦντα ἔτη δικαίων.

SCHOLIA AD GRADUM XXVIII.

De oratione.

Scholion 1.

Ad morem infantium, qui malitia parvuli sunt, D prout docet illud: *Nisi conversi fueritis, et efficiamini sicut parvuli* [26].

Scholion 2.

Quia in precatione non opus est multis verbis, aut ut multa dicantur simul, sed una aliqua et sola cum Deo collocutione, eaque sæpius iterata.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΗ'.

Περὶ προσευχῆς.

Σχόλιον α'.

Τῇ κακίᾳ νηπιαζόντων, κατὰ τό· *Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία.*

Σχόλιον β'.

Ὅτι ἐν προσευχῇ οὐ δεῖ πολυλογεῖν, ἢ πολλὰ λέγειν πρὸς ἅπαξ· ἀλλὰ μονολογεῖν, ἤγουν τὰ αὐτὰ πολλάκις.

[23] Psal. XL, 12. [24] Psal. CXVIII, 145. [25] Matth. XVIII, 20. [26] Matth. XVIII, 3.

(*a*) Id est, vitia carnis.

Σχόλιον γ'.

Ὥσπερ τὰ νήπια οἱ γυμνάζοντες μικρὸν προβαίνοντα καὶ καταπίπτοντα ἀνορθοῦσι πάλιν, καὶ τὸ πλεῖον βαδίζειν παιδεύουσιν, οὕτω καὶ ἡμεῖς τὸν ἡμέτερον νοῦν ἐν τῇ προσευχῇ τῆς πρὸς Θεὸν νεύσεως καταπίπτοντα, ἀνορθῶμεν πάλιν καὶ ἀνιστῶμεν, ἕως τὸ ἄπτωτον κτήσεται.

Σχόλιον δ'.

Ὁ Θεὸς ἥλιός ἐστι δικαιοσύνης, ως γέγραπται, πάσας ἁπλῶς τὰς ἀκτῖνας ἐπιλάμπων τῆς ἀγαθότητος· ἡ δὲ ψυχή, ἢ κηρὸς ὡς φιλόθεος, ἢ πηλὸς, ὡς φιλόϋλος κατὰ γνώμην γίνεσθαι πέφυκεν. Ὥσπερ οὖν ὁ πηλὸς κατὰ φύσιν ἡλίῳ ξηραίνεται, ὁ δὲ κηρὸς φυσικῶς ἀπαλύνεται· οὕτω καὶ πᾶσα ψυχὴ φιλόϋλος καὶ φιλόκοσμος ἀπὸ Θεοῦ νουθετημένη, καὶ ὡς πηλὸς κατὰ γνώμην ἀντιτυποῦσα σκληρύνεται, καὶ ἑαυτὴν ὠθεῖ κατὰ Φαραὼ πρὸς ἀπώλειαν· ἡ δὲ φιλόθεος, ὡς κηρὸς ἀπαλύνεται, καὶ τοὺς τῶν θείων τύπους καὶ χαρακτῆρας εἰσδεχομένη, γίνεται Θεοῦ κατοικητήριον ἐν πνεύματι.

Σχόλιον ε'.

Ἐν τρισὶ τρόπος εὑρίσκεται τῶν ἀγωνιζομένων· ἐν τοῖς νοήμασι τῶν αἰσθητῶν, ἐν τῇ θεωρίᾳ αὐτῶν, καὶ ἐν τῇ καταστάσει τῆς προσευχῆς.

Σχόλιον ς.

Ὁ σωματικὸς κόπος τοῖς ἀρχαρίοις, ἢ ἀτελέσι κατὰ τὴν πνευματικὴν ἡλικίαν ὠφέλιμός ἐστιν ἄγαν· τοῖς δὲ τελείοις πάρεργος, ὡς ἀρχουμένοις μόνῳ τῷ νοῖ καὶ τῷ ἀσχηματίστῳ τῆς ψυχῆς· καὶ τοῖς μὲν νηπίοις χρεία καὶ μετανοιῶν, καὶ χειρῶν μακρὰν ἐκτάσεως, καὶ παννύχου στάσεως, καὶ ἄλλων, ἵνα συνεθισθῇ ὁ νοῦς τῷ σώματι εἰς εὐχήν. Οἱ δὲ τέλειοι τῷ νοῖ ἀρκούμενοι μᾶλλον ἄπαυστον καὶ διηνεκῆ κέκτηνται τὴν εὐχὴν, εἰ καὶ σώματι οὐ βλέπονται πράττοντες.

Σχόλιον ζ'.

Ὁ Θεὸς οὔτε Θεὸν ἔχει ὃν φοβηθήσεται, οὔτε ἄνθρωπον, ὃν ἐντραπήσεται· οὐκ ἔστι προσωπολημψία παρ' αὐτῷ· κριτὴς γάρ ἐστιν ἀδικίας καὶ δικαιοσύνης, τουτέστιν ἀδίκων· δικαίῳ γὰρ νόμος οὐ κεῖται.

Σχόλιον η'.

Κατ' οἰκονομίας ἐστὶν, ὅτι ὁ Θεὸς οὐ παρέχει τοῖς αἰτοῦσι τὰς χάριτας. Λαβόντες γὰρ πολλάκις τοῦ δεδωκότος ἐπελάθοντο· ὡς τό· *Ἔφαγεν Ἰακὼβ, καὶ τὰ ἑξῆς· καί· Ἐκάθισεν ὁ λαὸς φαγεῖν, καὶ πιεῖν, καὶ ἀνέστη τοῦ παίζειν.*

Σχόλιον Ἰσαὰκ θ'.

Ἐὰν δεηθῇς τοῦ Θεοῦ περὶ πράγματος καὶ μακροθυμήσῃ τοῦ μὴ ταχέως ὑπακοῦσαί σου, μὴ λυποῦ· οὐ γὰρ εἶ σὺ τοῦ Θεοῦ σοφώτερος· τοῦτο δὲ συμβαίνει σοι, ἢ διὰ τὸ ἀνάξιόν σε ὄντα τυχεῖν τῆς αἰτήσεως· ἢ διὰ τὸ μὴ εἶναι τὰς ὁδοὺς τῆς καρδίας σου ἐφαμίλλους τοῖς αἰτήμασί σου· ἀλλ' ἐναντίον, ἢ διὰ τὸ μήπω ἐφθακέναι σε τὸ μέτρον τοῦ δέξασθαι τὸ χάρισμα

Scholion 3.

Quemadmodum qui infantes ad formandum gressum exercent, paululum progressos, et cadentes rursus erigunt, et sæpius incedere docent, ita nos mentem nostram inter preces ad Deum inclinatione cadentem emendemus rursus, et erigamus quoad firmum statum acquirat.

Scholion 4.

Deus est sol justitiæ, uti scriptum est, qui omnes bonitatis radios sincere explicat; anima vero aut cera, tanquam amans Dei, aut lutum tanquam corporibus affixa. Quemadmodum ergo lutum pro genio naturæ suæ sole exsiccatur et exarescit, cera vero mollescit, ita omnis anima carni et mundo addicta, quamvis a Deo admonita seu impulsa, quando eidem resistit et refragatur, indurescit, et seipsam cum Pharaone in exitium impellit. Quæ autem Deum amat, tanquam cera mitescit, rerumque divinarum formas et characteres seu signa recipit, et in spiritu fit domicilium Dei.

442 *Scholion 5.*

In tribus rebus status certantium religiosorum cognoscitur, in cogitationibus rerum sensibus subjectarum; in consideratione seu contemplatione earum; et in ratione precandi.

Scholion 6.

Labor seu fatigatio corporis tironibus sive imperfectis pro ætate nempe spiritus valde utilis est. Perfectis autem supervacaneus ut quibus sufficiat sola mente, et sine formis imaginum exerceri. Sed tirunculis religiosis necessaria est et pœnitentia, et passis diu manibus (precari), et tota nocte pedibus insistere, et hoc genus aliis (corporis afflictionibus), ut assuescat mens illorum corpori ad preces exsequendas. Perfecti autem jam sibi sufficientes orationi perpetuæ sine ulla cessatione intenti sunt, quamvis id situ corporis non videantur facere.

Scholion 7.

Deus neque Deum habet quem timeat, neque hominem quem revereatur: nullus est apud ipsum respectus personarum: judex enim iniquitatis est et justitiæ, hoc est, iniquorum: *Justo enim lex non est posita* [27].

Scholion 8.

Ex divina subinde dispensatione fit, quando Deus non largitur gratias petentibus. Sæpenumero enim qui acceperunt illas, obliviscuntur largitoris sui. Quemadmodum testatur illud: *Comedit Jacob*, et quæ sequuntur [28]. Et: *Sedit populus manducare et bibere, et surrexit ludere* [29].

Scholion Isaaci 9.

Si rogatus abs te Deus cunctatus fuerit te statim exaudire, non est quod affligare: neque enim tu Deo sapientior es. Hoc autem tibi usu venit, quod aut indignus sis ut voto potiaris, aut viæ cordis tui non respondeant petitioni tuæ, sed repugnent, aut quod nondum ad illum gradum et modum virtutis perveneris, ut illam gratiam acci-

[27] I Tim. I, 9. [28] Psal. LXXVIII, 7. [29] Exod. XXXII, 6; I Cor. X, 7.

pias quam petis. Quemadmodum non oportet ante tempus affectare majora humeris suis, ne Dei munus ob celeritatem impetrationis contemnatur. Quidquid enim facile acquiritur, cito perit. Res autem non sine animi labore parta, magna cura custoditur et servatur.

Scholion 10.

Qui usum habet precandi...

443 *Scholion* 11.

Privatam orationem) quod ego mille perturbationibus exagitatus cognovi.

Scholion 12.

Huic vero quæ in multorum cœtu fieri solet) quod ego quidem non sum expertus, sed credo.

Scholion 13.

Qui ex præscripto Dei vivere decrevit, ab omni ira liberatus est. nec ullum omnino mortalium odio prosequitur.

Scholion 14.

Mens, inquit, charitate dilatata, ad eum versa qui dat petentibus quæ precantur, et ab illo afflata de verbis precum ab se ipsa proferendis non est sollicita, quæ qui facto ipso expertus est, verba insuper habet, bonitatem orationis, non ex prolixitate æstimabit.

Scholion 15.

Precaturus noli divina cum humanis et sensibilibus comparare, ne a recta opinione (et fide) excidas.

Scholion 16.

Clausisti viscera tua a benefaciendo, claudam et ego sinus indulgentiæ seu veniæ in tempore vindictæ et supplicii tui.

Aliud.

Benefacias pio, et recipies compensationem.

Aliud.

Quid lacrymaris inter preces, cum ipse lacrymas pauperis intuitus, ad misericordiam non movearis?

Aliud.

Quomodo Deus miserebitur tui? Precationis alæ sunt eleemosyna: si precibus tuis alas non addideris, cœlum petere non possunt: ubi vero fuerint alatæ, in cœlum evolabunt. Quemadmodum enim ignis oleo destitutus exstinguitur, ita preces absque eleemosyna evaneseunt.

Scholion 17.

Quæ sequuntur, sunt fructus tricesimus, et sexagesimus, qui etiam in sæcularibus reperiuntur. Nam tricesimus conjugibus qui temperanter vixerunt, convenit; sexagesimus iis qui in cælibatu cum virtute degunt; centesimum vero referunt qui totum mundum odio prosecuti soli Deo vivere statuerunt.

444 *Scholion* 18.

Ignem hic divinum desiderium appellat, quo in

(a) Scholion abrasum.

ὅπερ αἰτεῖς· καθότι οὐ δεῖ εἰς μεγάλα μέτρα πρὸ καιροῦ ἐπιβάλλειν ἑαυτὸν, ἵνα μὴ αἰσχρώθῃ τὸ χάρισμα τοῦ Θεοῦ τῇ ταχύτητι τῆς ὑποδοχῆς αὐτοῦ· πᾶν γὰρ ῥᾴδιον καταβαλλόμενον ταχέως καὶ ἀπόλλυται. Ἕκαστον δὲ πρᾶγμα μετὰ πόνου καρδίας εὑρισκόμενον, μετὰ παραφυλακῆς καὶ φυλάττεται.

Σχόλιον ι'.

(a) Ὁ ἐν συνηθείᾳ προσεύχεσθαι.....

Σχόλιον ια'.

Τῇ ἰδιαζούσῃ ὅπερ ἔγνων ἐγὼ ἐκ πείρας μυρίων παθῶν.

Σχόλιον ιβ'.

Τῇ μετὰ πλήθους· τοῦτο ἀγνοῶ μὲν, πιστεύω δὲ.

Σχόλιον ιγ'.

Ὁ κατὰ Θεὸν ζῆν αἱρετισάμενος πάσης ὀργῆς ἀπῆλλακται, καὶ οὐδ' ὅλως τὸν πλησίον μισεῖ.

Σχόλιον ιδ'.

Πλατυνθεὶς, φησὶ, ὑπὸ τῆς χάριτος, τότε ὁ νοῦς πρὸς τὸν διδόντα τοῖς εὐχομένοις, καὶ ἐξ αὐτοῦ ἐμπνεόμενος, πρὸς τοὺς ἀφ' ἑαυτοῦ προφερομένους τῶν εὐχῶν λόγους οὐκ ἀσχολεῖται· περὶ ὧν ὁ ἔργῳ δοκιμάσας τοὺς λόγους παρόψεται, ἐκ τῆς ποσότητος τὴν ποιότητα ἐμπορευσάμενος.

Σχόλιον ιε'.

Προσευχόμενος, φησὶν, αἰσθητῷ τινι πράγματι τὸ θεῖον μὴ παρείκαζε, ἵνα μὴ καὶ τῆς ὀρθῆς ἀποπέσῃς δόξης.

Σχόλιον ις'.

Ἔκλεισάς σου τὰ σπλάγχνα τῆς εὐποιίας· κλείσω μου κἀγὼ τοὺς κόλπους τῆς ἀνέσεως ἐν καιρῷ τιμωρίας σου.

Ἄλλο.

Εὐποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα.

Ἄλλο.

Τί κλαίεις εὐχόμενος; σὺ τὰ δάκρυα τοῦ πένητος βλέπων οὐκ ἐλεεῖς.

Ἄλλο.

Ὁ Θεός σε πῶς ἐλεήσει; Πτερόν ἐστι τῆς εὐχῆς ἡ ἐλεημοσύνη· ἐὰν μὴ ποιήσῃς πτερὸν τῇ εὐχῇ σου, οὐκ ἀνέρχεται εἰς ὕψος· ὅταν δὲ πτεροποιηθῇ ἡ εὐχή σου, ἵπταται εἰς τὸν οὐρανόν. Ὥσπερ γὰρ πῦρ ἐὰν μὴ ἔχῃ ἔλαιον ἐπιστάζον, σβέννυται· οὕτως καὶ ἡ εὐχὴ, ἐὰν μὴ ἔχῃ ἐλεημοσύνην ἀφανίζεται.

Σχόλιον ιζ'.

Τὸ ἑξῆς ἐστι τὰ λ', καὶ ξ', ἃ καὶ ἐν τοῖς κοσμικοῖς εἰσι. Τὰ μὲν λ' οἱ γυναιξὶ συζῶντες, καὶ σωφρονοῦντες· τὰ δὲ ξ', οἱ ἄζυγες, καὶ βίον ἐνάρετον μετερχόμενοι· τὰ δὲ ρ', οἱ κόσμον πάντα μισήσαντες, καὶ Θεῷ ζῆν μόνῳ αἱρετισάμενοι.

Σχόλιον ιη'.

Πῦρ ἐνθάδε, τὸν θεῖκὸν λέγει πόθον, οὗ ἀναληφθέν-

τος ἐν τῇ καρδίᾳ ὁ νοῦς ἀνυψώθη εἰς οὐρανὸν, καὶ λοιπὸν ἐν τῷ τοιούτῳ ἀνώγεῳ τῆς ψυχῆς ἦγουν φρονήματι τῶν γηΐνων ὑψηλοτέρῳ, ἡ τοῦ θείου πνεύματος κατάβασις γέγονε, ὡς καὶ ἐπὶ τῶν ἀποστόλων αἰσθητῶς.

A corde concepto, mens elata in cœlum deinceps in hujusmodi cœnaculo animæ seu sensu mentis terrenis altiore, divini Spiritus descensus, seu scala efficitur, qualis super apostolos spectabilis apparuit.

Σχόλιον ιθ'.

Ἀμφότερα ἐπίσης τὴν ψυχὴν εὐεργετοῦσι, καὶ θείαν αὐτῇ ἐμποιοῦσι κατάνυξιν.

Scholion 19.

Ambo pari modo animæ prosunt, et divinam illi compunctionem inferunt.

Σχόλιον κ'.

Τῶν τῆς γῆς ἀφιστῶντα.

Scholion 20.

Procul) qui procul a rebus terrenis abest.

Σχόλιον κα'.

Μὴ ἀναχώρει τῆς εὐχῆς, μέχρι τὰ κινηθέντα θεοπάροχα δάκρυα, καὶ τὸ τῆς κατανύξεως πῦρ πάλιν κατ' οἰκονομίαν τὴν γενομένην δι' ἔπαρσιν σταλῶσιν· ὅτι, φησὶν, οὐκ οἶδας εἰ ἄλλοτέ ποτε τοιούτων προξένου παραστάσεων τύχῃς.

Scholion 21.

Non recedas ab oratione, donec motæ, a Deoque profectæ lacrymæ, et compunctionis flamma rursum ex divina ordinatione propter elationem animi sistantur: quia nescis, inquit, an unquam alias talium patrociniorum procuratorem sis adeptus.

Σχόλιον κβ'.

Οἷον κατανοεῖν, καὶ ἀναθεωρεῖν ἑαυτόν. Καὶ ἄλλο τὸ ἐπίσκοπον γενέσθαι, καὶ ἄρχοντα τῶν παθῶν, ὃ καὶ παρὰ πολὺ τοῦ προτέρου μεῖζον.

Scholion 22.

Cujusmodi est cognoscere et descendere per considerationem in seipsum. Et aliud esse dicit inspectorem agere, aliud dominatorem affectuum et perturbationum, quod posterius multo nobilius est priore.

Ἄλλο.

Ἄρχων μέν ἐστιν ὁ νοῦς, ὅταν τὰ καθ' ἑαυτὸν, καὶ τὰ περὶ αὐτὸν, ἦγουν τὰς δυνάμεις τῆς ψυχῆς, καὶ τὰ τοῦ σώματος αἰσθητήρια καλῶς περιέπῃ, καὶ διεξέρχεται· ἀρχιερεὺς δὲ, ὅτε τὰ νοήματα καθαρὰ καὶ ἀκίβδηλα τῷ θείῳ θυσιαστηρίῳ δι' εὐχῆς προσάγῃ· καὶ ἄρχοντος μέν ἐστι, τὸ ἐπισκοπῆσαι τὰ ἐκτός· ἀρχιερέως δὲ, τὸ συνεχῶς ἐπισκοπεῖν, καὶ τὰ ἐκτὸς καὶ τὰ ἐντός.

Aliud.

Dominator seu princeps est animus, quando ea quæ ad ipsum pertinent et circa ipsum sunt. hoc est, facultates animæ et sensuum corporis instrumenta rite et ordine administrat et exsequitur. Pontifex autem est quando mentem et cogitationes puras et sinceras per preces ad sacrum Dei altare sistit. Principis officium est externa administrare: pontificis, perpetuo exteriora simul et interiora recte procurare et gubernare.

Σχόλιον κγ'.

Περὶ τῶν ἁγιασμάτων λέγει.

Scholion 23.

De divinis mysteriis sacramenti loquitur, seu de sanctificatis.

Σχόλιον κδ'.

Κύνα λέγει τὸν ὑποσυλοῦντα τὸν νοῦν διὰ προφάσεως ἐκ τῆς προσευχῆς δαίμονα, ὃν δεῖ διώκειν τῇ κατ' αὐτοῦ πρὸς Θεὸν ἐντεύξει.

Scholion 24.

Canem vocat dæmonem qui per aliquem prætextum (necessitatis vel negotii) subducit mentem ex precatione, qui persequendus est recurrendo per colloquium adversus illum ad Deum.

Σχόλιον κε'.

Σημείωσαι, ὅτι τὰς αἰσχρὰς πράξεις οὐ δεῖ κατ' εἶδος πρὸς λεπτὸν ἐξαγορεύειν ἐν τῇ προσευχῇ.

Scholion 25.

Observa, quod in precibus facta turpia non sigillatim et speciatim ad unguem sint proferenda.

Ἄλλο.

Ὁ γνωστικὸς, καὶ εἰδὼς τὴν ἀλήθειαν οὐ διὰ μνήμης τῶν πραχθέντων, ἀλλὰ δι' ὑπομονῆς τῶν ἐπερχομένων ἐξομολογεῖται τῷ Θεῷ.

Aliud.

Prudens et gnarus veritatis non **445** per eorum, quæ gessit, memoriam, sed per tolerantiam eorum quæ incursant, Deo confitetur.

Σχόλιον κς'.

Οὐ χρῄζει, φησὶ, διδασκάλου εἰς τὸ προσεύχεσθαι· ἀλλὰ τῆς ἑαυτοῦ ἰδίας προθυμίας, δι' ἣν αὐτὸς ὁ Θεὸς ἐκείνῳ διδάσκαλος ἐφίσταται. Καὶ γὰρ ἐννόμως, καὶ προθύμως προσευχόμενον ὁ Θεὸς διὰ φωτισμοῦ διδάσκει, καὶ τὸν νοῦν αὐτοῦ ἀπὸ πλάνης βέβαιον ἵστησι, καὶ τῆς αἰχμαλωσίας ἀπαλλάττει.

Scholion 26.

Non indiget (inquit) magistro ad precandum, sed sua et privata alacritate, propter quam Deus ipse illi magister adest. Nam rite et prompte oranten. Deus per illuminationem docet, et mentem ipsius ab errore firmam sistit, et captivitate liberat.

Ἄλλο Μαξίμου.

Ὁ τὸν Θεὸν γνησίως ἀγαπῶν, ἀμετεωρίστως προσεύχεται· ὁ ἀμετεωρίστως προσευχόμενος, γνησίως τὸν Θεὸν ἀγαπᾷ. Οὐκ ἀμετεωρίστως προσεύ-

Aliud Maximi.

Qui Deum sincere diligit sine distractione precatur: qui sine distractione precatur, sincere Deum diligit. Non orat sine distractione quisquis

animum rebus terrenis affixum habet. Non ergo Deum amat, qui mentem rerum humanarum affectu devinctam habet.

A χεται ὁ τὴν ψυχὴν τοῖς γηΐνοις προσκεκολλημένην ἔχων. Οὔκουν τὸν Θεὸν ἀγαπᾷ ὁ τὸν νοῦν τῇ πρὸς τὰ ἀνθρώπινα προσπαθείᾳ δεδεμένον ἔχων.

Aliud Nili.

Oratio est elevatio [ascensio] mentis in Deum. Attentio orationem quærit et invenit. Attentionem enim si quid aliud sequitur oratio, pro qua (attentione) laborandam est.

Ἄλλο Νείλου.

Προσευχή ἐστι ἀνάβασις νοῦ πρὸς Θεόν· προσοχὴ προσευχὴν ζητοῦσα προσευχὴν εὑροῦσα· προσοχῇ γὰρ προσευχὴ (*a*), εἰ καί τι ἄλλο ἕπεται ἐφ' ᾗ σπουδαστέον.

GRADUS XXIX.

De cœlo, terrestri et imitatrice Dei animi tranquillitate et perfectione et resurrectione animæ ante generalem resurrectionem.

Ecce deinceps et nos, quamvis in profundissimo B ignorantiæ lacu, et perturbationum tenebris, et umbra mortis corporis hujus collocati, de terrestri tamen cœlo per audaciam disputare aggredimur. Firmamentum quidem pro ornatu habet stellas : animi vero tranquillitas virtutes. Ego enim ἀπάθειαν sive tranquillitatem animi nihil aliud esse existimo, quam mentis in corde cœlum, quod omnes improbas dæmonum artes deinceps **446** pro ludo et ludibrio habet et contemnit. Victor ergo omnium perturbationum is vere et est et agnoscitur, qui carnem suam ab omni labe corruptionis repurgavit, et incorruptam reddidit, mentem autem supra omnem creatam naturam extulit, et omnes sensus corporis menti subjecit, animam vero ipsam coram Domini facie stitit, quam ultra naturæ vires ad C ipsum extendit. Alii hanc animi tranquillitatem ab omnibus perturbationibus liberam affirmarunt esse reditum in vitam ante resurrectionem corporis. Alii perfectam Dei cogitationem, alteram angelorum [similem angelis]. Hæc ergo perfecta perfectorum infinita perfectio, quemadmodum mihi qui istius gustum percepit, enarravit, adeo deinceps mentem sanctam reddit, et ab sensuum materia abstrahit, ut plurimam et maximam hujus mortalis vitæ partem post occupatum cœlestem portum, in cœlum per mentis excessum ad Deum contemplandum extollat. De quo loquitur is qui rei experimentum fortasse ceperat, quod *Dei fortes terræ vehementer elevati sunt* [30], qualem fuisse Ægyptium illum (*b*) didicimus, qui etiam inter multos precatus manus ut plurimum extentas non remittebat.

Est inter imperturbatos illos alius alio tranquil- D lior et perfectior. Nam alius magnopere odit iniquitatem : alius inexplebili modo ditescit virtutibus. Quin et castimonia quædam animi tranquillitas, et meritò quidem appellatur. **447** Est enim principium communis resurrectionis et corruptorum seu mortalium incorruptionis seu immortalitatis. Tranquillitatem ostendit qui dixit : Sensum Domini possedi. Tranquillitatem ostendit Ægyptius (*c*) qui negavit se Dominum timere. Ostendit et ille, qui, ut perturbationum vitia ad

ΛΟΓΟΣ ΚΘ'.

Περὶ τοῦ ἐπιγείου οὐρανοῦ τῆς θεομιμήτου ἀπαθείας, καὶ τελειότητος, καὶ ἀναστάσεως ψυχῆς πρὸ τῆς κοινῆς ἀναστάσεως.

Ἰδοὺ λοιπὸν καὶ ἡμεῖς οἱ τεθέντες ἐν λάκκῳ ἀγνωσίας βαθυτάτῳ καὶ σκοτεινοῖς πάθεσι, καὶ σκιᾷ θανάτου τούτου τοῦ σώματος, περὶ τοῦ ἐπιγείου οὐρανοῦ ἐκ θρασύτητος φιλοσοφεῖν ἀρχόμεθα. Ἔχει μὲν γὰρ τὸ στερέωμα τοὺς ἀστέρας κάλλος, ἡ δὲ ἀπάθεια τὰς ἀρετὰς κόσμον· οὐδὲν γὰρ ἕτερόν τι ἔγωγε ἀπάθειαν ὑπείληφα εἶναι· ἀλλ' ἢ ἐγκάρδιον νοὸς οὐρανόν, τὰς τῶν δαιμόνων πανουργίας, ἀθύρματα λοιπὸν λογιζόμενον. Ἀπαθὴς μὲν οὖν κυρίως καὶ ὑπάρχει, καὶ γνωρίζεται, ὁ τὴν σάρκα μὲν ἄφθαρτον ποιήσας, τὸν δὲ νοῦν τῆς κτίσεως ἀνυψώσας, τὰς δὲ πάσας αἰσθήσεις τούτῳ ὑποτάξας· τῷ δὲ προσώπῳ Κυρίου τὴν ψυχὴν παραστήσας ὑπὲρ τὴν ἑαυτῆς ἰσχὺν πρὸς αὐτὸν ἀεὶ ἐπεκτεινομένης. Τινὲς δὲ πάλιν ἀπάθειαν εἶναι ὁρίζονται ἀνάστασιν ψυχῆς πρὸ τοῦ σώματος· ἄλλοι δὲ ἐπίγνωσιν Θεοῦ τελείαν, ἀγγέλων δευτέραν· αὕτη οὖν ἡ τελεία τῶν τελείων ἀτέλεστος τελειότης καθά μοί τις αὐτῆς γευσάμενος (1) ὑφηγήσατο, οὕτω λοιπὸν τὸν νοῦν ἁγιάζει, καὶ τῶν ὑλῶν ἁφαρπάζει, ὡς τὸ πολὺ τῆς ἐν σαρκὶ ζωῆς, μετὰ τὴν κατάληψιν μέντοι τοῦ οὐρανίου λιμένος, ἐν οὐρανῷ ἐξεστηκότα αὐτὸν πρὸς θεωρίαν ἀνυψοῖ (2)· περὶ οὗ καί φησί που ὁ πεῖραν ἴσως εἰληφὼς, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν· τοιοῦτον ἔγνωμεν καὶ τὸν Αἰγύπτιον, τὸν μὴ ἐῶντα τὰς ἑαυτοῦ χεῖρας ἐπὶ πολὺ τεταμένας ἐν προσευχῇ, ἡνίκα ἂν μετά τινων προσηύχετο.

Ἔστιν ἀπαθὴς (3), καὶ ἔστιν ἀπαθοῦς ἀπαθέστερος. Ὁ μὲν γὰρ ἰσχυρῶς μισεῖ τὰ πονηρὰ, ὁ δὲ ἀπλείστως πλουτεῖ ἐν ἀρεταῖς, καὶ ἡ ἀγνεία ἀπάθεια λέγεται, καὶ εἰκότως. Προοίμιον γὰρ τῆς κοινῆς ἀναστάσεως καὶ ἀφθαρσίας φθαρτῶν. Ἀπάθειαν ἔδειξεν ὅ εἰπών· Νοῦν Κυρίου κέκτημαι. Ἀπάθειαν ἔδειξεν ὁ εἰπὼν Αἰγύπτιος, μὴ φοβεῖσθαι τὸν Κύριον. Ἀπάθειαν ἔδειξεν ὁ ἀνθυποστρέψαι τὰ πάθη εὐξάμενος. Τίς πρὸ τῆς μελλούσης λαμπρότητος, ὡς ὁ Σύρος ἐκεῖνος ἀπαθείας ἠξίωται; Ὁ μὲν γὰρ Δαυῒδ ὁ περίφημος ἐν προφήταις· Ἄρες μοι, φησὶν πρὸς Κύ-

[30] Ita Psal. XLVI, 10, cum LXX et Hebr. legit, ubi nos, *Dii fortes*, etc.

(*a*) In Græco res dubia est an attentio sequatur orationem, vel oratio attentionem. Utrobique enim legitur προσοχῇ et προσευχῇ. Nos emendavimus dubiam scripturam.

(*b*) S. Tithoes.

(*c*) S. Antonius.

ρισν, *ἵνα ἀναψύξω*. Ὁ δὲ τοῦ Θεοῦ ἀθλητής· Ἄνες τὰ κύματα τῆς χάριτός σου. Ἀπάθειαν ἔχει ψυχή, ἡ οὕτως ποιωθεῖσα ταῖς ἀρεταῖς, ὡς οἱ ἐμπαθεῖς ταῖς ἡδοναῖς. Εἰ τοῦτο ὅρος γαστριμαργίας, τὸ, καὶ μὴ ὀρεγόμενον βιάζεσθαι, τοῦτο πάντως ὅρος ἐγκρατείας, τὸ καὶ πεινῶσαν τὴν φύσιν ἀνυπεύθυνον οὖσαν ἐπικρατεῖν. Εἰ τοῦτο ὅρος λαγνείας, τὸ, καὶ ἐπὶ ζώοις καὶ ἀψύχοις μαίνεσθαι· τοῦτο ὅρος ἁγνείας, τὸ, ἐπὶ πᾶσιν ὡς ἀψύχοις τῇ αἰσθήσει διακεῖσθαι. Εἰ τοῦτο φιλαργυρίας πέρας (4), τὸ, μηδέποτε τοῦ συναθροίζειν παύεσθαι, ἢ κορέννυσθαι· τοῦτο ἀκτημοσύνης, τὸ, μηδὲ τοῦ σώματος φείσασθαι τοῦ ἰδίου. Εἰ τοῦτο ἀκηδίας πέρας, τὸ, ἐν πάσῃ ὑπάρχοντα ἀνέσει ὑπομονὴν μὴ κεκτῆσθαι· τοῦτο ὑπομονῆς, τὸ, ἐν θλίψει ὄντα, ἄνεσιν ἔχειν λογίζεσθαι. Εἰ τοῦτο ὀργῆς πέλαγος, τὸ καὶ μηδενὸς παρόντος θηριοῦσθαι· τοῦτο μακροθυμίας τοῦ ἀπόντος, τοῦ λοιδοροῦντος καὶ παρόντος ὡσαύτως γαλιᾷν [γαληνιᾷν]. Εἰ τοῦτο κενοδοξίας ὕψος, τὸ καὶ μηδενὸς παρόντος τοῦ ἐπαινεῖν ὀφείλοντος κενοδοξίας ἔργα σχηματίζεσθαι, τοῦτο πάντως ἀκενοδοξίας εἶδος, τὸ μηδέποτε ἐν παρουσίαις τὴν ἔννοιαν κλέπτεσθαι. Εἰ τοῦτο εἶδος ἀπωλείας (5), εἴγουν ὑπερηφανίας τὸ ἐν εὐτελεῖ σχήματι ἐπαίρεσθαι, τοῦτο σωτηριῶδες ταπεινώσεως τεκμήριον, τὸ ἐν ὑψηλοῖς ἐγχειρήμασι, καὶ κατορθώμασι ταπεινὸν ἔχειν φρόνημα. Καὶ εἰ τοῦτο ἐμπαθείας παντελοῦς τεκμήριον, τὸ πᾶσι τοῖς ὑπὸ δαιμόνων ὑποσπειρομένοις σχεδὸν ὀξέως ὑπείκειν. Ἐγὼ τοῦτο τῆς ἁγίας ἀπαθείας ὑπέληφα γνώρισμα, τὰ δύνασθαι ἐναργῶς λέγειν· *Ἐκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ* (6), *οὐκ ἐγίνωσκον*, οὐδὲ πῶς ἐλήλυθεν, οὐδὲ τίνος ἕνεκα, οὐδὲ πῶς ἀπελήλυθεν, ἀλλ' ὅλος λοιπὸν ἀναισθήτως πρὸς τὰ τοιαῦτα ἔχω· ἡνωμένος ὅλος ὢν, καὶ ἀεὶ ἐσόμενος Θεῷ.

A se redirent, Deum rogavit. Quis ante futuram claritatem, ut Syrus ille, hac tranquillitate dignus habitus est? David inter sacros vates cantatissimus: *Remitte mihi*, inquit ad Dominum, *ut refrigerer* [31]. Hic autem athleta Christi: Remitte fluctus gratiæ tuæ. Illa anima est in possessione tranquillitatis, quæ sic affecta et modificata est virtutibus, ut sunt perturbati et vitiosi erga voluptates Si iste supremus est gulæ gradus, seipsum absque appetitu cogere ad epulandum, cum non esurias: hic supremus erit temperantiæ, etiam cum esurias, naturam jam nulli vitio obnoxiam continere. Si extremæ hoc luxuriæ signum est, erga bestias et res inanimas cupidine ferri et insanire; certe istud summæ castitatis erit, perinde erga res omnes tam animatas quam inanimas affici. Si hoc avaritiæ supremus est terminus, neque coacervandis opibus ullum modum ponere, nec pecuniis expleri; certe contra veræ paupertatis argumentum erit, neque corpori parcere. Si extremæ desidiæ nota est, in summo otio impatientem fieri; illud certe summæ patientiæ indicium erit, in ipsa afflictione putare se relaxationem reperisse. Si hic extremus iræ velut pelagi furor est, etiam nemine præsente efferari; summæ æquitatis animi signum erit, **448** perinde animi serenitatem præsente et absente calumniatore retinere. Si is ad culmen vanæ gloriæ ascendit, qui nullo præsente a quo laudetur, vanæ tamen gloriæ opera fingit et simulat, haud dubie rejectæ penitus et devictæ vanæ gloriæ forma et specimen erit, nihil animo in conventibus commoveri, aut sibi pati subrepere. Si hæc exitii sive superbiæ species est, in vili habitu extolli; hoc salutaris humilitatis signum erit, in arduis operibus et virtutum officiis humilem animum retinere. Si hoc supremæ vitiositatis indicium est, omnibus dæmonum suggestionibus statim cedere, tum ego certissimam sanctæ tranquillitatis tesseram affirmabo hoc posse aperte testari: *Declinantem a me malignum non cognoscebam* [32], neque quomodo accesserit, neque quam ob causam, neque quomodo recesserit, sed ad hæc, et hujusmodi omnia tanquam omni sensu carerem, affectus sum, cum Deo quantusquantus sum conjunctus nunquam ab eo sejungendus.

Ὁ τοιαύτης καταστάσεως ἠξιωμένος, ἔτι ὢν ἐν σαρκὶ, αὐτὸν τὸν ἐνοικοῦντα ἀεὶ ἐν ἅπασι λόγοις, καὶ ἔργοις, καὶ διανοήμασιν ἔχει κυβερνῶντα. Ὅθεν λοιπὸν καὶ ὡς φωνῆς τινος, τῆς τοῦ Κυρίου βουλήσεως ἔνδον διὰ φωτισμοῦ ἀντιλαμβάνεται, πάσης διδασκαλίας ἀνθρωπίνης ὑψηλότερος γενόμενος· *Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ*; οὐ γὰρ φέρω λοιπὸν τοῦ πόθου τὴν ἐνέργειαν· ἀλλὰ ζητῶ, ὅπερ ἀθάνατον κάλλος πρὸ τῆς πηλοῦ μοι δέδωκας. Ὁ ἀπαθὴς, *τί δεῖ πολλὰ λέγειν*; *ζῇ μὲν οὐκ ἔτι αὐτὸς, ζῇ δὲ ἐν αὐτῷ ὁ Χριστὸς, καθά φησιν ὁ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενος, καὶ τὸν δρόμον τετελεκὼς, καὶ τὴν πίστιν τετηρηκὼς ὀρθόδοξον*. Οὐ συνίσταται διάδημα βασιλέως ἐξ ἑνὸς λίθου, καὶ οὐ τελειοῦται ἀπάθεια, ἂν μιᾶς ἀρετῆς καὶ τῆς τυχούσης ἀμελήσωμεν· ἀπάθειαν μὲν νοήσεις, τὸ τοῦ ἐπουρανίου βασιλέως ἐν οὐρανοῖς παλάτιον. Πολλὰς δὲ μονὰς τὰς ἔνδον τῆς πόλεως ταύτης κατασκηνώ-

Qui tali statu dignatus est, is dum adhuc in carne degit, Deum habet in se habitantem, qui omnia ipsius dicta, facta, et cogitata etiam gubernat. Ac deinceps tanquam vocem alicujus intus accipit, quæ divinam ei voluntatem per illuminationem interpretatur, unde doctior et sublimior omni humana doctrina factus dicit: *Quando veniam et apparebo ante faciem Dei* [33]? nec enim diutius vim desiderii ferre possum, sed quæro immortale pulchritudinis decus, quod mihi ante lutum carnis hujus dedisti. **449** In ista tranquillitate animi constitutus (quid opus est pluribus?) vivit jam non ipse, sed vivit in illo Christus [34], quemadmodum dicit, qui bonum certamen certavit, cursum consummavit, fidem veram et rectam servavit [35]. Non constat corona regis ex uno lapide pretioso, nec animi tranquillitas perficitur, si vel una, qualiscunque illa sit, virtus negligatur. Per tranquillitatem intelliges illam cœlestis

[31] Psal. XXXVIII, 14. [32] Psal. C, 4. [33] Psal. XLI, 3. [34] Galat. II, 20.

imperatoris regiam seu palatium. Multas autem mansiones, quæ intra civitatem hanc sunt, justorum habitationes. Murum Jerusalem, peccatorum remissiones. Curramus, fratres, ut in cœlestis palatii thalamum penetremus. Quod si ex oneris alicujus anticipatione (o calamitatem!) aut tempore occupati fuerimus, saltem locum aliquem circum ipsum thalamum occupare studeamus. Si vero adhuc cessamus et remissi sumus, curemus tamen ut saltem intra mœnia, quoquo modo possumus, penetremus. Nam qui non ante exitum vitæ illuc ingressus fuerit, vel potius mœnia ascenderit et superarit, in vasta dæmonum solitudine stabulabitur. Propterea ille quispiam precabatur: *In Deo meo transgrediar murum* [36]. Et alius tanquam ex persona Dei dicit: *Nonne peccata vestra sunt quæ dividunt inter vos et me* [37]? Perfodiamus, amici, medium sepis parietem, quem per inobedientiam male ædificavimus. Accipiamus hinc debitorum solutionem, quia non est apud inferos qui sanare possit. **450** Studeamus ergo, fratres, studiosi enim æternæ vitæ inscripti sumus, nec est quod vel lapsum ullum, vel tempus, vel onus excusemus: quotquot enim Dominum per regenerationis lavacrum receperunt, *dedit illis potestatem filios Dei fieri* [38], cum dixit: *Vacate et videte*, et intelligite, *quia ego sum Deus* [39], et vera ab omni perturbationum vitiorumque tempestate tranquillitas, cui gloria in omnes sæculorum æternitates. Amen.

Excitat quidem a terra in cœlum inopem mentem, et de stercore vitiorum excitat pauperem beata animi tranquillitas: sed laudatissima charitas collocat eum cum principibus, angelis inquam sanctis, cum principibus populi sui [40].

σεις (8). Τεῖχος τὴν Ἱερουσαλήμ, τὴν τῶν πταισμάτων ἄφεσιν. Δράμωμεν, ἀδελφοί, τῆς ἐν τῷ νυμφῶνι τοῦ παλατίου εἰσόδου τυχεῖν· εἰ δὲ ἔκ τινος ἢ φορτίου προλήψεως, ὢ τῆς συμφορᾶς! ἢ χρόνου προκατελήφθημεν, κἂν μονήν τινα πέριξ τοῦ νυμφῶνος προφθάσωμεν. Εἰ δὲ ἔτι ὀκλάζομεν, ἢ παρειμένοι τυγχάνομεν, κἂν ἐντὸς τοῦ τείχους παντὶ τρόπῳ γενώμεθα· ὁ γὰρ πρὸ τέλους ἐκεῖ μὴ εἰσελθών, μᾶλλον δὲ μὴ ὑπερβεβηκὼς ἐν ἐρημίᾳ αὐλισθήσεται. Διὰ τοῦτό τις ηὔχετο λέγων· *Ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.* Καὶ ἕτερος ὡς ἐκ προσώπου τοῦ Θεοῦ φησιν· *Οὐχ αἱ ἁμαρτίαι ὑμῶν εἰσιν αἱ διαχωρίζουσαι ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ;* Διακόψωμεν, ὦ φίλοι, τὸ μεσότειχον τοῦ φραγμοῦ, ὅπερ διὰ παρακοῆς κακῶς ᾠκοδομήσαμεν· λάβωμεν ἐντεῦθεν λύσιν τοῦ χρέους, διότι οὐκ ἔστιν ἐν τῷ ᾅδῃ ὁ δυνάμενος ἰάσασθαι. Σχολάσωμεν, ἀδελφοί, καὶ γὰρ σχολασταὶ ἀπεγράφημεν· οὐκ ἔστι πτῶμα, οὐκ ἔστι καιρὸν, οὐκ ἔστι φορτίον προφασίσασθαι· ὅσοι γὰρ ἔλαβον τὸν Κύριον διὰ λούτρου παλιγγενεσίας, *ἔδωκε αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι,* εἰπών· *Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς,* καὶ ἡ ἀπάθεια. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

SCHOLIA AD GRADUM XXIX.

De religiosa animi tranquillitate seu victoria passionum.

Scholion 1.

Quis? Sanctus Ephrem.

Scholion 2.

Nam in hac animi tranquillitate constituti, sive omnium cupiditatum victores ad summum præceptorum divinorum fastigium cum inexplebili desiderio progressi perfectionem ipsam infinitam faciunt, quod bonorum æternorum nullus sit terminus seu finis.

Aliud.

Perfecta quidem, quoad ejus per humanam facultatem fieri potest; imperfecta autem, ut quæ semper seipsam supergressa novis sigillatim accessionibus extollatur, dum perpetuo ad mortem gradus facit.

Aliud Nili.

Duplicem perfectionem intelligendam scias: unam

Ἀνιστᾷ μὲν ἀπὸ γῆς εἰς οὐρανὸν πένητα νοῦν· καὶ ἀπὸ κοπρίας παθῶν ἐγείρει πτωχὸν ἡ μακαρία ἀπάθεια· ἡ δὲ πανύμνητος ἀγάπη ποιεῖ αὐτὸν τοῦ καθίσαι μετὰ ἀρχόντων, ἁγίων ἀγγέλων, μετὰ ἀρχόντων λαοῦ Κυρίου.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ ΚΘ'.

Περὶ ἀπαθείας.

Σχόλιον α'.

Τίς; Ὁ ἅγιος Ἐφρσῖμ (*a*).

Σχόλιον β'.

Οἱ γὰρ ἀπαθεῖς πρὸς τὸ ἄκρον ἐφετὸν ἀκορέστως ὑπερεκτεινόμενοι ἀτέλεστον ποιοῦσι τὴν τελειότητα (*b*)· διότι τῶν αἰωνίων ἀγαθῶν τέλος οὐκ ἔστι.

Ἄλλο.

Τελεία μὲν ὅσον πρὸς τὸ μέτρον τῆς ἀνθρωπίνης δυνάμεως· ἀτέλεστος δὲ ὡς ἀεὶ ὑπερβαίνουσα ἑαυτὴν, ταῖς κατὰ μέρος προσθήκαις, καὶ ὑψουμένη διηνεκῶς ταῖς πρὸς θάνατον ἀναβάσεσι.

Ἄλλο Νείλου.

Δύο τελειότητας νοητέον· μίαν μὲν πρόσκαιρον,

[35] II Tim. IV, 7. [36] Psal. XVII, 30. [37] Isa. LIX, 2. [38] Joan. I, 12. [39] Psal. XLV, 11. [40] Psal. CXII, 7, 8.

(*a*) Quomodo S. Ephrem qui 195 annis vixit ante Climacum? Nisi loquatur de scriptis illius. Nam S. Ephrem vixit anno 365, Climacus 560.

(*b*) Ἀτέλεστον τελειότητα Latine cum eadem gratia annominationis non potest exprimi. Finis sine fine, τέλος ἀτέλεστον, sed τελειότης *perfectionem*, non finem sonat.

μίαν δὲ αἰώνιον· περὶ ἧς γράφει ὁ Παῦλος· *Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται*· τὸ γὰρ, *ὅταν ἔλθῃ τὸ τέλειον*, σημαίνει, ὅτι ἐνταῦθα οὐ δυνάμεθα χωρῆσαι τὴν θείαν τελειότητα.

A hujus præsentis temporis, et unam alterius sæculi æternam, **451** de qua scribit sanctus Paulus: *Quando* (inquit) *venerit quod perfectum est, evacuabitur quod ex parte est* [41]. Illud enim, *quando venerit quod perfectum est*, significat, nos hic capere non posse divinam perfectionem.

Ἄλλο.

Δύο τελειότητας Παῦλος ὁ θεσπέσιος ἐπίσταται, καὶ οἶδε τὸν αὐτὸν τέλειον, καὶ οὐ τέλειον ἄνθρωπον· ὡς μὲν πρὸς τὸν παρόντα βίον τέλειον λεγόμενον ἄνθρωπον· καὶ ὡς πρὸς τὸν ἀληθῶς τέλειον, οὐ τέλειον· διό φησι· *Οὐχ ὅτι ἔλαβον ἢ ἤδη τετελείωμαι.* Καὶ μετ' ὀλίγα λέγει· *Ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν.*

Aliud.

Geminam perfectionem sanctus Paulus agnoscit, eumdemque hominem vidit perfectum et imperfectum; perfectum quidem, quantum ad præsentem vitæ statum pertinet; imperfectum autem, quantum ad veram futuri status perfectionem attinet. Quapropter dixit: *Non quod acceperim, aut jam perfectus sim* [42]. Et post pauca subjicit: *Quicunque ergo perfecti sumus, hoc sentiamus* [43].

Σχόλιον γ'.

Ἀπάθειαν ἔχει ψυχὴ, οὐχ ἡ μὴ πάσχουσα πρὸς τὰ πράγματα, ἀλλ' ἡ καὶ πρὸς τὴν μνήμην αὐτῶν ἀτάραχος διαμένουσα.

B

Scholion 3.

Tranquillitatem partam habet anima, non quæ ad res humanas non afficitur, sed quæ ad memoriam etiam earum imperturbata manet.

Σχόλιον ἄλλο.

Τήρησις ἐντολῶν Θεοῦ τίκτει ἀπάθειαν· ἀπάθεια δὲ ψυχῆς συντηρεῖ γνῶσιν.

Scholion aliud.

Observatio mandatorum Dei parit victoriam perturbationum, victoria autem perturbationum conservat cognitionem.

Σχόλιον δ'.

Τὸ τῆς φιλαργυρίας πάθος ἐντεῦθεν ἐλέγχεται· ἐν τῷ χαίροντα λαμβάνειν, καὶ λυπούμενον μεταδιδόναι· οὐ δύναται δὲ ὁ τοιοῦτος οἰκονομικὸς εἶναι.

Scholion 4.

Vitium avaritiæ inde deprehenditur, cum is qui accipit, accipiendo gaudet, et largiendo tristatur: hujusmodi enim bonus dispensator esse non potest.

Σχόλιον ε'.

Σημείωσαι, ὅτι ἀπώλεια ἡ ὑπερηφανία ἰδικῶς· τὸ C δ' ἐναντίον πρόδηλον.

Scholion 5.

Observa superbiam recta tendere ad exitium: contrarium per se clarum est.

Σχόλιον ς'.

Οὐχ ὑπομένει τὸ σκότος τὴν τοῦ φωτὸς παρουσίαν· οὐ νόσος ὑγείας ἐπιλαβούσης ἵσταται· οὐκ ἐνεργεῖ τὰ πάθη τῆς ἀπαθείας παρούσης.

Scholion 6.

Tenebræ non ferunt præsentiam luminis; neque morbus durat veniente sanitate, neque mali affectus ullam vim habent, præsente perfecta animi tranquillitate.

Σχόλιον ζ'.

Κάλλος τὴν ἀθανασίαν, πηλὸν δὲ τὴν γεώδη ταύτην σάρκα, ἣν μετὰ τὴν παρανομίαν ὁ Ἀδὰμ ἠμφιάσατο, ὥς φησιν ὁ τῆς θεολογίας ἐπώνυμος.

Scholion 7.

Per pulchritudinem intelligit immortalitatem (Climacus), lutum autem carnem hanc terrestrem, quam Adam post prævaricationem induit, ut inquit Gregorius cognomento Theologus.

Σχόλιον η'.

Πολλὰς μονὰς καλεῖ τὰ μέτρα τῆς διανοίας τῶν ἐν τῇ χώρᾳ ἐκείνῃ αὐλιζομένων· λέγω δὴ τὰς διακρίσεις, καὶ διαφορὰς ἐν αἷς κατὰ διάνοιαν ἐντρυφῶσιν· οὐ γὰρ διαφορὰς τόπων, ἀλλὰ τάξεις χαρισμάτων πολλὰς μονὰς εἴρηκεν.

Scholion 8.

Multas mansiones vocat modos mentis eorum qui in illa regione (viventium) habitant; discrimina inD quam seu distinctiones et differentias, in quibus animo seu mente cœlestibus deliciis perfruuntur. Neque enim discrimina locorum, sed ordines et modos gratiarum et donorum multas mansiones appellavit.

ΛΟΓΟΣ Λ'.

Περὶ τοῦ συνδέσμου τῆς ἑναρέτου τριάδος ἐν ἀρεταῖς.

Νυνὶ δὲ λοιπὸν, μετὰ πάντα τὰ προειρημένα, μένει τὰ τρία ταῦτα, τὰ τὸν σύνδεσμον πάντων ἐπισφίγ-

452 GRADUS XXX.

De vinculo trium virtutum (fidei nempe, spei et charitatis).

Post omnia nunc explicata manent hæc tria, fides, spes, charitas [44]: quibus omnia arctissimo vinculi

[41] I Cor. XIII, 10. [42] Philipp. III, 12. [43] ibid. 15. [44] I Cor. XIII, 13.

nodo constringuntur et continentur. *Major autem horum omnium est charitas* [45]; quippe quæ Deus nominatur. Enimvero ego primam harum ut solis radium, alteram ut lumen, tertiam ut plenum orbem seu circulum contemplor. Ex quibus omnibus unus splendor et claritas refulget. Etenim fides omnia facere et moliri potest; spem Dei misericordia vallat et munit, nec confundi permittit. Charitas vero neque cadit, neque consistit unquam a cursu, neque charitate vulneratum a beata insania unquam quiescere sinit. Qui de charitate Dei loqui instituit, de ipso Deo agere aggreditur. Cæterum de Deo sermonem instituere et disputare, anceps et periculosa res est iis qui non attendunt quantum opus moliantur. Sermo de charitate angelis pernotus est, et illis ipsis pro ratione et facultate illustrationis divinæ. *Deus est charitas* [46], cujus definitionem qui verbis explicare conatur, cæcus in alto pelago arenam dimetitur.

A γοντα καὶ κρατοῦντα, πίστις, ἐλπὶς, ἀγάπη (1)· *Μείζων δὲ πάντων ἡ ἀγάπη*· Θεὸς γὰρ ὀνομάζεται. Πλὴν ἔγωγε τὴν μὲν ἀκτῖνα ὁρῶ, τὴν δὲ φῶς, τὴν δὲ κύκλον· πάντα δὲ ἓν ἀπαύγασμα καὶ μίαν λαμπρότητα. Ἡ μὲν γὰρ πάντα δύνάται καὶ ποιεῖν, καὶ δημιουργεῖν· τὴν δὲ ἔλεος Θεοῦ περικυκλοῖ, καὶ ἀκαταίσχυντον ποιεῖ· ἡ δὲ οὐδὲ πίπτει οὐδ' ἐστήκει τοῦ θέειν· οὐδὲ τὸν τρωθέντα ἠρεμεῖν λοιπὸν τῆς μακαρίας μανίας ἐᾷ. Ὁ περὶ ἀγάπης Θεοῦ λέγειν βουλόμενος, περὶ Θεοῦ λέγειν ἐπεχείρησε. Περὶ Θεοῦ δὲ λόγος διεξιέναι, σφαλερὸν καὶ ἐπικίνδυνον τοῖς μὴ προσέχουσιν. Ὁ περὶ ἀγάπης λόγος, ἀγγέλοις γνώριμος· κἀκείνοις κατὰ τὴν ἐνέργειαν τῆς ἐλλάμψεως· *Ἀγάπη ὁ Θεός ἐστιν*, ὁ ὅρον δὲ τούτου λέγειν βουλόμενος, ἐν ἀβύσσῳ τυφλώττων τὸν ψάμμον μετρεῖ.

B

Charitas ex natura qualitatis suæ est similitudo Dei, quantum mortales assequi possunt. Secundum efficaciam autem est quædam ebrietas animæ, secundum proprietatem denique est fons fidei, **453** æqui et patientis animi profundum, pelagus humilitatis. Charitas proprie est abdicatio omnis contrariæ cogitationis; malum enim non cogitat charitas. Charitas et animi tranquillitas, et adoptio filiorum Dei nominibus iisque solis inter se discrepant : non secus ac lumen et ignis et flamma, in unam concurrunt naturam, actionem, effectum, ita de his cogita. Pro ratione defectus inest etiam animæ timor. Qui caret timore, aut plenus est charitate, aut anima mortuus est: Nihil abs re fecero si timoris, desiderii, diligentiæ, æmulationis, servitutis et amoris Dei exempla et imagines ab humanis actionibus repræsentaro. Beatus ille qui tali fertur amore in Deum, quali vesanus procus flagrat erga suam amasiam. Beatus qui non minus timet Deum, quam rei judicem timere solent. Beatus qui non remissior est in rerum divinarum studio, quam probi servi in re domini sui. Beatus qui tanto zelo virtutis tenetur, quanto mariti zelotypi erga suas uxores. Beatus qui ita assistit Deo in precibus, ut famuli suo astant regi. Beatus qui ita Dominum cultu sibi placare assiduo contendit, quemadmodum alii sibi homines devincire student. Non sic mater lactenti infanti, sicut filius charitatis Deo semper adhærere amat. Qui vere amat, semper illius quem amat præsentem sibi vultum imaginatur, illumque intus in animo cum voluptate complectitur, adeo ut nec in somno **454** ab ipsius desiderio possit requiescere, sed et in illo erga desideratum amore feratur. Quemadmodum ergo usu venire solet in rebus corporeis, ita etiam in rebus spiritualibus fieri consuevit. Hoc amoris telo quidam saucius de seipso, quod equidem admiror, dixit : *Ego* propter naturæ necessitatem *dormio; sed cor meum* propter amoris copiam *vigilat* [47].

Ἀγάπη κατὰ μὲν ποιότητα ὁμοίωσις Θεοῦ, καθ' ὅσον βροτοῖς ἐφικτόν. Κατὰ δὲ ἐνέργειαν μέθη ψυχῆς· κατὰ δὲ τὴν ἰδιότητα πηγὴ πίστεως, ἄβυσσος μακροθυμίας, θάλασσα ταπεινώσεως· ἀγάπη ἐστὶ κυρίως ἀπόθεσις παντοίας ἐναντίας ἐννοίας· εἴπερ ἡ ἀγάπη οὐ λογίζεται τὸ κακόν. Ἀγάπη, καὶ ἀπάθεια, καὶ υἱοθεσία, τοῖς ὀνόμασι, καὶ μόνοις διακέχριται. Ὡς φῶς, καὶ πῦρ, καὶ φλὸξ εἰς μίαν συντρέχουσιν ἐνέργειαν (2), οὕτω καὶ περὶ τούτων νόει. Κατὰ τὸ μέτρον τῆς ἐλλείψεως ἐνυπάρχει φόβος· ὁ γὰρ φόβου χωρὶς ἀγάπης πεπλήρωται, ἢ τὴν ψυχὴν νενέκρωται· οὐδὲν τὸ δυσχερὲς ἀπὸ τῶν ἀνθρωπίνων καὶ πόθου, καὶ φόβου, καὶ σπουδῆς, καὶ ζήλου, καὶ δουλείας, καὶ ἔρωτος Θεοῦ παραθεῖναι εἰκόνας. Μακάριος ὅστις τοιοῦτον πρὸς Θεὸν ἐκτήσατο ἔρωτα, οἷον μανικὸς ἐραστὴς πρὸς τὴν ἑαυτοῦ ἐρωμένην κέκτηται (3). Μακάριος ὁ οὕτως φοβηθεὶς τὸν Κύριον, ὡς δικαστὴν κατάδικοι δεδοίκασι· μακάριος ὁ οὕτως σπουδαῖος γενόμενος ἐν τῇ ὄντως σπουδῇ, ὡς εὐγνώμονες δοῦλοι πρὸς τὸν οἰκεῖον κύριον. Μακάριος ὃς οὕτως ζηλωτὴς ἐν ἀρεταῖς γέγονεν, ὡς οἱ περὶ τὰς ἑαυτῶν ὁμοζύγους ἐκ ζήλου νήφοντες. Μακάριος ὁ οὕτως Κυρίῳ ἐν προσευχῇ παριστάμενος, ὡς ὑπηρέται βασιλεῖ παρεστήκασι (4). Μακάριος ὁ Κύριον, ὡς ἀνθρώπους ἀποθεραπεύειν ἀνελλιπῶς ἀγωνιζόμενος· οὐχ οὕτως μήτηρ ὑπομαζίῳ ὡς ἀγάπης υἱὸς τῷ Κυρίῳ προσκολλᾶσθαι πέφυκε πάντοτε. Ὁ ὄντως ἐρῶν (5) ἀεὶ τὸ τοῦ φιλουμένου πρόσωπον φαντάζεται, καὶ τοῦτο ἔνδον ἐνηδόνως περιπτύσσεται ὁ τοιοῦτος. Οὐκ ἔτι οὐδὲ καθ' ὕπνους ἠρεμεῖν τοῦ πόθου δύναται· ἀλλὰ κἀκεῖσε πρὸς τὸ ποθούμενον ἀδολεσχεῖ. Οὕτως ἐπὶ σωμάτων, οὕτως ἐπὶ ἀσωμάτων πέφυκε γίνεσθαι. Τρωθείς τις περὶ ἑαυτοῦ ἔλεγεν, ὅπερ θαυμάζω, ὡς *Ἐγὼ καθεύδω* διὰ τὴν χρείαν τῆς φύσεως, *ἡ δὲ καρδία μου ἀγρυπνεῖ* διὰ τὸ πλῆθος τοῦ ἔρωτος. Σημειωτέον σοι, ὦ πισυνὲ, ὅτι περ μετὰ τούτων θηρίων παρὰ τῆς ἐλάφου ψυχῆς ὄλεθρον (6), τότε ἐπιποθεῖ καὶ ἐκλείπει πρὸς Κύριον πυρὶ τῆς ἀγάπης, ὡς ὑπὸ ἰοῦ βαλλομένη. Ἡ μὲν τῆς

C

D

[45] Philipp. III, 12. [46] I Joan. IV, 16. [47] Cant. V, 2.

πείνης ἐνέργεια ἄδηλός τις καὶ ἀσήμαντος· ἡ δὲ τῆς δίψης ἐπιτατική τις καὶ προφανὴς, καὶ τοῦ φλογμοῦ πᾶσι σημαντική· διὰ τοῦτό φησιν ὁ Θεὸν ποθῶν· *Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα.* Εἰ πρόσωπον φιλουμένου ἐναργῶς ὅλους ἡμᾶς μεταβάλλει, καὶ φαιδροὺς, καὶ ἱλαροὺς, καὶ ἀλύπους ἀπεργάζεται· τί ἂν καὶ οὐ ποιήσει πρόσωπον Δεσπότου ἐν καθαρᾷ ψυχῇ ἐπιδημίαν ἀοράτως ποιουμένου; Ὁ μὲν φόβος ὅταν αἰσθήσει ψυχῆς γένηται, ἐκτήκειν καὶ κατεσθίειν τὴν ῥυπαρίαν πέφυκε. *Καθήλωσον* γὰρ, φησὶν, *ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.* Ἡ δὲ ὁσία ἀγάπη ἐνίους μὲν κατεσθίειν εἴωθε, κατὰ τὸν εἰπόντα· *Ἐκαρδίωσας ἡμᾶς, ἐκαρδίωσας.* Ποτὲ δέ τινας λαμπρύνειν, καὶ ἀγαλλιᾶσθαι ποιεῖ. Ἐπ' αὐτῷ γάρ φησιν· *Ἤλπισεν ἡ καρδία μου καὶ ἐβοηθύνθην* [ἐβοηθήθην], *καὶ ἀνέταλεν* [ἀνέθαλεν] *ἡ σάρξ μου·* καὶ καρδίας εὐφραινομένης, πρόσωπον θάλλει.

A Observandum est tibi, o fide, post sublatas, per animam velut cervam, noxias feras, potissimum tum animam desiderare Deum, et in eo velut amoris jaculo percussam deficere (seu colliquescere). Vis et causa famis non est semper manifesta et aperta. sitis vero publice apparet omnibus, et ardorem patefacit. Hinc est quod ille qui Deum ardebat, dixerit : *Sitivit anima mea ad Deum, fortem, vivum* [48]. Si aspectus dilecti nobis amici nos totos immutat, et lætos hilaresque reddit, omnemque mœrorem abstergit, quid non efficiat facies Domini in puram animam inaspectabili modo advenientis? Timor quidem Domini, quando ex vero animi sensu nascitur, omnes sordes eluere et absumere consuevit. *Confige*, inquit, velut clavis, *a timore tuo carnes meas* [49]. Sed sancta charitas nonnullos quidem absorbere solet, quemadmodum ille dixit : *Vulnerasti cor nostrum, vulnerasti* [50]. Alios B vero totos irradiat, et præ gaudio facit ut exsultent in Domino. De quo dixit : *Speravit cor meum et adjutus sum, et refloruit caro mea* [51]. Corde vero exhilarato etiam facies floret.

Ὅταν λοιπὸν ὅλος ὁ ἄνθρωπος οἷόν πως συναναχραθῇ τῇ τοῦ Θεοῦ ἀγάπῃ, τότε καὶ ἐκτὸς τοῦ ἐν τῷ σώματι ὡς δι' ἐσόπτρου τινὸς τὴν τῆς ψυχῆς δείκνυσι λαμπρότητα· οὕτως δοξάζεται Μωϋσῆς ὁ θεόπτης ἐκεῖνος. Οἱ τοιοῦτον ἰσάγγελον κατειληφότες, πολλάκις τροφῆς σωματικῆς ἐπιλανθάνονται. Οἶμαι δὲ οὐδὲ συχνότερον ταύτης ὀρέγονται. Καὶ οὐ θαῦμα· εἴπερ καὶ πόθος ἐναντίος πολλάκις τροφὴν διεκρούσατο, οἶμαι τῶν ἀφθάρτων τούτων λοιπὸν, μηδὲ, ὡς ἔτυχε, τὸ σῶμα νοσηλεύεσθαι· ἠγνίσθη γὰρ καὶ τρόπον τινὰ ἐφθαρτοποιήθη διὰ φλογὸς ἁγνείας διακοψάσης φλόγα (7). Οἶμαι μηδὲ αὐτὴν βρῶσιν, ἣν προσίενται λοιπὸν μεθ' ἡδύτητος προσίεσθαι. Ὕδωρ μὲν γὰρ ὑπόγειον ῥίζαν φυτοῦ, τούτων δὲ ψυχὴν πῦρ οὐράνιον τρέφειν πέφυκεν· αὔξησις φόβου ἀρχὴ ἀγάπης· τέλος δὲ ἁγνείας ὑπόθεσις θεολογίας. Ὁ Θεῷ τελείως τὰς αἰσθήσεις ἑνώσας τοὺς λόγους αὐτοῦ μυσταγωγεῖται ὑπ' αὐτοῦ· τούτων γὰρ μὴ συναφθέντων χαλεπὸν περὶ Θεοῦ διαλέγεσθαι. Ἐνούσιος μὲν λόγος τελειοῖ ἁγνείαν, παρουσίᾳ ἑαυτοῦ νεκρώσας τὸν θάνατον· τούτου δὲ νεκρωθέντος, ὁ τῆς θεολογίας μαθητὴς πεφώτισται. Ὁ λόγος Κυρίου ὁ ἐκ Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος· ὁ γὰρ Θεὸν μὴ γνοὺς στοχαστικῶς ἀποφθέγγεται (8)· ἁγνεία μαθητὴν θεολόγον εἰργάσατο δι' ἑαυτοῦ κρατύναντα τῆς τριάδος τῶν τριῶν [al. abest τῶν τριῶν] τὰ δόγματα. Ὁ ἀγαπῶν τὸν Κύριον, τὸν ἀδελφὸν αὐτοῦ προηγάπησεν. Ἀπόδειξις γὰρ τοῦ προτέρου τὸ δεύτερον. Ὁ ἀγαπῶν τὸν πλησίον οὐδέποτε καταλαλούντων ἀνέξεται· ὡς ἀπὸ πυρὸς μᾶλλον δὲ ἀποφεύξεται. Ὁ λέγων Κύριον ἀγαπᾷν καὶ τῷ ἀδελφῷ αὐτοῦ ὀργιζόμενος, ὅμοιός ἐστι τῷ καθ' ὕπνους τρέχοντι. Κράτος ἀγάπης ἐλπὶς, δι' αὐτῆς γὰρ τὸν τῆς ἀγάπης μισθὸν ἀπεκδεχόμεθα. Ἐλπίς ἐστιν ἀδήλου πλούτου πλοῦτος· ἐλπίς ἐστιν ἀνενδοίαστος πρὸ θησαυροῦ θησαυρός· αὕτη κόπων ἀνάπαυλαι, αὕτη ἀγάπης θύρα, αὕτη ἀναιρεῖ ἀπόγνωσιν, αὕτη τῶν ἀπ-

455 Cum demum totus homo divina charitate inundatus et quasi permistus et confusus fuerit, tum velut per speculum animæ fulgorem ostendit. Sic ille Dei contemplator et spectator Moyses gloria circumfusus est. Qui ad hunc angelicum charitatis gradum ascenderunt, sæpe alimentorum corporis obliti sunt, imo plerumque nec desiderant : nec est quod miremur, quando contrarium sæpe desiderium et appetitus cibum repudiat, ut existimem corpus incorruptorum horum de cætero morbis non amplius tentari ; cum sanctum jam sit, et quodammodo per castitatis flammam, quæ corporis flammam exstinxit, incorruptum sit effectum : nec arbitror illud oblatum etiam cibum cum ulla deinceps voluptate admittere. Aqua enim subterranea C plantæ radicem, horum vero animas ignis cœlestis alere solet. Timoris divini incrementum principium est charitatis : finis vero castitatis, theologiæ fundamentum. Cujus sensus cum Deo perfecte sunt conjuncti, hic verbis Dei ab ipso Deo arcano modo instituitur. Illis enim non copulatis difficile erit de Deo sermonem instituere. Verbum insitum castitatem perfectam efficit, suaque præsentia mortem ipsam morti infert. Morte autem exstincta jam theologiæ sectator illustratus est. Verbum Domini a Domino editum sanctum est, et manet in æternum. Qui Deum non novit, tantum probabiliter per conjecturam de rebus divinis loquitur. Discipulum ve- D rum theologiæ castitas efficit, uti per se ipsum jam sanctissimæ Trinitatis in tribus personis doctrinam comprehendat. **456** Qui Deum amat, jam ante fratrem amore suo complexus est. Per amorem enim fraternum testatur se Deum amare. Qui amat alterum, nullo modo ferre potest, ut illi obtrectetur, sed ab omni detractione multo magis quam ab igne refugit et abhorret. Qui dicit se Deum amare, et interim fratri suo irascitur, comparandus est illi,

[48] Psal. XLI, 3. [49] Psal. CXVIII, 120. [50] Cant. IV, 9. [51] Psal. XXVII, 7.

qui somniat se currere. Vis omnis charitatis in spe sita est, per quam præmium charitatis exspectamus. Spes est non apparentium divitiarum divitiæ, indubitatus thesaurus ante perceptum thesaurum. Hæc est laborum requies, janua charitatis, desperationis exstinctio, absentium bonorum imago et repræsentatio. Ubi spes decollavit, charitas periit; hac labores nostri devinciuntur. Ab hac nostra sudorum studia dependent; hanc misericordia divina circumvallat. Religiosus spei plenus desidiam jugulat, illamque per hujus gladium triumphat [in fugam vertit *seu* fugat]. Spem donorum cœlestium gustus parit, quæ qui non gustavit aut expertus est, de constantia periclitatur. Spem ira occidit (*a*). spes enim non confundit : iracundus vero confunditur.

A όντων εἰκών· ἐλπίδος ἔλλειψις, ἀγάπης ἀφανισμός, ταύτῃ δέδενται πόνοι, ταύτῃ κρέμανται κόποι· ταύτην κυκλοῖ ἔλεος. Εὔελπις μοναχὸς, ἀκηδίας σφάκτης, ἐν μαχαίρᾳ ταύτης, ἐκείνην τροπούμενος. Ἐλπίδα τίκτει δώρων Κυρίου πεῖρα· ὁ γὰρ ἄπειρος οὐκ ἀδίστακτος μένει. Ἐλπίδα [ἐλπὶς] λύει θυμός· ἡ μὲν γὰρ οὐ καταισχύνει· ἀνὴρ δὲ θυμώδης οὐκ εὐσχήμων.

Charitas dux est prophetiæ, miraculorum conciliatrix : charitas divinæ illustrationis inexhaustus fons : charitas est scaturigo ignis cœlestis, qui quanto magis redundat, tanto magis sitientem adurit et absumit. Charitas est status angelicus : charitas proficit ad æterna. Annuntia nobis, o præclara, et virtutum pulcherrima : *ubi pascas oves tuas? ubi cubes in meridie* [52]? Illumina nos, irriga nos, duc et deduc nos, quandoquidem ad te ascendere cupimus. **457** Tu enim omnibus imperas; nunc *vulnerasti cor meum*, et non possum continere flammam tuam, unde te laudandi principium sumam, totus ignesco. *Sed tu dominaris potestati maris, motum autem fluctuum ejus tu mitigas* et exanimas. *Tu humilias sicut vulneratum superbum* cogitatum. *In brachio virtutis tuæ dispersisti inimicos tuos* [53], tuique amatores inexpugnabiles reddis. Quomodo autem te Jacob scalæ innixam viderit, percupio cognoscere. Quæ forma hujus ascensus fuerit avide quærenti expone. Quis modus, quod pignus et præmium scalæ illius ex gradibus compositæ per quos *ascensiones in corde suo* tuus amator *disposuit* [54]. Avebam præterea scire harum ascensionum numerum, quantoque tempore cursus ille seu ascensus transigatur. Ductores enim ille denuntiavit, qui tuam cum angelo luctam et visionem didicit : nihil enim aliud declarare voluit, imo vero (si ut oportet, vere proprieque loquendum sit) non potuit. Illa vero quasi e cœlo mihi visa, regina, inquam, ista, et tanquam in aurem animæ meæ hoc collocuta dixit : Nisi prius (o amator) ab ista corporis concretione fueris solutus, elegantiam formæ meæ spectare, ut est, non poteris. Spiritualem vero virtutum compositionem et ordinem te scala cujus vertici et fastigio innitor te doceat, quemadmodum magnus ille mystes et arcanorum doctor testatus est. *Nunc autem manent hæc tria, fides, spes, charitas; major autem horum est charitas* [55].

B Ἀγάπη προφητείας χορηγός· ἀγάπη τεράτων παρεκτική· ἀγάπη ἐλλάμψεως ἄβυσσος. Ἀγάπη πηγὴ πυρός· ὅσον ἀναβλύσει, τοσοῦτον τὸν διψῶντα καταφλέξει· ἀγάπη ἀγγέλων στάσις· ἀγάπη προκοπὴ τῶν αἰώνων. Ἀπάγγειλον ἡμῖν, ὦ καλὴ ἐν ἀρεταῖς, ποῦ ποιμαίνεις τὰ προβατά σου, ποῦ κατασκηνοῖς ἐν μεσημβρίᾳ; φώτισον ἡμᾶς, πότισον ἡμᾶς, ὁδήγησον ἡμᾶς, χειραγώγησον ἡμᾶς, ἐπειδὴ λοιπὸν ἀναβαίνειν πρὸς σὲ βουλόμεθα. Σὺ γὰρ δεσπόζεις πάντων. Νῦν δέ μου ψυχὴν κεκαρδίωκας (9), καὶ οὐ δύναμαι κατέχειν σου τὴν φλόγα, ὅθεν ὑμνήσας σε πορεύομαι· *Σὺ δὲ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις, καὶ νεκροῖς· σὺ ταπεινοῖς ὡς τραυματίαν ὑπερήφανον λογισμόν· ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου*, καὶ ἀπολεμήτους τοὺς σοὺς ἐραστὰς ἀπεργάζῃ. Πῶς δὲ ὁ Ἰακὼβ ἐπὶ τὴν κλίμακά σε ἐστηριγμένην τεθέαται μαθεῖν ἐπείγομαι. Τί δὲ ἄρα τὸ εἶδος τῆς τοιαύτης ἀνόδου ἐρωμένῳ φράσον· τίς δὲ ὁ τρόπος καὶ ὁ ἔρανός σου τῆς τῶν βαθμῶν ἐκείνης συνθέσεως (10), *ἃς ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο* ὁ σὸς ἐραστής· τίς δὲ ὁ ἀριθμὸς τούτων ἐδίψων γνῶναι· ὅσος δὲ ἄρα τοῦ δρόμου χρόνος. Τοὺς γὰρ χειραγωγοὺς ἀπήγγειλεν ὁ μαθών σου τὴν πάλην καὶ τὴν ὅρασιν (11)· οὐδὲν δὲ ἕτερον φωτίζειν βεβούληται, μᾶλλον δὲ δεδύνηται, εἰ δέοι με λέγειν οἰκειότερον (12). Ἡ δὲ ὥσπερ ἐξ οὐρανοῦ μοι φανεῖσα, ἡ βασίλισσα αὕτη, καὶ ὡς ἐν ὠτί μου ψυχῆς τοῦτο προσομιλοῦσα ἔλεγεν· Ἐὰν μὴ λυθῇς, ὦ ἐραστὰ, τῆς παχύτητος, ἐμὴν ὥραν, ὡς ἔστι, μανθάνειν οὐ δύνασαι. Ἡ δὲ κλίμαξ τὴν τῶν ἀρετῶν σε διδασκέτω πνευματικὴν σύνθεσιν (13· ἐπ' αὐτῆς διεστήριγμαι ἐγὼ τῆς κορυφῆς, καθὰ ὁ μέγας μου μύστης ἔφησε. *Νῦν δὲ μένει τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη· μείζων δὲ πάντων ἡ ἀγάπη.*

C

D

---

458 *Brevis adhortatio, qua omnia supra latius dicta comprehenduntur.*

Ascendite fratres, ascendite alacriter, et *ascen-*

Προτροπὴ ἐπίτομος καὶ ἰσοδύναμος τῶν διὰ πλάτους εἰρημένων.

Ἀναβαίνετε, ἀναβαίνετε, *ἀναβάσεις* προθύμως

[52] Cant. I, 6. [53] Psal. LXXXVIII, 10, 11. [54] Psal. LXXXIII, 6. [55] I Cor. XIII, 13.

(*a*) Ἐλπὶς λύει θυμόν, *spes iram occidit.*

ἐν καρδίᾳ τιθέμενοι, ἀδελφοὶ, τοῦ φάσκοντος ἀκούοντες· Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου· καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν τοῦ καταρτίζοντος τοὺς πόδας ἡμῶν ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶντος, τοῦ νικῆσαι ἐν τῇ ὁδῷ αὐτοῦ. Δράμετε, δυσωπῶ, μετ' ἐκείνου τοῦ λέγοντος· Σπουδάσωμεν ἕως οὗ καταντήσωμεν εἰς τὴν ἑνότητα πάντες τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως τοῦ Θεοῦ εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ὃς τριακονταέτης τῇ ὁρωμένῃ ἡλικίᾳ βαπτισθεὶς, τὸν τριακοστὸν βαθμὸν ἐν τῇ νοερᾷ κλίμακι ἐκληρώσατο· εἴπερ ἡ ἀγάπη ἐστὶν ὁ Θεός· ᾧ ὕμνος, ᾧ κράτος, ᾧ σθένος· ᾧ τὸ πάντων ἀγαθῶν αἴτιον ἔνεστι, καὶ ἦν, καὶ ἔσται εἰς ἀορίστους αἰῶνας.

siones in corde vestro disponite [56], et audite vocantem : *Venite, ascendamus in montem Domini, et in domum Dei nostri, qui perfecit pedes nostros tanquam cervi, et super excelsa statuit* [57], ut vincamus in via ejus. Currite, obsecro, currite cum illo qui dixit : Festinemus *donec occurramus omnes in unitatem fidei et agnitionis Dei, in virum perfectum, in mensuram ætatis plenitudinis Christi* [58], qui cum esset, ut videbatur, triginta annorum baptizatus, tricesimum gradum in scala spirituali sortitus est : quandoquidem Deus est charitas, cui laus, cui imperium, cui fortitudo, cui bonorum omnium causa inest, et erat, et erit in omnes sæculorum æternitates. Amen.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΝ Λ'.

SCHOLIA AD GRADUM XXX.

Περὶ πίστεως, ἐλπίδος καὶ ἀγάπης.

De fide, spe et charitate.

Σχόλιον α'.

Scholion 1.

Πίστις συγκατάθεσις ἀδιάκριτος τῶν ἀκουσθέντων, ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν κηρυχθέντων Θεοῦ χάριτι, ἥντινα ἐπεδείξατο Ἀβραάμ, μαρτυρηθεὶς ὅτι οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει δοὺς δόξαν τῷ Θεῷ καὶ πληροφορηθείς, ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι

Fides est suffragatio animi indiscussa eorum quæ sunt audita cum certa persuasione veritatis eorum quæ sunt per gratiam Dei prædicata : quam ostendit Abraham, qui testimonium consecutus, quod *non hæsitarit diffidentia, sed confortatus fide dans gloriam Deo plenissime sciens quia quæcunque promisit, potens est et facere* [59].

Ἡ μὲν γάρ. Πίστις.

Hæc quidem. Fides.

Τὴν δέ. Ἐλπίδα.

459 *Hanc vero.* Spem.

Ἡ δέ. Ἀγάπη.

Hæc vero. Charitas.

Σχόλιον β'.

Scholion 2.

Καταχρηστικῶς τὴν οὐσίαν ἐνέργειαν ἐκάλεσεν.

Per catachresin et abusionem naturam seu substantiam vocavit energiam, seu vim, seu actionem.

Σχόλιον γ'.

Scholion 3.

Τῇ ἀσθενείᾳ ἡμῶν συγκατιὼν ὁ πατὴρ ἐκ τῶν ἐλαττόνων ποιεῖται τὰ παραδείγματα.

Nostræ imbecillitati indulgens pater a minoribus sumit exempla.

Σχόλιον δ'.

Scholion 4.

Ὁ βασιλεῖ παριστάμενος, καὶ ἀνθρώπους θεραπεύων, ἔστιν ὅτε καθ' ὑπόκρισιν, καὶ κατ' ὀφθαλμοδουλείαν καὶ μισθαρνίαν ποιεῖ, ὃς καὶ διήμαρτε τοῦ μακαρισμοῦ. Μακάριος δὲ ὄντως ἐκεῖνος, ὃς πρὸς τῷ ἐκτὸς εἴδει, τὸ ἐντὸς ἦθος συναρτήσας, ὅλῳ νοῒ τὴν παράστασιν ὁρᾶται τελῶν· μόνος πρὸς μόνον τὰς νοερὰς αἰτήσεις εὐθύμῳ διανοίᾳ περαιούμενος.

Qui regi astat, et homines officiis sibi demeretur, quandoque hoc facit ex hypocrisi et simulatione, quandoque tantum ad oculum deservit et mercedis causa qui procul a beatitudine aberrat. Beatus porro revera ille est, qui externo corporis modo et formæ, animi quoque mores accommodat, et tota mente Deo perfecte assistit et servit, solusque ad solum suas mentis petitiones et vota læto animo transmittit.

Σχόλιον ε'.

Scholion 5.

Ὁμοίως, φησὶ, καὶ ἐπὶ σωματικοῦ ἔρωτος, καὶ ἐπὶ πνευματικοῦ ὡσαύτως τοῦ ὄντος ἐστὶν, ἐν σώματι.

Quemadmodum, inquit, se habet amor carnalis, ita spiritualis qui revera in corpore exsistit.

Σχόλιον ς'.

Scholion 6.

Ὦ πιστὲ, ὦ συνετέ· τῶν γὰρ παθῶν διὰ τῆς σωφροσύνης ἀπαλλαγεῖσα, τότε ἀκατασχέτως τῷ θείῳ ἔρωτι φλέγεται.

O fidelis, o sapiens ; nam anima a pravis cupiditatibus per temperantiam expedita, non potest non amore Dei ardere.

Σχόλιον ζ'.

Scholion 7.

Ὁ τοῦ Θεοῦ Πατρὸς Λόγος, ᾧ ἂν ἐνοικήσῃ διὰ καθάρσεως, τελειοῖ μὲν ἐν αὐτῷ τὴν καθαρότητα· τὸν δὲ θάνατον, ἤγουν τὰ πάθη εἰς τέλος ἀπονεκροῖ.

Dei Patris Verbum, in quo per puritatem cœpit habitare, illum purissimum efficit. Mortem autem sive pravas appetitiones omnino exstinguit.

[56] Psal. LXXXIII, 6. [57] Isa. II, 3. [58] Ephes. IV, 13. [59] Rom. IV, 20, 21.

Scholion 8.

Verbum spiritus, sensum mentis spe certæ salutis implet; vis enim charitatis ex Deo proficiscitur. Quapropter mens nostra in quæstionibus theologicis seu dubitationibus immota permanet; neque enim patitur ullam inopiam quæ curam illi pariat, quando per contemplationes tantoperè dilatatur, quantopere vult vis charitatis. Bonum est ergo semper in fide perseverare eum qui charitate fervet et agitur. Nihil enim pauperius animo qui vult de rebus divinis philosophari, cum careat ipse Deo.

Diadochi 9.

Alia est charitas animæ naturalis, et alia quæ ex Spiritu sancto illi insinuatur. Illa quæ in nobis est, quando volumus, moderate movetur pro voluntate nostra, ac proinde **460** non difficulter nobis a malignis spiritibus, nisi vi per nos coerceatur, a proposito suo nobis subducitur. Divina autem illa adeo incendit animam ad Dei charitatem, ut omnes animæ partes et facultates inter se cœlestis desiderii bonitate per infinitam quamdam affectus simplicitatem sive sinceritatem devinciat et conglutinet. Mens enim quasi a Spiritu sancto cœlesti gratia et virtute gravida facta, fontem quemdam charitatis et gaudii profundit.

Scholion 10.

Eranos collecta est quæ pecuniis constat a multis collatis. In præsenti vero loco significat collectam ex multis virtutibus conflatam et coactam.

Scholion 11.

Angelos intelligit in scala versantes

Scholion 12.

Hoc est Deus, qui est charitas.

Scholion 13.

Quæstio. Qualis est perfectio multorum fructuum Spiritus sancti? *Resp*. Quando quis dignatus fuerit perfecta Dei charitate. *Quæstio*. Unde quis intelligat se ad illam aspirasse? *Resp*. Quando mens excitata ad memoriam Dei, statim cor ejus concitatur ad charitatem Dei, et oculi ejus largo fonte lacrymarum redundant. Est enim hæc natura charitatis, ut ex memoria rerum dilectarum statim lacrymas accendat. Et qui ad eum statum pervenit, nunquam lacrymis destituitur, quod materia et causæ nunquam desint, quæ illum ad Dei memoriam excitent, adeo ut etiam in somno cum Deo colloquatur: solet enim charitas talia actitare. Et hoc est mortalium in hac vita perfectio.

A

Σχόλιον η'.

Ὁ πνευματικὸς λόγος τὴν νοερὰν αἴσθησιν πληροφορεῖ· ἐνέργεια γὰρ ἀγάπης ἐκ Θεοῦ φέρεται· διόπερ καὶ ἀβασάνιστος ἡμῶν ὁ νοῦς διαμένει ἐν τοῖς τῆς θεολογίας κινήμασιν· οὐ γὰρ πάσχει τότε πενίαν τὴν μέριμναν φέρουσαν· ἐπειδὴ τοσοῦτον ταῖς θεωρίαις πλατύνεται, ὅσον τῆς ἀγάπης ἡ ἐνέργεια θέλει. Καλὸν οὖν ἀεὶ πίστει παραμένειν δι' ἀγάπης ἐνεργούμενον· οὐδὲν γὰρ πτωχότερον διανοίας ἐκτὸς Θεοῦ φιλοσοφούσης τὰ τοῦ Θεοῦ.

Σχόλιον Διαδόχου θ'.

Ἄλλη ἐστὶν ἡ ἀγάπη τῆς ψυχῆς ἡ φυσικὴ, καὶ ἄλλη ἡ ἐκ τοῦ ἁγίου Πνεύματος αὐτῇ προσγινομένη· B ἡ μὲν γὰρ ἐκ τῆς ἡμετέρας, ὅτε θέλομεν, συμμέτρως κινεῖται θελήσεως· διόπερ καὶ εὐχερῶς ὑπὸ τῶν πονηρῶν πνευμάτων, ἡνίκα μὴ βίᾳ κρατῶμεν τῆς ἑαυτῶν προαιρέσεως διαρπάζεται· ἡ δὲ τοσοῦτον ἐκκαίει τὴν ψυχὴν πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ, ὡς πάντα τὰ τῆς ψυχῆς μέρη τῇ τοῦ θείου πόθου ἀλλήλων ἐγκολλᾶσθαι χρηστότητι, ἐν ἀπείρῳ τινὶ ἁπλότητι διαθέσεως· ἐγκύμων [ἐγκυμονῶν] γὰρ ὥσπερ ὁ νοῦς τότε ὑπὸ τῆς πνευματικῆς ἐνεργείας γινόμενος, πηγήν τινα ἀγάπης ἀναβλύζει καὶ χαρᾶς.

Σχόλιον ι'.

Ἔρανός ἐστι τὰ ἐκ πολλῶν συναχθέντα χρήματα· νῦν δὲ ἡ συλλογὴ, ἡ ἐκ πολλῶν ἀρετῶν συναχθεῖσα.

C

Σχόλιον ια'.

Τοὺς ἀγγέλους λέγει τοὺς ἐπὶ τῆς κλίμακος.

Σχόλιον ιβ'.

Τοῦτ' ἔστιν ὁ Θεὸς, ὅς ἐστιν ἡ ἀγάπη.

Σχόλιον ιγ'.

Ἐρώτησις. Ποία ἐστὶν ἡ τελειότης τῶν πολλῶν καρπῶν τοῦ πνεύματος; *Ἀπόκρ.* Ὅταν τις ἀξιωθῇ τελείας ἀγάπης τοῦ Θεοῦ. *Ἐρώτ.* Καὶ πόθεν γινώσκει τις ὅτι ἔφθασεν εἰς ταύτην; *Ἀπόκρ.* Ὅταν κινηθῇ ἡ μνήμη τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ, εὐθέως ἡ καρδία αὐτοῦ κινεῖται ἐν τῇ ἀγάπῃ αὐτοῦ· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ καταφέρουσι δάκρυα δαψιλῶς· ἔθος γὰρ ἔχει ἡ ἀγάπη ἐκ τῆς μνήμης τῶν ἀγαπητῶν ἐξάπτειν δάκρυα· καὶ τοιοῦτος ὢν οὐδέποτε D ὑστερεῖται ἐκ τῶν δακρύων· διότι οὐ λείπει αὐτῷ ὕλη ἀεὶ φέρουσα αὐτὸν εἰς μνήμην τοῦ Θεοῦ· ὥστε καὶ ἐν ὕπνῳ αὐτοῦ συνομιλεῖ τῷ Θεῷ· ἔθος γὰρ τῇ ἀγάπῃ πράσσειν τὰ τοιαῦτα· καὶ αὕτη ἐστὶν ἡ τελειότης τῶν ἀνθρώπων ἐν τῇ ζωῇ αὐτῶν